ΑΓΙΟΡΕΙΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

Ο ΑΘΩΣ

ΤΡΙΜΗΝΙΑΙΟΝ.

ΤΥΠΟΙΣ ΕΚΔΟΣΙΣ ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ ΚΩΔΙΚΩΝ
ΤΩΝ ΕΝ ΑΘΩΝΙ ΚΑΙ ΙΔΙΑ ΤΩΝ ΤΗΣ Μ. Μ. ΛΑΥΡΑΣ

ΥΠΟ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ
ΤΟΥ ΙΑΤΡΟΥ

ΕΤΟΣ Α'. — ΤΕΥΧΗ Α' & Β'.

Η ΔΙΟΠΤΡΑ

(ΕΜΜΕΤΡΟΝ ΨΥΧΟΘΕΡΑΠΕΥΤΙΚΟΝ)

«*Ἔνθα δι' ἁρμονίης ἱερῆς*
» *μελιδέαι βίβλοι· ἑστία τῶν*
» *Μουσῶν· κῆπος εὐφροσύνης·*
» *κρήνη βρύουσα νέκταρα ψυχοτρόφα*».

Κυρίλλου προηγουμένου Λαυρεώτου
στίχοι εἰς τὴν βιβλιοθήκην τῆς Λαύρας.

ΕΝ ΑΓΙΩι ΟΡΕΙ 1919

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ "ΝΟΜΙΚΗΣ,, ΠΕΤΡΟΥ Λ. ΒΕΡΓΙΑΝΙΤΟΥ
ΕΝ ΟΔΩ ΠΡΑΞΙΤΕΛΟΥΣ ΑΡ. 8
1920

Η ΔΙΟΠΤΡΑ

εἶνε ἐντρύφημα πνευματικόν, ψυχολογικὸς Παράδεισος, ἐν ᾧ αἱ ψεκάδες τῆς σοφῆς διδασκαλίας ἀναψύχουσι τὰς ψυχὰς τῶν Χριστιανῶν τῶν σωθῆναι θελόντων.

Ἔργον τοῦ λογιωτάτου Φιλίππου ἐν ἔτει 1090 μ. Χ. ἐν λαξευτοῖς στίχοις καὶ ῥέοντι ρυθμῷ καθηδύνει τὸν ἀναγνώστην.

Ἔχει καὶ χωρία δυσκατάληπτα χρῄζοντα ἑρμηνείας διὰ σχολίων. Ἀλλὰ τὴν ἔφεσιν τοῦ ἐκδότου πρὸς τοῦτο ἐματαίωσαν αἱ ἀντίξοοι περιστάσεις, αἱ νῦν, καὶ ἰδίᾳ ἡ ὑπερτίμησις τῶν ἐκτυπωτικῶν ὑλῶν, ὧν ἕνεκα τὸ ὀγκῶδες τῶν τόμων θὰ καθίστα τούτους ἀπροσίτους εἰς πᾶν βαλάντιον.

Διὰ ταῦτα προσετέθη μόνον ἐν τέλει Λεξιλόγιον τῶν σπανιωτέρων λέξεων ἑρμηνευτικόν, χάριν τῶν ἧττον πεπαιδευμένων ἀναγνωστῶν.

Ἡ μετὰ σχολίων ἔκδοσις ἀναβάλλεται εἰς εὐθετωτέρους χρόνους, ἂν ἐν τῷ μεταξὺ χρόνῳ δὲν προλάβῃ ἕτερος ὁμοεθνὴς τὴν πλήρωσιν τοῦ κενοῦ τούτου, ὅπερ ἐκ ψυχῆς εὐχόμεθα νὰ συμβῇ ἐπ' ἀγαθῷ τῆς Ἐκκλησίας καὶ τοῦ Γένους.

MONASTIC PERIODICAL

THE ATHOS QUARTERLY

Printed transcriptions of
Manuscript Codices on Mt. Athos,
especially in the Laura.

by

Spyridon Lauriotos
physician.

(vol?) Year 1 Nos. 1 and 2

The Spy-Glass

(metrical psychotherapy)

In the Holy Mountain 1919

Athens
Legal Press, Peter L. Bergianitos
8 Praxiteles Street
1920

Ο ΑΘΩΣ

ΑΓΙΟΡΕΙΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

(ΑΝΑΤΥΠΩΣΙΣ ΤΩΝ ΧΕΙΡΟΓΡΑΦΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ)

ΕΚΔΙΔΟΜΕΝΟΝ ΚΑΤΑ ΤΡΙΜΗΝΙΑΝ

ΥΠΟ

ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΥΡΙΩΤΟΥ

ΤΟΥ ΙΑΤΡΟΥ

ΕΤΟΣ Α'. — ΤΕΥΧΟΣ Α'.

Η ΔΙΟΠΤΡΑ

ΕΝ ΑΓΙΩι ΟΡΕΙ 1919



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ "ΝΟΜΙΚΗΣ„ ΠΕΤΡΟΥ Λ. ΒΕΡΓΙΑΝΙΤΟΥ
ΕΝ ΟΔΩι ΠΡΑΞΙΤΕΛΟΥΣ 8
1920

Τῷ σεβαστῷ μοι καθηγητῇ Κυρίῳ Κ. Holl δωρεῖ τοῦτο τὸ σύγγραμμα βαθείας εὐγνωμοσύνης ἕνεκεν

ὁ ἐκδότης

Σπυρίδων Λαυριώτης

Ἰατρός

ΑΘΩΣ

ΠΡΟΛΟΓΟΣ

Τὸ Ἅγιον Ὄρος ἐθεωρεῖτο ἔκπαλαι ὡς ἱερὰ ἀκρόπολις τῆς Ὀρθοδοξίας καὶ προμαχὼν τοῦ Ἔθνους. Διὰ τὴν ὑψίστην ταύτην τιμὴν καὶ θείαν ἀποστολὴν προορισθεὶς ὁ ἱερὸς οὗτος τόπος ἄνωθεν ἐπροικίσθη ὑπὸ τῆς θείας Προνοίας διὰ τοιούτων καὶ τηλικούτων φυσικῶν καλλονῶν ὥστε, ἐν συνδυασμῷ πρὸς τὸ θεσπέσιον κάλλος τῆς ἐν αὐτῷ ἀσκουμένης ἀρετῆς, νὰ ἀποτελῇ ἐν τῇ γῇ ἓν μικρὸν καὶ σκιερὸν ἀποτύπωμα τοῦ οὐρανίου Παραδείσου. Ὅθεν ἐδικαιοῦτο Ἀνδρόνικος Α΄ ὁ Παλαιολόγος ν' ἀναφωνῇ «Εἰ δὲ καὶ Παράδεισον ἕτερον, ἢ κατάστερον οὐρανόν, ἢ καὶ ἀρετῶν πασῶν καταγώγιον τοῦτο ἄν τις καλέσειεν, οὐκ ἂν ἁμάρτοι τοῦ δέοντος» (*Meyer* σελ 191).— Καὶ ἔστελλεν ὁ Ἄθως κατὰ τὸν ΙΔ΄, τὸν χρυσοῦν τοῦτον, αἰῶνα τοῦ Ἀθωνίτιδος μοναχισμοῦ, πλειάδα ὅλην Πατριαρχῶν ἐπὶ τοῦ Οἰκουμενικοῦ θρόνου, καὶ οἱ Ἁγιορεῖται ἦσαν τότε οὐ μόνον τὸ στήριγμα τῆς Ὀρθοδοξίας ἀλλὰ καὶ ὁ πολικὸς ἀστὴρ τῆς Ἐθνικῆς παλιγγενεσίας· ὅθεν ὁ Κατακουζηνὸς ἀπευθυνόμενος πρὸς τοὺς ἐν Ἄθῳ τῷ Ὄρει μοναχοὺς «τῶν ἄλλων τῇ ἀρετῇ προέχοντας» ἔγραφε καὶ ἐδεῖτο «μὴ περιορᾶν τὸ τῶν χριστωνύμων χεόμενον αἷμα ὁσημέραι, ἀλλ' ἐφικέσθαι καὶ διδάξαι τὴν τῶν πραττομένων ἀτοπίαν» (Ἱστορία τόμ. Β΄ σελ. 461 ἔκδ. Παρισίων). — Ἡ δὲ μοναχικὴ πολιτεία εἶναι θεῖον ἵδρυμα. «Ἡ τοῦ Θεοῦ Βασιλεία οὐδενὶ μὲν ὑποπίπτουσα πάθει, μετέωρα δὲ φρονοῦσα καὶ ὑπερουράνια κατορθοῦσα» (Ἰσίδωρος Πηλουσιώτης παρὰ *Migne* τόμ. 78 σελ. 254). Καὶ ὅπως ὁ θεῖος Πλάτων ἐδημιούργησε διὰ τῆς μεγαλοφυΐας αὐτοῦ τὴν πολιτείαν ἐκείνην, πρὸς ἣν ἀποβλέπουσιν ὡς πρὸς τὸ τελειότατον πρότυπον, πάντα τὰ πολιτειακὰ συστήματα, οὕτω καὶ ἡ ὀρθόδοξος ἡμῶν Ἐκκλησία κα-

θιέρωσε τὴν μοναχικὴν πολιτείαν, ὡς τὸ ὕψιστον τῆς τελειότητος πρότυπον, ἐπὶ τοῦ Εὐαγγελικοῦ ἐκείνου λογίου στηριζομένη «εἰ θέλεις τέλειος εἶναι ὕπαγε πώλησον τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. κεφ. ιθ', 21). — Καὶ τὸν βίον τοῦτον αὐτὸς πρῶτος ὁ Θεάνθρωπος ἐνεκαινίασε, καὶ οἱ μαθηταὶ αὐτοῦ ἐγκαταλιπόντες τὰ θεσπέσια αὐτοῦ εὐαγγελικὰ διδάγματα ὡς θείαν κληρονομίαν εἰς τοὺς ἀθανάτους Πατέρας τῆς Ἐκκλησίας, ἰσάγγελον ὄντως πολιτείαν βιωσαμένους ἐπὶ τῆς γῆς.

Καὶ ὄντως οἱ μεγάλοι τῆς Ἐκκλησίας φωστῆρες, οἱ τὸν χρυσοῦν αἰῶνα αὐτῆς ἀποτελέσαντες, ἐτελειοποιήθησαν ἐν ταῖς Μοναῖς, τὴν μοναχικὴν πολιτείαν ἐξασκήσαντες καὶ βίον ἀσώματον καὶ σχεδὸν Ἀγγελικὸν ὑπερβαίνοντα τὰ μέτρα τῆς ἀνθρωπίνης φύσεως ἐπιδειξάμενοι ἐπὶ τῆς γῆς. — Ὡς ἐκ τούτου οἱ ἀείμνηστοι τοῦ Βυζαντίου Αὐτοκράτορες ἡμῶν, τοιούτων ἱερῶν ἐνεφοροῦντο αἰσθημάτων, καὶ τοσαύτης πρὸς τὸν ἰσάγγελον τοῦτον βίον ἀγάπης, ὥστε οὐ μόνον τὰς μεγαλοπρεπεῖς ταύτας ἀνήγειραν Μονάς, καὶ ἐπροίκισαν αὐτὰς ὄντως βασιλικῶς, ἀλλὰ καὶ πολλοὶ ἐκ τούτων ἐν τέλει τοῦ βίου των ἠσπάσθησαν αὐτόν. Ἐντεῦθεν ἐξηγεῖται ὁ ἐνθουσιασμὸς τοῦ μεγάλου Ἰουστινιανοῦ, γράφοντος ἐν τῇ πέμπτῃ νεαρᾷ «Ὁ μοναχικὸς βίος οὕτως ἐστὶ σεμνός, οὕτως οἰκειοῦν οἶδε τῷ Θεῷ τὸν εἰς τοῦτον ἐρχόμενον ἄνθρωπον, ὥστε πάντα μὲν ἀνθρώπινον σπῖλον ἀποξύειν, καθαρὸν δ' ἀποφαίνειν καὶ τῶν ἀνθρωπίνων φροντίδων ὑπέρτερον». — Καὶ πάντες δὲ οἱ Αὐτοκράτορες ἡμῶν ὁσάκις μέμνηνται τοῦ Ἁγίου Ὄρους δὲν εὑρίσκουσι λέξεις καταλλήλους πρὸς ἔκφρασιν τοῦ ἁγνοῦ αὐτῶν ἐνθουσιασμοῦ· καὶ ἀρκεῖ ἓν βλέμμα νὰ ρίψῃ τις ἐπὶ τῶν χρυσοβούλων, ἵνα ἀποθαυμάσῃ τὴν εὐσέβειαν τῶν ἀνδρῶν ἐκείνων. Ἡ δὲ θεία Πρόνοια τὰ ἱερὰ αὐτῶν ἐπιβραβεύουσα αἰσθήματα, ἐφώτισεν αὐτοὺς ἵνα κατοχυρώσωσι τὴν «οὐράνιον ταύτην πόλιν», ὡς ἀποκαλεῖ τὸ Ἅγιον Ὄρος Ἰωάννης ὁ Κατακουζηνός, διὰ

προνομίων ἀπαρατρέπτων καὶ ἀναφαιρέτων, ἅτινα διὰ τῶν αἰώνων ἀπαραμείωτα διατηρηθέντα προσδίδουσι ζωὴν εἰς τὸν Ἄθω καὶ τύπον πολιτείας ἐξαιρέτου καὶ ὅλως διαφόρου πρὸς τὰς τοῦ κόσμου πολιτείας· ἡ δὲ διαφορὰ αὕτη καθίσταται ἔτι καταφανὴς καὶ ἐκ τῆς ἐλλείψεως κωδικοποιημένων νόμων, διότι τὸ ἐν αὐτῷ ἱερὸν πολίτευμα στηρίζεται κυρίως ἐπὶ τῶν νόμων τῆς συνειδήσεως καὶ τοῦ ἠθικοῦ καταλογισμοῦ. Πασίγνωστον τυγχάνει ὅτι αἱ Ἑλληνικαὶ Μοναὶ παρέσχον ἀνεκτιμήτους ὑπηρεσίας εἰς τὴν ἐθνικὴν παιδείαν, κατὰ τοὺς μετὰ τὴν ἅλωσιν χρόνους, καθ' οὓς ἀπέβησαν ἡ κιβωτός, ἡ περισώσασα τὰ τιμαλφέστερα τοῦ Ἔθνους ἡμῶν κειμήλια, τὰ μεταρσιοῦντα καὶ ἐξαίροντα τὴν ψυχὴν πρὸς τὴν πατρῴαν πίστιν καὶ εὐσέβειαν, καὶ τὴν διάνοιαν πρὸς τὴν ἐθνικὴν ἀποκατάστασιν. Καὶ διὰ τοῦτο οὐ μόνον ἡμέτεροι ἀλλὰ καὶ ξένοι συγγραφεῖς ἐκφράζονται λίαν ἐνθουσιωδῶς περὶ τοῦ ἱεροῦ ἡμῶν τόπου. Ὁ διάσημος *Holl* ἐν ἐνθουσιώδει πραγματείᾳ του περὶ τῶν Ἑλλήνων μοναχῶν ἀναγνωρίζει ὅτι ἡ Ἑλληνικὴ Ἐκκλησία καὶ τὸ Ἔθνος ἔχει πάντα λόγον νὰ ᾖ δι' αὐτοὺς ὑπερήφανος, διότι οἱ Ἕλληνες μοναχοὶ ἀνεδείχθησαν ἐκεῖ ἀκριβῶς ὅπου πρέπει ν' ἀναζητηθῶσιν αἱ ὑπηρεσίαι τοῦ μοναχικοῦ βίου· καταλήγων δ' εὐλόγως τονίζει ὅτι ὁ μοναχικὸς βίος ἐξεπλήρωσε τὴν ἀποστολὴν αὐτοῦ καὶ εἰς αὐτὸν ὀφείλει ἡ Ἑλληνικὴ Ἐκκλησία ὅ,τι ἀκόμη καὶ σήμερον ἔχει ἐν αὐτῇ.—Πρὸς τούτοις οἱ μοναχοὶ τοῦ Ἄθω, πρὸς τῇ ἐπιδιώξει τῆς ἐν ἐρήμῳ ψυχικῆς αὐτῶν σωτηρίας, οὐκ ὀλιγώρως εἶχον καὶ τῆς τῶν ἄλλων χριστιανῶν ἠθικῆς προπαιδείας καὶ τῆς διασώσεως αὐτῶν ἀπὸ τῶν ποικίλων τοῦ κόσμου σκανδάλων καὶ πειρασμῶν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ Ἐκκλησιαστικὴ ἱστορία, ἡ μυρίοις παραδείγμασι βεβαιοῦσα ἡμᾶς περὶ τῆς μεγάλης γοητείας καὶ ἐπιδράσεως τῶν μοναχῶν ἐπὶ τῶν χριστιανῶν, διὰ τοῦ ἐναρέτου αὐτῶν παραδείγματος καὶ τῶν Εὐαγγελικῶν νουθεσιῶν, ἃς παρεῖχον δαψιλῶς, ἢ ἐπὶ τόπου, ἢ ὅπου προσεκαλοῦντο διὰ τὴν ἐπιτέλεσιν τοῦ ὑψίστου μυστηρίου τῆς

μετανοίας καὶ ἐξομολογήσεως ἐπὶ ταῖς ἁμαρτίαις αὐτῶν. Ἀλλὰ καὶ αὐτοὶ οἱ ξένοι περιηγηταί, οἱ κατὰ καιροὺς ἐπισκεφθέντες τὸν Ἄθωνα, θαυμάζοντες ἐπὶ τῇ αὐταπαρνήσει, τῇ ἐγκαρτερήσει ἐν τῇ προσευχῇ, καὶ τῇ τῆς σαρκὸς νεκρώσει τῶν ἐν αὐτῷ μοναχῶν, γράφουσιν ὅτι οἱ μοναχοὶ τοῦ Ἄθω πόλιν ἔχουσι τὸν οὐρανόν. Διὸ καὶ τὸ σχῆμα τῶν μοναχῶν λέγεται Ἀγγελικὸν διὰ νὰ ὁμοιάζωσιν οὗτοι εἰς τὰ ἔργα τοῖς Ἀγγέλοις καὶ νὰ ὦσι φῶς τῶν Κοσμικῶν· «Φῶς γὰρ μοναχῶν Ἄγγελοι· φῶς δὲ κοσμικῶν Μοναχοί». — Διό, ἂν καὶ κατὰ τὸ διαρρεῦσαν χιλιετὲς διάστημα εἰς πολλοὺς καὶ μεγάλους κινδύνους ἐδοκιμάσθη τὸ Ἅγιον Ὄρος, οὐχ ἧττον ἡ αὐτοθυσία καὶ ὁ μετ' αὐταπαρνήσεως ἡρωϊσμὸς τῶν ἐν αὐτῷ Μοναχῶν περιέσωσε τοῦτο καὶ διετήρησε μέχρι τῶν ἡμερῶν ἡμῶν. Ἡ ἄγρυπνος φυλακὴ τῶν Μοναχῶν καὶ ἡ ἀνύστακτος περιφρούρησις αὐτῶν ἐπὶ τῶν χριστιανικῶν τούτων ἐπάλξεων, οὐ μόνον τὰ ἐν αὐτῷ φυλαττόμενα τῆς Ἐκκλησίας καὶ τοῦ Ἔθνους ἡμῶν πολύτιμα κειμήλια, ἕνεκα τῶν ὁποίων αἱ ἱεραὶ ἡμῶν Μοναὶ εἰσὶν ἱερὰ προσκυνήματα, διέσωσεν, ἀλλὰ καὶ ἀπὸ ἐθνικῆς ἀπόψεως διεφύλαξε καὶ τὸν τύπον οὕτως εἰπεῖν τῆς Μεγάλης Βυζαντινῆς ἡμῶν Αὐτοκρατορίας. Τῷ ὄντι, ἂν καὶ παρῆλθον πεντακόσια ὅλα ἔτη καὶ τὸ ἡμέτερον Ἔθνος ὑπεδουλώθη ὁλόκληρον, μόνον ἡ μικρὰ αὕτη χερσόνησος τοῦ Ἄθω ἔμεινεν ἐλευθέρα, χωρὶς νὰ διακόψῃ τὸν μίτον τοῦ Βυζαντινοῦ κράτους. Καὶ ἦτο μυστήριον θαυμασμοῦ καὶ ἐκπλήξεως, νὰ ἀκούῃ ὁ Ἕλλην (ἐν ἡμέραις τρομερᾶς δουλείας) μνημονευόμενα ἐν κατανύξει τὰ ὀνόματα τῶν Αὐτοκρατόρων αὐτοῦ, ἐδῶ μὲν Νικηφόρου τοῦ Φωκᾶ καὶ Ἰωάννου Τσιμισκῆ, ἐκεῖ δὲ Ρωμανοῦ καὶ Ἀνδρονίκου καὶ τῶν λοιπῶν (1).

Καὶ ἂν οἱ Ἁγιορεῖται μοναχοὶ τοιαύτας προσέφερον ὑπηρεσίας τῷ Γένει καὶ τῇ Ἐκκλησίᾳ κατὰ τοὺς παρελ-

(1) Καὶ οὐ μόνον ἐν ταῖς Ἱεραῖς Μοναῖς τοῦ Ἄθω ἀλλὰ καὶ ἐν τοῖς μετοχίοις ἢ μονυδρίοις, ὧν οἱ Ἡγούμενοι ἦσαν φορεῖς καὶ μεταλαμπαδευταὶ τοῦ Εὐαγγελικοῦ καὶ ἐθνικοῦ φωτός· ὄασις ἐν ἐρήμῳ!

θόντας χρόνους τῆς δουλείας, σήμερον ὁπότε φαεινὸς ἀνέλαμψεν ὁ ἥλιος τῆς ἐλευθερίας καὶ δύναται ἕκαστος νὰ ἐκφράζῃ ἐλευθέρως τὰ αἰσθήματα τῆς καρδίας του, πόσῳ μᾶλλον θὰ φιλοτιμηθῶμεν νὰ φανῶμεν χρήσιμοι τῇ Ἐκκλησίᾳ καὶ τῷ Ἔθνει οὐ μόνον ἡμεῖς οἱ Μοναχοὶ ἀλλὰ καὶ πάντες οἱ ὀρθόδοξοι Ἕλληνες, ἵνα παντὶ σθένει ἐπιδιώξωμεν ὅπως καὶ πάλιν τὸ Ἅγιον ὄρος καταλάβῃ τὴν ἐμπρέπουσαν θέσιν ἐν τῷ Ἔθνει καὶ τῇ Ἐκκλησίᾳ καὶ καταστῇ ὁ φάρος τῆς Ἀνατολῆς διασκορπίζων τὰ φωτοβόλα δῶρα τῶν Μουσῶν πανταχοῦ, ὅπως ἐφαντάζετο τοῦτο ὁ ἀοίδιμος Ἀλέξιος ὁ Κομνηνὸς «Πατέρες ἅγιοι, οἱ τὸ Ἅγιον ὄρος κατοικοῦντες, ἔγραφεν, οἴδατε ὅτι, καθάπερ ἡ Κωνσταντινούπολις βασιλεύουσα ἐπάνω πασῶν τῶν πόλεων ἐστίν, οὕτω καὶ τὸ βασιλικώτατον καὶ θεῖον τοῦτο ὄρος εἰς τὰ τῆς οἰκουμένης ὄρη· καὶ τὸ ἡμέτερον φῶς καὶ ἅλας, ὑμεῖς ἐστέ· οὕτως ἔχομεν καὶ οὕτω πιστεύομεν: καὶ οὐ μόνον οἱ χριστιανοὶ Βασιλεῖς ἀλλὰ καὶ αὐτὰ τὰ ἔθνη τὰ κύκλωθεν κατοικοῦντα σὺν ἡμῖν καὶ αὐτὰ σεμνύνονται καὶ ἀγάλλονται μεθ' ἡμῶν διὰ τὴν ὑπεράνθρωπον ὑμῶν πολιτείαν» (*Mayer* σελ. 174).

Κατὰ ταῦτα, φίλε ἀναγνῶστα Ἕλλην χριστιανέ, ἕως πότε θὰ σιγᾷ καὶ θὰ εἶναι κεκρυμμένος ὁ θησαυρὸς οὗτος τῶν προγόνων μας, κεκλεισμένος εἰς τὰς Βιβλιοθήκας τῶν Μονῶν μας; Ἕως πότε οἱ ξένοι πρὸς τὰ ἐθνικὰ ἡμῶν ταῦτα κειμήλια, συχνάκις ἐπισκεπτόμενοι ταῦτα καὶ βαθέως μελετῶντες, θὰ μᾶς διδάσκωσι ποῖοι ὑπῆρξαν οἱ ἡμέτεροι πρόγονοι καὶ τί οὗτοι κατέλιπον ἡμῖν; Καιρὸς εἶναι πλέον νὰ ἀνοίξωμεν ἡμεῖς οἱ ἀπόγονοι ἐκείνων, τὰς πολυχεύμονας τούτων πηγὰς καὶ νὰ ἀρδεύσωμεν τὸν πνευματικῷ αὐχμῷ ἀποχερσωθέντα ἀγρὸν τῆς Ἐκκλησιαστικῆς καὶ Ἐθνικῆς ἡμῶν φιλολογίας.

Φέροντες εἰς φῶς τὰ ἐπὶ εἰκοσαετίαν ὅλην ἐπισταμένως μελετηθέντα καὶ ἐπιμελῶς, κατὰ τὸ δυνατόν, ἀντιγραφέντα χειρόγραφα καὶ πεποιθότες ὅτι διὰ τοῦ μέσου τούτου ἀνοίγομεν τοὺς προκαταρτικοὺς αὔλακας διὰ τὴν πνευματικὴν

ταύτην ἀρδείαν, διὰ χρηστῆς ἔχομεν τῆς ἐλπίδος, ὅτι ἕτεροι εἰδικῶς περὶ τὰ τοιαῦτα ἀσχολούμενοι θὰ προθυμοποιηθῶσι νὰ προσπορίσωσι ἄφθονον τὴν ἐκ τῶν πολυτίμων γνώσεών των συμβολὴν διὰ τὴν ἀναβλάστησιν τῶν κλάδων τῆς Ἐκκλησιαστικῆς καὶ Ἐθνικῆς ἡμῶν φιλολογίας καὶ τὴν ὕψωσιν αὐτῆς εἰς τὴν προτέραν αὐτῆς περιωπήν.

Ὁ καιρὸς οὗτος, ὁ πλήρης κινδύνου καὶ δοκιμασίας, καθὼς εἰς τοὺς ῥαθύμους καὶ ἀμελεῖς γίνεται αἰτία μομφῆς, οὕτως ἀπ᾽ ἐναντίας εἰς τοὺς ζηλωτὰς καὶ ἐγρηγορότας γίνεται ἀφορμὴ μεγάλων ἀρετῶν καὶ ἐπαίνων. Ὅθεν ἕκαστος ἐξ ἡμῶν δέον νὰ προσφέρῃ τῇ Ἐκκλησίᾳ καὶ τῷ Γένει ἡμῶν ἐκ τοῦ δοθέντος ὑπὸ τοῦ Θεοῦ ταλάντου, οἰκείᾳ προθυμίᾳ, πᾶν ὅ,τι δύναται.

Ἐπὶ τούτοις, ἐκφράζω τὰς ἀπείρους εὐχαριστίας μου καὶ τὴν βαθεῖαν εὐγνωμοσύνην πρὸς τὸν ἔγκριτον γυμνασιάρχην καὶ προσφιλῆ πρωτεξάδελφόν μου κ. Ἰωάν. Ν. Πρωτοπαπᾶν, ὡς ἀναλαβόντα λίαν φιλαδέλφως τὴν γενικὴν ἐπίβλεψιν κατὰ τὴν ἐκτύπωσιν τοῦ βιβλίου, ὡς καὶ τὴν διόρθωσιν αὐτοῦ. Ὡσαύτως καὶ πρὸς τὸν βιβλιοθηκάριον τῆς Μονῆς μας, Γέροντα κ. Χριστόφορον, διότι πάνυ προθύμως μοὶ χορηγεῖ τοὺς Κώδικας τῆς πλουσίας βιβλιοθήκης τῆς Μονῆς πρός τε ἀντιγραφὴν καὶ μελέτην.

Ἔγραφον ἐν τῇ ἱερᾷ Μονῇ τῆς Μεγίστης Λαύρας Ἄθωνος τῇ 1 Ἰουλίου 1919.

ΣΠΥΡΙΔΩΝ ΛΑΥΡΙΩΤΗΣ
ΙΑΤΡΟΣ-ΜΟΝΑΧΟΣ

ΒΙΒΛΟΣ ΚΑΛΟΥΜΕΝΗ Η ΔΙΟΠΤΡΑ

(*Κώδ. Λαυρεωτικός* Ω′ 0,17, μῆκος 0,18 *καὶ πλάτος* 0,12 ½. φυλ. 920)

ΚΕΦΑΛΑΙΟΝ Α′.

Κρεῖσσον φησὶν ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Κρεῖσσον ἄρα καὶ μετὰ ἀληθείας ψελλίζειν, ἢ μετὰ ψεύδους Πλατωνίζειν. Οὐχ' ὅταν γὰρ ὁ λόγος ρεῖ καὶ ἔξω τῶν ὅρων φέρεται, θαυμαστὸς ἐστίν, ἀλλ', ὅταν βραχὺς μὲν ᾖ τῷ μήκει, πολὺς δὲ τοῖς ἐνθυμήμασι, καὶ ἐν τῷ συντόμῳ καὶ σαφεῖ καὶ ἀκόμψῳ τῷ παραλλάκτῳ τῆς διδασκαλίας ἐν δόγμασι καὶ ἤθεσι διαλάμπων προφέρεται· οἱ γάρ τοι πνευματικοὶ τὰ πνευματικὰ συγκρίνοντες ὡς ἐπιστήμονες τὰς ἱερολογίας καὶ δόκιμοι οὐ λαμπρὰς καὶ γριφώδεις καὶ τετορνευμένας λέξεις καὶ συντάξεις ἐντέχνους καὶ καλλιεπείας, ἐν αἷς τὸ ψεῦδος πολλάκις διὰ τῆς δεινοτάτης μεθόδου καὶ κατασκευῆς ἐπικρύπτηται, καὶ τοὺς ἀπερισκέπτως καὶ ἀβασανίστως ἀναγινώσκοντας βλάπτει διαλανθάνον, ἐπιζητοῦσιν, ἀλλὰ τὰς τῆς ἀληθείας λαμπρυνομένας ῥήσεις καὶ τῷ Εὐαγγελικῷ κηρύγματι ἐπερειδομένας, εἰ καὶ διὰ βαρβαριζούσης καὶ σολοικιζούσης ἐκφωνοῦνται γλώττης· εὕρῃς τοίνυν, εἰ δὴ πιστῶς καὶ νουνεχῶς καὶ ἀφθόνως ἅμα καὶ ἀπεριέργως καὶ πάσης διπλόης ἐκτὸς καὶ ῥᾳδιουργίας εἶ ἐντυγχάνων, ἐνταῦθα δι' ὀλίγων καὶ σαφῶν ἐρωτήσεων καὶ διδασκαλικῶν ἀποκρίσεων, ὅσα κατὰ διαφόρους καιροὺς φαεινῶς λάμψασι φωστῆρσι καὶ διδασκάλοις περί τινων ἀναγκαίων τῆς εὐσεβοῦς ἡμῶν πίστεως ἐζητήθη καὶ λέλυται πολλῷ μόχθῳ καὶ ἀγῶνι τοῦ ταύτην τὴν βίβλον συντεταχότος πανσοφίου ἀνδρὸς εἰς οἰκοδομὴν τῶν θελόντων σωτηρίας τυχεῖν.—Οὐ μόνον δὲ τὰ τοῖς διδασκάλοις περί τινων ἀναγκαίων τῆς Ἐκκλησίας πεπονημένα ἀλλὰ καὶ ὅσα αὐτὸς οἴκοθεν ἐξέθετο σωτηρίαν ψυχῶν εὐγνωμόνων καὶ ὀρθοδόξων ὠδίνοντα καὶ διδάσκοντα.—Δεῖ τοίνυν τῷ σκοπῷ καὶ τῷ τέλει τοῦ λόγου προσερεθίζειν τὸ τῆς καρδίας ὄμμα. Ἡ γὰρ τοῦ λόγου κατασκευὴ καὶ ποικιλία ταῖς φιλοκόμψοις καλλιεπείαις οἱονεὶ μεταμορφουμένη λυμαίνεταί πως τῇ προηγουμένῃ θεωρίᾳ, κλέπτουσα λεληθότως τὴν αἴσθησιν καὶ πρὸς τὴν κατανόησιν τῆς ὑποθέσεως ἐπισκοτοῦσα τοὺς ἐντυγχάνοντας. Τὸ μέντοι προσδιαλέγεσθαι ἑαυτῷ καὶ προσωποποιΐας ἤθει τῇ ψυχῇ πεύσεις προσφέρειν καὶ αὖθις ἐπιλύειν τὰ ἄπορα καὶ τοῖς ἐν τῷ νόμῳ καὶ τῇ χάριτι εἴθισται.

Εὐλόγει, φησὶν ὁ Δαυΐδ, ἡ ψυχή μου τὸν Κύριον· καὶ αὖθις· ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου· καὶ ἐρῶ τῇ ψυχῇ μου, φησὶ περὶ τοῦ μὴ εἰς Θεὸν πλουτοῦντος, εἶπεν ὁ Κύριος, ψυχή, «ἔχεις πολλὰ ἀγαθά», ἀλλὰ καὶ ὁ ὑμνογράφος· «ψυχή, τὰ ὧδε πρόσκαιρα, ἐν ἄλλοις ἄλλα παρόμοια πολλάκις συντέτακται».

Στίχοι κυροῦ Κωνσταντίνου τοῦ βέστου καὶ
Γρανάτου εἰς τήν δε τὴν βίβλον.
Ὁ τήν δε θέλων ἀναγνῶναι τὴν βίβλον
μὴ πρὸς τὸ μέτρον ἀπίδῃς τὸ τῶν στίχων,
μὴ μαλακισθῇς τῷ σαφεῖ τῶν ῥημάτων
μὴ σχῆμα τυχὸν ῥητορικόν που σκόπει
μὴ φράσιν ἁβρῶς γλαφυρῶς τορνευμένην
μὴ κόμπον ἄλλον ἄκροτόν τε ποικίλον
μηδέν τι θέλγον ἀκοὰς ἀνηνύτως·
ἐκτὸς γὰρ αὕτη θελκτικοῦ παντὸς λόγου
καὶ σῶμα τέρπον οὔμενουν ἤσκηκέ τι·
ψυχὴν δὲ τὰ σώζοντα καὶ θέλγοντά γε
ἐνταῦθα πνευματικὰ τοίνυν ὄψει καὶ μόνον
καὶ νοῦν θεωρὸν ἐνθέων διδαγμάτων,
τῶν δ' αὖ ἐκεῖθεν ἱκανὴν γνῶσιν λάβεις,
ἐφ' οἷς ἀναγνῷς, εἰσκοπήσεις εὐστόχως,
οἷς καὶ δράσειας, τοὺς σεβασμίους λόγους
τοῦ τῇδε τούτους εὐφυῶς γεγραφότος,
ἀνδρὸς τιμίου καὶ γέροντος ἁγίου,
θαύμαζε τοῦτον ἀξιῶν ἐγκωμίων,
γέραιρε τίμα καὶ σεβάζου καὶ κάλει,
φθάνειν ᾀεί σοι τοῦδε τὰς δυσωπίας,
ἃς πρὸς τὸ θεῖον ἱλαρῶς ἀναφέρει.
Εἰ θέλεις δὲ καὶ τοὔνομα μαθεῖν τοῦ γεγραφότος
ἰδού, καὶ τοῦτο γράφω σοι καὶ ψηφίσας εὑρήσεις.
ὀκτὼ γράμματα ἔχει καὶ εἰσὶν ἐκ τούτων σύμφωνα πέντε
τρισύλλαβος ἐστίν, ἡ ὑστάτη καὶ μέση ἀνὰ τρία
γράμματα ἔχει ἑκάστη· ἡ λοιπὴ δὲ τὰ λοιπὰ
τοῦ παντὸς δ' ἀριθμός εἰσιν, ἑκατοντάδες τρεῖς
ἐκ τρίτου καὶ δεκάδες δὴ τετράκις

ἤγουν ὁ σύμπας ἀριθμὸς καὶ ψῆφος τούτων ϡω′=980, γράφεται καὶ οὕτω.

Τρεῖς μὲν ἔχει τὰς συλλαβάς, ὀκτὼ δὲ τὰ στοιχεῖα,
τὰ πέντε τούτων σύμφωνα τὰς δὲ ἀνὰ τριγράμμους,
σύμπας δ' ὁ τούτων ἀριθμὸς τοσοῦτος συμποσοῦται
δεκάδες μὲν διὰ τέσσαρες, τρεῖς τρεῖς δ' ἑκατοντάδες.

Ἑρμηνεία φ=500, ι=10, λ=30, ι=10, π=80, π=80, σ=70, σ 200. =Φίλιππος.

Ἐπιστολὴ παρακλητικὴ Καλλινίκου πρὸς Φίλιππον.

Τὴν πάλαι φιλίαν εἰδὼς τήν τε ὑμετέραν, λέγω, καὶ ἡμετέραν, ἣν ἐκ πρώτης ἥβης προτετιμήκαμεν τῶν ἄλλων, ἀλλὰ καὶ νῦν εἰσέτι αὐτὴν διατελοῦμεν ἐν ἐπιδόσεσιν ἀεὶ πρὸς τὰ κρείττω καὶ τελειότερα προβαίνοντες ὡς τὰς ψυχὰς οὐδ' ἐν ἀκαριαίῳ διαζεύγνυμεν, κἂν τὰ σώματα· καὶ ἐξεπιστάμενος τὸ φιλότιμον σου μάλιστα δὲ τὸ νουνεχὲς καὶ τὸ ἔμπειρον, ἐφ' οἷς εἰς ἅπαν τὴν ἱερὰν καὶ θείαν Γραφὴν ἐπιστημόνως ἐξῆλθες· προήχθην, ὁ πολὺς εἰς ἰδιωτείαν καὶ ἀμαθείαν ἐγώ, περὶ τούτου ἀξιῶσαι τὴν σὴν σύνεσιν, ὡς ἂν ἐκ συνδρομῆς καὶ συνεργίας σου τῆς μετὰ Θεόν τινα συλλογὴν ἐκθήσεις παρὰ τῶν ἱερῶν γραμμάτων καὶ θείων διδασκάλων τῆς καθ' ἡμᾶς εὐσεβοῦς πίστεως, καὶ ἡμῖν τοῖς ἀμαθέσιν ἐπιπέμψεις παρ' ὧν τὴν ἐλεεινήν μου ψυχὴν δυνηθείην ῥυθμίσαι πρὸς τὸ βέλτιον ἀπὸ τοῦ χείρονος. Ἔχεις δὲ καὶ σύ, ὡς οἶμαι, πάντως δι' ἐπαίνου τοῦτο ποιήσασθαι, ὑπεραποδεξάμενος τὸν ἐφ' ἡμᾶς τοῦτον σκοπόν. Ἅμα μὲν καὶ εἰς ἱκανὴν πολλῶν ὕστερον καὶ πρό γε τούτων ἡμῶν ὠφέλειαν ἐσόμενον, ἅμα δὲ καὶ σήν, ἀφ' ἡμῶν μὲν οὐδέν, (ἐν τίσι γάρ σε δωρεαῖς ἐν τούτῳ ἀμειψαίμεθα ;) ἀλλὰ παρὰ τοῦ ταῦτα πάντα χορηγοῦντος Θεοῦ ἡμῶν· τὰ γὰρ ἡμέτερα ὅπως ἔχουσιν οἶδας αὐτὸς ὡς τῶν ἄλλων οὐδείς, ὅτι τῶν ἰδιωτῶν καὶ ἀγροίκων οὐδὲν διενηνόχαμεν· ὁμοῦ μὲν καὶ διὰ τὴν ἐνοῦσαν ἀρχῆθεν ἀφυΐαν ὁμοῦ δὲ καὶ τὴν συνυπάρχουσαν ῥαθυμίαν τῇ ταπεινῇ μου ψυχῇ, τίς δὲ ὁ σκοπὸς καὶ οἵαν αἰτοῦμαι γενέσθαι τὴν ἐκ συλλογὴν τῶν θείων λογίων καὶ περὶ τίνων, ἐν καιρῷ καὶ πρότερον δεδηλώκαμεν συντυχίαις τῇ πολλῇ σου συνέσει· διά τοι τοῦτο λιπαρέστερον καὶ ἔτι ἀξιῶ τοῦ μὴ παριδεῖν φίλου ποθοῦντος παράκλησιν· ἵνα μὲν καὶ ἡμᾶς τὰ μέγιστα ὠφελήσῃς, καὶ ἑαυτῷ προξενήσῃς μισθὸν οἷον ἀνείληφεν ὁ τὰ πέντε διπλασιάσας τάλαντα.

Ἔρρωσο :

Ἑτέρα ἐπιστολὴ ἀντεπισταλτικὴ Φιλίπου πρὸς τὸν μοναχὸν Καλλίνικον

Τῇ κελεύσει σου εἴξας καὶ μὴ θέλων διὰ τὸ τῆς ὑπακοῆς καὶ ἀγάπης καλόν, καὶ τὸ ἐπίταγμά σου ἀποπληρώσας, τίμιε Πάτερ, καί, ἐν Χριστῷ ἀδελφὲ Καλλίνικε, περιέστησά σοι ταῦτα πάντα διὰ στίχων πολιτικῶν, εἰς λόγους πέντε κατὰ πεῦσιν καὶ ἀπόκρισιν. Ἡ πεῦσις τοίνυν τῆς ψυχῆς ἡ δ' ἀπόκρισις αὖθις τῆς σαρκός, καὶ ταῦτα τοι οὐ τῶν τὴν ἀκοὴν τῶν ἀναγινωσκόντων θέλγειν εἰωθότων, ἀλλὰ τῶν τὴν ψυχὴν εὐφρᾶναι δυναμένων, οὓς καὶ δεχόμενος, εἴ τι που παρὰ τὸ εἰκὸς εὑρήσεις, συγγνώμην ἀπόνειμε τῇ ἰδιωτείᾳ καὶ ἀγροικίᾳ μου· οὐ τοῖς λεγομένοις ἐνατενίζων καὶ τὸ κάλλος τῶν ἀκαλῶν λέξεων σκοπῶν· εὐτελῆ γὰρ ὡς ἀληθῶς καὶ πάσης ἀγροικίας καὶ ἰδιωτείας ἀνάμεστα, καὶ τὴν τοῦ προσάγοντος ἀποδεχόμενος ὑπακοὴν καὶ πρόθεσιν· εἰ δέ τι λεχθείη εὐδόκιμον τῷ Θεῷ τὴν αἰτίαν λογιστέον, καὶ αὐτῷ τὴν πρέπουσαν δοξολογίαν καὶ εὐχαριστίαν ἀναπεμπτέον, τῷ καὶ ἰδιώτας διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν πολλάκις σοφίζοντι καὶ τὴν δύναμιν ἐν ἀσθενείᾳ τελειοῦντι· εἰ δὲ δόξει ἐλλειπῶς καὶ ἄλλως πως γεγράφθαι, τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγγνωστέον, τῇ μὴ δυναμένῃ ἅ, ὡς βούλεται, φθάσαι καὶ γράψαι. Ταῦτα σοι, ὦ ἀδελφὲ καὶ πάτερ, κατὰ πολλὴν τὴν αἰδῶ συνθέντες, διὰ τὸ δεῖν τοῖς τῶν ἀδελφῶν ἐπιτάγμασι πείθεσθαι, καὶ ὡς ὁ νοῦς ἡμῶν ἐχώρει κατὰ σπουδὴν ἐκ τῆς ἁγίας Γραφῆς συλλεξάμενος τὰ ἀναγκαῖα καὶ χρειώδη καὶ τῇ ἁγιωσύνῃ σου ἁρμόζοντα καὶ τὰ ἀντιπρόσφορα κατὰ σπουδὴν ἀπεστάλκαμεν, καὶ εἴης ὑπὲρ ἡμῶν ἀδειαλείπτως εὐχόμενος, σεβασμιώτατε καὶ ἅγιε Πάτερ, ἵνα γένηται ἡμῖν τῶν ἐπταισμένων πάντων συγχώρησις, καὶ ἐν οὐρανοῖς ἀγαθῶν ἐπίτευξις καὶ βασιλεία καὶ ἀπόλαυσις.

Στίχοι ἀπολογητικοὶ δῆθεν.

Ὁ ἀμαθὴς πρὸς ἀμαθεῖς, ἐξ ὧν ἰσχύω λέγω
καὶ νουθετῶ καὶ παραινῶ κατὰ τὸ δυνατόν μοι,
καὶ κοσμικοὺς καὶ μοναστὰς ὑπομιμνήσκω πάντας
τοὺς ἰδιώτας κατ' ἐμὲ τῷ λόγῳ καὶ τῇ γνώσει,
οὐ μέντοι γε πρὸς γνωστικοὺς οὔτε μὴν πρὸς λογίους
οὔτε πρὸς ῥήτορας σοφοὺς οὔτε πρὸς διδασκάλους
οὐ μὲν πως οὐδὲ δέδοικα τοὺς ἐκ σκαμμάτων ἄθλους,

οὓς ὀφλισκάνουσι πολλοὶ φρονοῦντες ὑπὲρ μέτρον
ἀληθῶς γὰρ ὅπερ εἰμὶ καὶ λέγω καὶ δοξάζω.

Τάδε ἔνεστι ἐν τῷ α′ λόγῳ.

α′) Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων ἀνόητος ἐστὶν καὶ ἔνιαι τῶν τοῦ Χριστοῦ ἐντολῶν προτιμότεραι.

β′) Ὅτι ὁ ὑπομείνας τοὺς ἐπερχομένους αὐτῷ πειρασμοὺς εὐχαρίστως, ἀθλητής ἐστίν· Ὁ δὲ μὴ οὕτως καὶ τοὺς πόνους ὑπέμεινε καὶ μισθὸν οὐκ ἔχει.

γ′) Ὅτι χωρὶς ἀγάπης, εἰ καὶ πράττομέν τι κατ' ἐντολὴν τοῦ Θεοῦ, ἕωλον ἐστὶ καὶ μάταιον.

δ′) Ὅτι πολλοὶ πολλὰ καὶ μεγάλα ἔχοντες κατορθώματα, ἕτεροι δὲ μικρὰ καὶ ὀλίγα, εὑρεθήσονται τούτων ἴσοι, εἴτε καὶ μείζονες ὡς ἀπὸ τῆς γνώμης αὐτῶν καὶ προαιρέσεως.

ε′) Ὅτι διὰ μικρὰν ἀμέλειαν μεγάλα τίκτονται κακά.

ς′) Ὅτι οἱ ἀμελεῖς καὶ ἐν ἁμαρτίαις βιοῦντες καὶ μὴ μετανοοῦντες προαρπάζονται τῶν τῆδε ἀνηλεῶς καὶ βιαίως ἐν οὐ καιρῷ· οἱ δ' ἀνανεύοντες οὐχ' οὕτως.

ζ′) Ὅτι ἐὰν ἀγαπήσωμεν τὸν Θεόν, ὡς ἠγαπήσαμεν τὴν ἁμαρτίαν, καὶ δουλεύσωμεν αὐτῷ, ὡς ἐδουλεύσαμεν τῷ διαβόλῳ, ἀρκεῖ τοῦτο ἡμῖν εἰς σωτηρίαν.

η′) Ὅτι ἀδύνατον σωτηρίας τυχεῖν τὸν μὴ ἐξαγορεύσαντα ἐνθάδε τὰς ἑαυτοῦ ἁμαρτίας.

θ′) Ὅτι, εἰ καί τις ἁμάρτῃ καὶ τῷ Μανασσῇ ἐξισωθῆναι ἐκείνῳ, ἐπιστρέφει δὲ ἐν συντριβῇ καρδίας καὶ ἀληθινῇ ταπεινώσει, καὶ μετὰ θερμῶν δακρύων προσέλθοι τῷ Θεῷ, λαμβάνει τὴν συγχώρησιν, κἂν μηδὲν ἄλλο ἀγαθὸν δύναται ἐργάσασθαι.

Στίχοι α ω μ′ (Διάλογος)

Ψυχή. Πολλοὺς μὲν ἔχομεν καιροὺς καὶ χρόνους, δούλη,
ἐξ ὅτου συνεζεύχθημεν ὑπὸ τοῦ κτίστου πάντων,
ἠρώτησα δ' οὐδέποτε τίσε τῶν συμφερόντων,
ἀρτίως δὲ σ' ἐρωτῶ μηδέν με μέμφῃ ὅλως.
Εἰπέ μοι, σάρξ, εἴ τι φρονεῖς τίποτουν ὠφελείας,
καὶ λόγους παραινετικοὺς φράσον διδασκαλίας.
Σάρξ. Τὴν μέλησιν δὲ σύγγνωθι καὶ ἄφες δέομαί σου,

εἴπερ κελεύεις λέγω σοι ἀγροικικῶς δὲ πάνυ,
ὅτι γραμμάτων ἄπειρος τυγχάνω δέσποινά μου.

Ψυχή. Ἀλλ' οὐδ' ἐγὼ ἐλλόγιμος κατὰ πολὺ τυγχάνω
ὡς δύνασαι ἃ δύνασαι λέξον μοι μετὰ θάρρους,
πλὴν ὁ σκοπὸς πρὸς ὄφελος ψυχῆς ἀπονευέτω.

Σάρξ. Καὶ ἄκουσον, κυρία μου, καὶ πρόσχες μοι τοῖς λόγοις·
πολλῶν γὰρ ἤκουσα ποτὲ λεγόντων πρὸς ἀλλήλους
τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ τὸν ἄνθρωπον οὖν λέγω
οὐ μὴ κολάσει ὁ Θεὸς πιστόν, βεβαπτισμένον,
ἀλλ' ἄπιστον; ἀβάπτιστον καὶ θρῆσκον, ἐθνικόν τε.
Καὶ τούτων κατεγέλασα πάνυ τῆς ἀμαθίας·
ὁ μέγας γὰρ Βασίλειος καὶ διδάσκαλος ὄντως
πρὸς τούτοις ἀντιτίθεται καὶ φησὶν ἀριδήλως·
ὁπόταν γὰρ τῷ βασιλεῖ πταίσῃ τις τῶν ἀρχόντων
ἀνήκεστον, ἀσύγγνωστον, καὶ μέγιστόν τι πταῖσμα
καὶ μέλει τοῦτον ἀφειδῶς ραβδίσαι καὶ κολάσαι,
πρῶτον τὴν ζώνην ἀπ' αὐτοῦ αἴρουσι τῆς ἀξίας
καὶ γίνεται ἀνάξιος, ἧσπερ τιμῆς κατεῖχε.
καὶ οὕτως ὡς πανάτιμος δέχεται τὰς βασάνους·
ὡσαύτως νόμον ἔχουσιν ἐπὶ τῆς Ἐκκλησίας
ἀρχιερεῖς, ἐπίσκοποι, σὺν τοῖς μητροπολίταις·
καὶ ὅταν πέσῃ ἱερεὺς εἰς ἔγκλημά τι μέγα
ἐν πρώτοις τούτου τὴν στολὴν αἴρουσι τῆς ἀξίας.
Καὶ οὕτως αὖθις σχίζουτι τοὺς χιτωνίσκους, οἴμοι,
ἀπὸ πάσης δεικνύουσι μετὰ πομπῆς τὸν τάλαν
καὶ οὕτω τότε τὸν αὐτὸν ὡς μὴ παπᾶν κολάζουν,
τοιοῦτον καὶ ἐπὶ Θεοῦ μοι νόησον κυρία·
Τὸ βάπτισμα, τὸ χάρισμα, ἐκ πάντων ἀφαιρεῖται
τῶν καταρρυπωσάντων γε τοῦτο ἐν ἁμαρτίαις,
καὶ οὕτω τούτους μαστιγοῖ ἄνευ αὐτοῦ, ὡς ἔφην,
παράνομον παράλογον, ἀνάξιον τε πέλει,
τὸ χάρισμα τὸ δώρημα τοῦ Θεοῦ καὶ Δεσπότου
σχοῦσαν ψυχὴν μεθ' ἑαυτῆς κολάζεσθαι τῷ τότε,
ἀλλὰ γυμνήν, παντάλαινα, τοῦ βαπτίσματος δίχα.
Καὶ ταῦτα μὲν οὐκ ἔγω γε, Βασίλειος δ' ὁ μέγας,
ἀναφανδὸν καὶ παραινεῖ τοῖς πᾶσι τε διδάσκει,
ἀλλὰ καὶ Ἀμφιλόχιος πρόεδρος Ἰκονίου,
καὶ ὁ Ἰωάννης ὁ χρυσοῦς τὴν γλῶσσάν τε καὶ στόμα.

Ψυχή. Δεικνύεις μοι καὶ ἕτερον πρὸς τούτους συμφωνοῦντα
τοῖς προλεχθεῖσι τῷ σοφῷ τοιγάρ τοι Βασιλείῳ ;
τὰ τῶν πλειόνων πάντῃ γὰρ εὐπαράδεκτα πέλει,
τοῦ δὲ ἑνὸς ἀμφίβολα καὶ δυσπαράδεκτά πως.
Σάρξ. Καὶ ἄκουσον, Κυρία μου, παρόμοιον πρὸς τούτοις
καὶ πίστευσον καὶ πείσθητι ἐκ τῆς Γραφῆς, ὃ λέγω·
Ὁ Παῦλος καὶ διδάσκαλος φωστὴρ τῆς Οἰκουμένης,
τοῖς ἐξ Ἑβραίων γέγραφε τοῖς οὖσιν ἐν τῇ Ῥώμῃ·
περιτομὴ μὲν ἔστ' ὠφέλεια, ἐὰν φυλάττῃς νόμον,
ἂν δέ γε τοῦτον οὐδαμῶς φυλάττῃς, ὦ Ἑβραῖε,
περιτομή σου γέγονεν ἀκροβυστία πάλιν·
ἐν γὰρ Χριστῷ μου Ἰησοῦ περιτομὴ οὐδέν τι
ὅλως ἰσχύει οὐδαμῶς οὔτε ἀκροβυστία·
ἀλλ' ἐντολῶν ἡ τήρησις τοῦ Θεοῦ καὶ Δεσπότου
οὐ γὰρ ἀκροαταί, φησί, τοῦ νόμου δικαιοῦνται
ἀλλ' οἵ γε τούτου ποιηταὶ καὶ τηρηταὶ εἰς ἅπαν.
Καὶ ὥσπερ τούτους, τάλαινα ψυχή μου παναθλία,
οὐκ ὠφελεῖ περιτομὴ τὸν νόμον ἀθετοῦντας,
οὕτω καὶ σὲ τὸ βάπτισμα, τὰ ἔργα μὴ ποιοῦσαν.
Ἀπὸ τοῦ στόματος Χριστοῦ ἄκουσον δὲ τὸ ὅλον
οὐ πᾶς, φησίν, ὁ λέγων με Κύριον καὶ Δεσπότην,
ἐκεῖνος εἰσελεύσεται εἰς ἐμὴν βασιλείαν,
ἀλλ' ὁ ποιῶν τὸ θέλημα ἐκ πόθου τοῦ Πατρός μου.
μηδεὶς ἐξαπατάτω σε, μηδεὶς παραμυθείτω,
ὅτι τὸ βάπτισμα χωρὶς τῶν ἔργων δικαιοῖ σε,
ἡ πίστις πάντως σου νεκρὰ χωρὶς τῶν ἔργων πέλει,
ὁμοίως καὶ τὰ ἔργα σου τῆς πίστεως ἀπούσης,
σπούδασον ταῦτα ταπεινὴ ἀμφότερα τοῦ κτᾶσθαι
πίστιν καὶ ἔργα ἐν ταὐτῷ καὶ σῴζου, ὦ ψυχή μου.
Ψυχή. Καὶ ποῖα τοίνυν πέλουσιν ἅπερ μοι λέγεις ἔργα,
ἵνα σπουδάσω κτήσασθαι καὶ σωθῶ διὰ τούτων,
εἰπέ μοι ταῦτα φανερῶς μὴ ἀποκρύψῃς, δούλη.
Σάρξ. Πολλὰ μὲν οὖν ὑπάρχουσι χριστιανῶν τὰ ἔργα
ἀλλ' οὖν ἀναγκαιότερα καὶ χρειωδέστερά πως,
κυρία, ἓξ τυγχάνουσι, δι' ὧν καὶ κληρονόμοι
τῆς βασιλείας γίνονται καὶ δόξης τοῦ Χριστοῦ μου
οἱ ταῦτα καλῶς πράξαντες ὡς ἀπ' αὐτοῦ μανθάνω
καὶ ἄκουσον κατ' ὄνομα τὴν φράσιν τῶν πρακτέων.

πεινῶντα μὲ ἐθρέψατε, διψῶντα πάλιν ὕδωρ,
καλῶς μὲ ἐποτίσατε καὶ ξένον ἔνδον στέγης
συνεισηγάγετε καὶ γὰρ καὶ γυμνητεύοντά με
στολὴν περιεβάλετε ἀλλὰ καὶ ἀσθενοῦντα
σπουδαίως ἐπεσκέψασθε, ἐν φυλακῇ δὲ αὖθις
ἤμην καὶ ἤλθετε ἐκεῖ παραμυθήσασθαί με.
Πολλὰ μὲν οὖν πεφύκασι καὶ ἕτερα μεγάλα
καὶ εἶχον πάντως καὶ αὐτὰ πρὸς οὓς ἐφώνει ταῦτα·
ἀλλ' ὡς ἀναγκαιότερα τῇ ἀνθρωπίνῃ φύσει,
καὶ χρειωδέστερα λοιπὸν πρὸς τὸ ζῆν πεφυκότα,
ταῦτα τὰ ἓξ ἀπαριθμεῖ, τὰ δὲ λοιπὰ οὐκέτι·
εἰς ταῦτα μὲν βιάζεται μικρούς τε καὶ μεγάλους
καὶ αὖ πλουσίους, πένητας, δούλους, καὶ ἐλευθέρους,
εἰς δέ γε τἄλλα ἅπαντα βιάζεται οὐδένα
ἀλλ' ἐπαφίησιν αὐτὰ ἡμῶν τῇ προαιρέσει.

Ψυχή. Καὶ ποῖα γοῦν τυγχάνουσι μαθεῖν καὶ ταῦτα θέλω
εἰς ἅπερ οὐ βιάζεται οὔτ' ὅλως ἀναγκάζει ;

Σάρξ. Τὸ παρθενεύειν τοιγαροῦν ὁμοῦ καὶ τὸ μονάζειν,
τὸ χαμευνεῖν, καὶ ἀγρυπνεῖν, καὶ ἀσιτεῖν, καὶ τρύχειν
τὸ ξενιτεύειν καὶ ῥιγοῦν καὶ ἐν ἐρήμοις πέλειν
περιβεβλῆσθε ῥάκη μεμεστωμένα φθεῖρας.
τὸ ἐκκλησίας κτίζειν τε καὶ ζωγραφεῖν αὐτάς γε
καὶ τὸ κοσμῆσαι τὰς αὐτὰς ἀνελλειπῶς ἐν πᾶσιν.
οὐ γὰρ προστάσσει ταῦτα γε Χριστός μου ἀλλὰ φάσκει :
ὡς ὁ δυνάμενος χωρεῖν, χωρείτω καὶ ποιείτω.
Εἰσὶ καὶ ἕτερα πολλὰ παρόμοια πρὸς τούτοις,
ἐκτὸς τῶν ἓξ τυγχάνοντα τῶν ἤδη προγραφέντων,
ἅπερ ὀφείλει πᾶς πιστὸς καὶ πράττειν καὶ φρονεῖνγε
ἀλλ' οὖν ἀναγκαιότερα ταῦτα τὰ ἓξ τυγχάνει
πρὸς τὴν ζωὴν καὶ σύστασιν τῶν ἁπάντων ἀνθρώπων
καὶ διὰ τοῦτο ὁ Χριστὸς ἐάσας πάντα τἄλλα
περὶ τῶν ἓξ γε τούτωνί ἐν ἄλλοις οὕτως λέγει·
οἰκτίρμονες οὖν γίνεσθε, ὡς ὁ Πατὴρ οἰκτίρμων
ὑμῶν ὁ ἐπουράνιος ἐστὶν ἐπὶ τοὺς πάντας·
οὐκ εἶπεν οὖν νηστεύετε, ὡς ὁ Πατὴρ νηστεύει,
οὐκ εἶπε ψάλλετε πολλά, ὡς ὁ Πατήρ μου ψάλλει
οὐκ εἶπε κοπιάσατε, οὐκ εἶπεν ἀγρυπνεῖτε,
οὐκ εἶπε μὲν μονάσατε, οὐκ εἶπε χαμευνεῖτε·

οὐδὲν ἐκ τούτων εἴρηκεν ἀλλὰ τὸν οἶκτον πάντες,
καὶ θέα πρᾶγμα φοβερὸν καὶ ὅρα πρᾶγμα ξένον·
ἐν οὐδενὶ γὰρ τῶν λοιπῶν ἀγαθῶν ὁ Χριστός μου
ἡδέως θεραπεύεται, ὡς τῷ ἐλέει μᾶλλον,
καὶ εὐσπλαγχνίᾳ μέντοιγε καὶ συμπαθείᾳ οἴκτου
καὶ θέλει ἔλεον αὐτὸς καὶ οὐ θυσίαν μᾶλλον
καὶ ἄκουσον κυρία μου, λόγον βραχὺν καὶ φρίξον
οὐδὲν γὰρ ἄλλο κτώμεθα Θεοῦ ἴδιον ὄντως
ὡς τὸ τοὺς πέλας εὖ ποιεῖν καὶ τὸ οἰκτείρειν τούτους·
καὶ σύνες τὸ λεγόμενον ἐκ τῶν δέκα παρθένων
εἶχον μὲν ἅπαντα καλῶς τὰ ἤδη προγραφέντα.
καθὼς αἱ πέντε φρόνιμοι καὶ αἱ μωραὶ ἐξ ἴσου·
καὶ παρθενίαν ἀληθῆ ὁμοῦ καὶ ἀγρυπνίαν
εὐχάς, νηστείας, δάκρυα, καὶ ἄσκησιν εἰς ἄκρον
καὶ τεθλιμμένην καὶ στενὴν προσεβάδισαν τρίβον,
σκληραγωγίαν ἅπασαν, καὶ κακουχίαν αὖθις
καὶ τῆς σαρκὸς τὰς ἡδονὰς ἐπάτησαν ἁπάσας
καὶ ἁμαρτίας ἅπαντα ἐβδελύξαντο ῥύπον·
τὸ δ' οὖν ἀναγκαιότερον οὐκ ἐφρόντισαν, οἴμοι,
οὐκ ἔσχον οἶκτον, καὶ μωραὶ ἐκλήθησαν εἰκότως,
ἐπεὶ οὐκ ἠλεήσατε, ὑμᾶς οὐκ οἶδα φήσας
ἐμοὶ ἀναγκαιότερον τὸ ἐλεεῖν τὸν πέλας
ταῦτα γὰρ πάντα ἕωλα, μὴ ὄντος καὶ ἐλέους·
ἀπέλθετε, ἀπέλθετε τῆς ἐμῆς πύλης πόρρω,
καί, φεῦ μοι, πῶς οὐκ ἤνοιξεν αὐταῖς γε ὁ νυμφίος
οὔτε νυμφῶνος ἔτυχον οὔτε τῆς τούτου δόξης·
ἀπὸ Χριστοῦ μανθάνομεν, σύνες ψυχὴ καὶ φρίξον,
καὶ ἄκουσον καὶ πίστευσον καὶ μὴ διστάζῃς ἔτι·
τοὺς μέντοι ἐξ ἀριστερῶν σταθέντας ἐν τῇ κρίσει
πορεύεσθαι, κατάρατοι, ἀπ' ἐμοῦ προσφωνήσει
εἰς φλόγα τὴν αἰώνιον μετὰ τοῦ διαβόλου,
οὐχ ὅτι πόρνοι καὶ μοιχοὶ ἐγένεσθε οὐδ' ὅτι
λησταὶ καὶ κλέπται καὶ φονεῖς καὶ ἅρπαγες τελῶναι,
ἢ λοίδοροι, κατάλαλοι καὶ μέθυσοι καὶ λάγνοι
καὶ ἀλαζόνες, φθονεροί, φιλάργυροι, προδόται
καὶ βλάσφημοι, ἀχάριστοι, ὑπερήφανοι, ψεῦσται,
ὀργίλοι καὶ θυμώδεις τε καὶ γαῦροι αἰσχρολόγοι,
οὐδὲν ἐκ τούτων οὐδαμῶς προσείπῃ τούτοις ὅλως·

ἀλλ' ὅτι ἐθεάσασθε πένητα καὶ πτωχὸν
πεινῶντα καὶ διψῶντα με καὶ γυμνητεύοντά με
καὶ ξένον ἀσθενοῦντα με ἐν φυλακῇ τε πάλιν
καὶ οὐ διηκονήσατε οὐκ ἠλεήσατέ με·
καὶ αὖθις βεβαιοῦμαί σοι τὸν λόγον καὶ παρ' ἄλλου,
πάντως γὰρ ἤκουσας ψυχὴ τὸν πλούσιον ἐκεῖνον
καὶ πῶς ἐτηγανίζετο ἐν τῇ φλογὶ βιαίως,
οὐχ ὅτι ἔπραξε κακὸν ἐν ἔργῳ τε καὶ λόγῳ,
οὐδ' ὅτι ἔπταισε ποτὲ τῷ πέλας τὸ παράπαν,
οὐδὲ προσέκρουσε Θεῷ παρ' ὅλον του τὸν χρόνον·
ἠρκεῖτο γὰρ τοῖς ἑαυτοῦ πλεονεκτῶν οὐδένα,
εἰ γὰρ τρυφῶν ἀκήκοας καὶ εὐφραίνεσθαι τοῦτον
τὸ καθ' ἡμέραν οὖν λαμπρῶς ἀλλ' οὐκ ἔγκλημα,
ὃ κατεδίκασεν αὐτὸν εἰς τὸ πῦρ ἐμβληθῆναι τοῦτο,
ἀλλ' ὅτι γε τὸν Λάζαρον οὐκ ἔθρεψε πεινῶντα,
ἀλλ' οὔτε ἕτερον τινὰ τῶν πτωχῶν τε καὶ ξένων·
ὁρᾷς, κυρία, φοβερὸν πρᾶγμα φρικτὸν καὶ ξένον ;
καὶ πῶς ὁ οἶκτος πέφυκε προτιμητέος πάντων
καὶ ὁρατὸς γινόμενος διὰ τῶν ἕξ, ὧν εἶπον;

Ψυχή. Καὶ ταῦτα, εἴπερ κτήσωμαι κατὰ τὸ δυνατόν μοι,
καὶ πράττω πάντα ἱλαρῶς, σῴζομαι πάντως δούλη ;
εἰπέ μοι, εἴγε καὶ ἔστιν ἕτερον τι πρὸς τούτοις,
ὅπερ ὀφείλω τοῦ ποιεῖν καὶ ἀγνοῶ τί πέλει
τῇ ὑστερήσει τούτου γε μὴ τὸ πᾶν ἀπολέσω :

Σάρξ. Καλὰ μὲν δὴ πεφύκασι ταῦτα τὰ ἓξ καὶ πάνω
πρὸς εὐαρέστησιν Θεοῦ καὶ θεραπείαν τούτου·
ἀλλ' οὖν τὸ μεγαλύτερον καὶ κρεῖττον πάντων πάντως
παρὰ μικρὸν ἀνάγραπτον κατέλιπον ἂν τοῦτο·

Ψυχή. Καὶ τί ἐστί, καὶ τί πέλει, τοῦτο τὸ μεῖζον πάντων ;
εἰπὲ καὶ τοῦτο φανερῶς μήπως εὐθύνας τίσῃς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Σάρξ. Καὶ ἄκουσον, κυρία μου, τοῦ Παύλου παραινοῦντος,
ἐὰν οὖν πίστιν ἔχωμεν καὶ ὄρη μεθιστάνειν,
καὶ ἂν ψωμίσωμεν φησὶ τὰ ὑπάρχοντα πάντα,
καὶ σῶμα παραδώσωμεν πρὸς τὸ κατακαυθῆναι,
νηστείαις δ' ὑπερτήξωμεν καὶ τῇ σκληραγωγίᾳ,
καὶ γνῶσιν ἐὰν ἔχωμεν πᾶσαν τε καὶ σοφίαν,

καὶ προφητείας χάρισμα τὰ μέλλοντα προβλέπειν,
γλώσσας λαλεῖν ἀνθρώπων τε ὁμοῦ καὶ τῶν Ἀγγέλων,
οὐδέν σε ταῦτα ὠφελεῖ μὴ ἔχουσαν ἀγάπην,
μεῖζον γὰρ πάντων τῶν καλῶν καὶ πλήρωμα τοῦ νόμου,
ἀγάπη ἐστίν, ὥς φησιν ὁ θειότατος Παῦλος.
ἀλλὰ καὶ ἐπιστήθιος ὡς Ἰωάννης γράφει,
ἀγάπη ἐστὶν ὁ Θεὸς καὶ ὁ γὰρ μένων ἐν ταύτῃ,
μενεῖ, φησίν, ἐν τῷ Θεῷ καὶ ὁ Θεὸς ἐν τούτῳ.
καὶ ἡ κυρία δὲ φωνὴ ἐν τοῖς Εὐαγγελίοις·
ἐν ταύταις γὰρ ταῖς ἐντολαῖς ταῖς δυσὶ πᾶς ὁ νόμος,
καὶ οἱ προφῆται κρέμανται πᾶσα Γραφὴ πληροῦται.
ἐν τῷ τὸ πρῶτον ἀγαπᾶν τὸν Θεὸν ἐκ ψυχῆς σου
ἐξ ὅλης τῆς καρδίας σου καὶ τῆς ἰσχύος ὅλης,
καὶ τὸν πλησίον σου, φησίν, ὡς ἑαυτὸν κυρία.
ἀγάπη ἔνι πρὸς Θεὸν ἐκεῖ καὶ πίστις πᾶσα
καὶ ἔνθα πίστις ἐκ ψυχῆς ἐκεῖ ἀγάπη πάλιν,
καὶ ὅπου ἦν καὶ πέφυκεν ἀγάπη τε καὶ πίστις
ἐκεῖ καὶ ἔργα δείκνυνται ὡς ἀληθῶς, φιλτάτη.
ἔνθα δ' ἀγάπη οὐκ ἔστιν, οὔτε πίστις οὔτε ἔργα.
Ἤκουσας πάντως, ὦ ψυχή, τὰ καλὰ τῆς ἀγάπης
καὶ πῶς ἐκ ταύτης τίκτονται καὶ τὴν ἀρχὴν ὡς ἔχει
λαμβάνουσι καὶ ἔχουσι καὶ γεννῶνται τὰ κρείττω·
ζήλου λοιπὸν καὶ δίωκε τοῦ κτήσασθαι ἀγάπην
ταύτης γὰρ δίχα οὐδαμῶς σῴζεται μέροψ ὅλως
καθάπερ σοὶ ἀπέδειξα ἐκ τῶν Γραφῶν κυρία.

[Ψ]υχή. Εὑρέθη τίς που πώποτε τοιαύτην τὴν ἀγάπην
πρὸς τὸν Θεὸν ἐνδείξασθαι ὁμοῦ καὶ πρὸς τὸν πέλας
τοῦ ἀγαπᾶν ἐξ ὅλης τε καὶ ψυχῆς καὶ καρδίας
καὶ τῆς ἰσχύος τῆς αὐτοῦ τὸν Θεὸν καὶ τὸν πέλας;

[Π]άρξ. Πολλοὶ μὲν οὖν εὑρέθησαν καὶ πρὸ Χριστοῦ καὶ μέτα,
ἀλλ', εἴγε θέλεις τοῦ μαθεῖν, τίς τὸν Θεὸν ἠγάπα
ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ καὶ ὅλης τῆς καρδίας
καὶ τῆς ἰσχύος τῆς αὐτοῦ, καθὼς ὁ νόμος λέγει,
καὶ τὸν πλησίον ὡς αὐτόν, ἀνάγνωθι τὴν Παύλου
ἐπιστολήν, ἣν ἔγραψεν ὁ μέγιστος Ρωμαίοις,
καὶ γνώσῃ πάντως τὴν αὐτοῦ διάπυρον ἀγάπην.
καὶ ἄκουσον καὶ θαύμασον καὶ φρίξον, ὦ Κυρία,
τὴν δύναμιν, ἣν ἔχουσι, τὰ ῥήματα τοῦ Παύλου

οὗτος τοιγάρτοι πρὸς αὐτοὺς ἀνακέκραγε λέγων
ἐκ τῆς ἀγάπης τοῦ Χριστοῦ μηδὲν ἡμᾶς χωρίσῃ·
οὐ θλίψις οὔτε κίνδυνος οὔτε στενοχωρία,
οὔτε λιμός, οὐ διωγμός, οὔτε γυμνότης ὅλως,
ἀλλ' οὔτε μάχαιρα, φησίν, οὔτε θανάτου φόβος
οὔτε δυνάμεις καὶ ἀρχαὶ οὔτε Ἄγγελοι πάντες
τὰ ἐνεστῶτα ἅπαντα τὰ μέλλοντα δ' οὖν αὖθις,
οὐ βάθος, οὔτε ὕψωμα οὔτε κτίσις ἑτέρα
χωρίσαι με δυνήσεται τῆς τοῦ Θεοῦ ἀγάπης.
Καὶ τὴν ἀγάπην πάλιν δὲ τὴν ἣν πρὸς τὸν πλησίον
ἐκέκτητο καὶ ηὔχετο σωθῆναι πάντας θέλων,
αὐτὸς ἐγὼ ἀνάθεμα ηὐχόμην τοῦ γενέσθαι
ἀπὸ Χριστοῦ μου καὶ Θεοῦ ὑπὲρ τῶν ἀδελφῶν μου
τῶν συγγενῶν μου, οἵ εἰσὶ τοῦ Ἰσραὴλ οἱ παῖδες,
τοιαῦτα τίς ἀκήκοεν ἐκ τοῦ αἰῶνος ὅλου,
ἢ τίς ἐφάνη ἐπὶ γῆς, κατὰ τὸν Παῦλον, ἄλλος,
τίς δὲ δυνήσεται τὰ νῦν ῥῆξαι φωνὰς τοιαύτας
τὴν πίστιν τὴν ἀγάπην τε, ἣν πρὸς Θεὸν ἐδείκνυ,
τὴν παρρησίαν τὴν αὐτοῦ ἀλλὰ καὶ τὴν ἀνδρείαν,
ἣν πρὸς Θεὸν ἐκέκτητο καὶ πάντων κατεφρόνει,
καὶ πάντα εἶχεν, ὡς οὐδέν, ἵνα Χριστὸν κερδήσῃ.
οὐδείς, ὡς οἶμαι, δέδεικται κατὰ τὸν Παῦλον.
ἤκουσας πάντως, δέσποινα, ἀγάπην πληρεστάτην,
ἣν ἔδειξαν τὰ ῥήματα τοῦ σοφωτάτου Παύλου,
καὶ πρὸς Θεὸν καὶ πρὸς ἡμᾶς τοὺς πέλας λέγω πάντας.

Ψυχή. Καὶ ἤκουσα καὶ ἔμαθον ἐξέστην ὅλως ὅλη
καὶ τοῦ ἀνδρὸς ἐθαύμασα τὴν ἀρετήν, παιδίσκη.

Σάρξ. Κυρία μου καὶ Δέσποινα, ἄνθρωπος ἦν καὶ οὗτος,
σοῦ κατὰ πάντα ὅμοιος καὶ τὴν ψυχὴν καὶ σῶμα,
σωθῆναι, εἴγε βούλοιο, τοῦτον μιμοῦ καὶ σῴζῃ,
καί, ὅταν ἔλθῃ ἐπὶ σὲ πειρασμός τε καὶ θλίψις
ὑπὸ δαιμόνων πονηρῶν ἢ πανούργων ἀνθρώπων,
ἐννόησον τοὺς πρό παλαι πῶς ἔφερον γενναίως
τὰ λυπηρὰ καὶ θλιβερὰ καὶ πειρασμοὺς παντοίους.
Θέλεις ψυχὴ τοὺς μάρτυρας θέλεις τοὺς ἀποστόλους
θέλεις ὁσίους, ἀσκητὰς εἴτε τοὺς ἐν ἐρήμῳ,
τὴν καρτερίαν τὴν αὐτῶν ὁμοῦ καὶ τὴν ἀνδρείαν,
μιμοῦ κ' αὐτὴ καὶ μηδαμῶς καταπεσθῇς εἰς τέλος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

υχή. Πολλοὶ ἐπῆλθον ἐπ' ἐμὲ πειρασμοὶ καὶ μεγάλοι,
ἐγὼ δ' ὡς ὢν ταλαίπωρος οὐ δύναμαι βαστάσαι
άρξ. Ψεύδη, κυρία μου, πολλὰ προφασίζῃ προφάσεις.
καὶ ἄκουσον καὶ πείσθητι ἐκ τῶν ῥημάτων Παύλου.
Εὐλογητὸς οὖν ὁ Θεός, ὃς οὐκ ἐάσει, φήσας
ἡμᾶς τοῦ ὑπὲρ δύναμιν κἂν ὅλως πειρασθῆναι
ἀλλὰ μετὰ τὸν πειρασμὸν ποιήσει καὶ βαστάσαι.
λοιπὸν οὖν κατὰ δύναμιν ἐπέρχονται αἱ θλίψεις
εἰς τοὺς μεγάλους τοιγαροῦν ἤτοι μεγαλοψύχους,
μεγάλαι ἐπεισέρχονται, εἰς τοὺς μικροὺς μικραί γε,
καὶ οἵας οἶδεν ὁ Θεὸς ἵνα βαστάσῃς πάντως
ἐκείνας γε καὶ συγχωρεῖ ἐπεισελθεῖν σοι τάχα.
καὶ πῶς, κυρία, λέγεις μοι μὴ δύνασθαι βαστάσαι ;
τοῦτο γὰρ δῆλον πέφυκεν, ὡς οὐ ποθεῖς σωθῆναι·
ἀπόβλεψον πρὸς ἅπαντας τοίνυν τοὺς προλεχθέντας
ὅτι πολλοὺς ὑπέμειναν πειρασμούς τε καὶ θλίψεις,
δι' ὧν περ ἐκαθάρθησαν ἐκ πάσης ἁμαρτίας,
ὥσπερ χρυσὸς ἢ ἄργυρος ἄνευ πυρὸς οὐδόλως
καθαίρονται καὶ δόκιμοι φαίνονται τοῖς ἀνθρώποις,
οὕτω καὶ ἄνευ θλίψεως οὐ καθαίρεται πάθη·
διὸ καὶ σὲ παντάλαινα ὁ πειρασμὸς καθαίρει
καὶ ἄνευ τούτου οὐδαμῶς τὰς ἁμαρτίας φύγῃς,
οὐδείς, φησίν, ἀπείραστος εἰσελθεῖν δυνηθείη
εἰς βασιλείαν οὐρανῶν, ὡς ἀκούομεν πάντες·
Χριστὸς γὰρ τοῦτο ἔφησεν οὐ μύστης, οὐ προφήτης.
οἱ πειρασμοί, παντάλαινα, διὰ τεσσάρων τρόπων
ἡμῖν ἐπισυμβαίνουσι πρὸς τὸ συμφέρον δέγε,
ἢ πάντως πρὸς ἐξάλειψιν τῶν ἤδη ἐπταισμένων,
ἢ πάλιν εἰς περικοπὴν κακῶν ἐνεργουμένων
καὶ πραττομένων ἀδεῶς ἁμαρτημάτων λέγω,
ἢ καίγε εἰς ἀποτροπὴν μελλόντων σοι πραχθῆναι,
εἰ δὲ μηδὲν ἐκ τῶν τριῶν εἰργάσω, εἴτε μέλλεις,
πρὸς δοκιμὴν καὶ πύρωσιν λοιπὸν ὁ τέταρτός σοι,
ὡς ὁ Ἰὼβ ὁ πάνταθλος καὶ Ἀβραὰμ ὁ τότε·
Μὴ δυσχεραίνῃς πρὸς αὐτοὺς μηδὲ βαρέως φέρῃς
ἀλλ' εὐχαρίστως ἅπαντα τὰ συμβαίνοντα δέχου·

εἰ δὲ ἐμοὶ οὐ πείθεσαι, πείθου τῷ σοφωτάτῳ
Ναζιανζοῦ Γρηγορίῳ τάδε σοι παραινοῦντι
καὶ δέχου τὰ συμβαίνοντα ὡς τὰ συμφέροντά σοι·
ὡς ἴαμα τὴν παίδευσιν, ὡς σοφωτάτη δέχου,
ἵν' ὅπως, ὡς ὁ καρτερὸς Ἰὼβ, δικαιωθήσῃ
ὅτι γενναίως ἔφερε καὶ εὐχαρίστως πάντα
τὰ ἐπερχόμενα αὐτῷ παρὰ τοῦ διαβόλου,
καὶ σύνες πρᾶγμα φοβερὸν καὶ σύνες πρᾶγμα ξένον,
τὰ χρήματα καὶ κτήματα ὁ πλοῦτος καὶ τὰ κτήνη
καὶ τὰ παιδία, δέσποινα, τῶν ἀμφοτέρων ἦσαν,
τοῦ τε Ἰὼβ καὶ τῆς αὐτοῦ γυναικός· ὢ θαῦμα,
καὶ ὅταν ἀφῃρέθησαν τούτων ἁπάντων, οἴμοι,
τοὺς πόνους ἴσα τῷ ἀνδρὶ ἐδέξατο καὶ αὕτη,
καὶ τὴν καρδίαν περισσῶς ἔπληξαν τὰ συμβάντα·
ὡς οἶσθα γὰρ ἐν γυναιξὶ πλειόνως ἀναφλέγει
ὁ πόνος τε τῶν ἀλγεινῶν καὶ τὴν καρδίαν δάκνει,
ὑπὲρ τοὺς ἄνδρας κωκυτὸν καὶ πένθος πλέον κτῶνται
δακρυρροοῦσι μὲν σφοδρῶς καὶ τίλλουσι τὰς τρίχας
καὶ θαῦμα πῶς εἰς ἅπαντα τῷ ἀνδρὶ κοινωνοῦσα
τῶν ἀλγεινῶν, τῶν λυπηρῶν, τῶν θλιβερῶν τοῦ πάθους,
τῶν ἀγαθῶν ἀπέτυχεν ἐκείνου καὶ τῆς δόξης ! !

Ψυχή. Ἆρα καὶ τί τὸ αἴτιον καὶ τί τὸ διαμέσου
ἐμπόδιον καὶ κώλυμα ζητῶ μαθεῖν καὶ τοῦτο,
μὴ ἆρα ὅτι ὡς αὐτὸς αὐτὴ οὐκ ἐλεπρώθη ;
καὶ ἕλκος πονηρότατον αὐτῇ οὐκ ἐπεισῆλθεν ;
εἰς τοῦτο μόνον φαίνεται ὑπερνικήσας ταύτην,
εἰς δέ γε τἆλλα ἅπαντα ἴση φαίνεται τούτῳ,

Σάρξ. Οὐκ ἔστι τοῦτο οὐδαμῶς, ἀλλὰ καὶ αὕτη πόνους
ἐδέξατο ἀντὶ πληγῶν τῶν τοῦ ἀνδρὸς μεγάλους,
καὶ ἄκουσον καὶ πίστευσον ἐκ τῶν ῥημάτων ταύτης
ἰδοὺ γὰρ τὸ μνημόσυνον, φησίν, ἠφάνισταί σου
υἱῶν καὶ θυγατέρων μου ἐμῆς κοιλίας πόνων
εἰκῇ καὶ μάτην κοπιῶ μοχθοῦσα καθεκάστην
πλανῆτις λάτρις, πανταχοῦ τόπον ἐκ τόπου τρίβω
καὶ περιτρέχω αὖθις γε οἰκίαν ἐξ οἰκίας.
προσδεχομέεη δυστυχῶς ἥλιον πότε δύσει,
ἵνα τῶν κόπων εὕρω μου ἀνάπαυσιν καὶ πόνων,
ὀδύναι γὰρ κυκλοῦσι με δεινῶς συνέχουσί με :

Βλέπεις ψυχή μου ἀλγεινὰ βλέπεις καρδίας πόνους
τοὺς πόνους ἐξισάζοντα καὶ τὰς πληγὰς ἐκείνου.
Ψυχή. Καὶ τί ἐστὶ τὸ αἴτιον τὸ ταύτην ἀποτεῦξαν
καὶ μὴ λαβεῖν σὺν τῷ ἀνδρὶ ὁμοίως τὰ βραβεῖα,
καὶ τί ἐστί τὸ κώλυμα παιδίσκη ἐρωτῶσε.
Σάρξ. Ὁ μὲν Ἰὼβ εὐχαριστῶν ἐδέξατο τοὺς πόνους
καὶ καρτερῶν ὑπέμεινεν ὡς γενναῖος ὁπλίτης,
ἐκείνη δὲ πρὸς τὸν Θεὸν ῥήματα βλασφημίας
προσεπαφῆκε προπετῶς, ὁ δὲ Ἰὼβ ἀντέφη·
παῦσαι γυνή, καὶ μὴ λαλῆς ῥήματα βλασφημίας
καί μὴ ὀργίζου πρὸς Θεὸν ὡς μία τῶν ἀφρόνων·
τοῦτο ἐστί· τὸ αἴτιον τὸ ταύτης καὶ τὸ πταῖσμα
τοιοῦτον δὴ παρόμοιον πρὸς τούτοις λέξω δ' ἄλλο,
ὅπερ καὶ ἄλλος πέπονθεν, ἐξ ἀφροσύνης, φεῦ μοι.
Ψυχή. Καὶ τίς ἐστί παρακαλῶ εἰπέ μοι τοῦτον δούλη
ἵνα ἡ πτῶσις τούτου γε τοὺς ἄλλους ἀνορθώσῃ;
Σάρξ. Ὁπότε γὰρ ἐσταύρωσαν Ἑβραῖοι τὸν Χριστόν μου
συνεσταυρώθησαν αὐτῷ δύο λησταὶ κακοῦργοι,
ὁ μὲν ἐκ δεξιῶν αὐτοῦ, ὁ δὲ ἐξ εὐωνύμων·
ὧδε μοι πρόσχες, φίλατε, ἡ θέα πρᾶγμα ξένον·
οἱ δύο ἐκρεμάσθησαν· οἱ δύο τελευτῶσι,
τῶν δύο κατεκλάσθησαν τὰ σκέλη ἐν τῷ τότε,
ἀλλ' οὐχ εὑρέθησαν ὁμοῦ τὴν πίστιν καὶ τὴν γνώμην
ἐξ ἴσου ἔχειν ἐν ταὐτῷ καὶ φρόνησιν οἱ δύο·
ὁ εἷς εὑρέθη παρευθὺ ἐντὸς τοῦ παραδείσου,
ὁ δ' ἕτερος κατάγεται ἐξ αὐτῆς εἰς τὸν Ἅδην,
θέλεις μαθεῖν τὸ αἴτιον καὶ τί τὸ διαλλάττον;
ἀμφότεροι κρεμάμενοι ῥητά τινα προσεῖπον,
θεολογίας μὲν ὁ εἷς ὁ δ' ἄλλος βλασφημίας,
διὰ ῥημάτων σέσωσται ὁ εὐγνώμων, κυρία,
διὰ ῥημάτων ὤλετο ὁ βλάσφημος ἀθλίως·
ὁρᾷς καὶ πῶς εὑρίσκεται κοινωνὸς ἐν τοῖς πόνοις
ὁ ἄφρων ἐν τοῖς ἅπασι ληστῇ τῷ πιστοτάτῳ;
καὶ οὗτος, ὥσπερ ἡ γυνὴ ἡ τοῦ Ἰὼβ κυρία,
τῶν ἀγαθῶν οὐ μέντοι γε οὐδὲ τῆς δόξης τούτου
διὰ γὰρ τοῦτο σε λοιπὸν παραινοῦμεν, ἃ θέμις
μήπως κ' αὐτὴ τῶν πειρασμῶν τὰ ἀλγεινὰ βαστάσῃς
τῶν δὲ μισθῶν τῶν ἐξ αὐτῶν ἀθλίως ἀποτύχῃς

ὥσπερ καὶ οὗτος πέπονθεν ὁ τάλας βλασφημήσας,
καὶ τοῦ Αὐσίτιδος γυνὴ διὰ μικροψυχίαν·
ἀλλὰ γενναίως βάσταζε τὰ ἐπερχόμενά σοι
εὐχαριστοῦσ' ἐν ἅπασι τῷ Θεῷ σου προθύμως
μιμοῦ, κυρία, τοὺς πρὸς σοῦ· ἄνθρωποι γὰρ καὶ οὗτοι
σοῦ κατὰ πάντα ὅμοιοι καὶ τὴν ψυχὴν καὶ σῶμα
τὴν καρτερίαν τὴν αὐτῶν ὁμοῦ καὶ τὴν ἀνδρείαν
ζήλου κ' αὐτὴ καὶ σπούδασον ὁμοιωθῆναι τούτοις.
Ψυχή. Καί τίς δυνήσεται αὐτοὺς μιμήσασθαι ἀρτίως,
ἄλλο τί μοι συμβούλευσον ἄλλο τι δίδαξόν με.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Σάρξ. Οὐ λέγω γάρ σοι τῶν αὐτῶν τὰ ἴσα ὑπομεῖναι,
ὑπενεγκεῖντε καὶ παθεῖν καὶ πάντα ὑποφέρειν,
καὶ οἷα οὗτοι ἔπαθον κατὰ καιροὺς τοὺς τότε·
ἀλλὰ τὸ σκῶμμα τὸ μικρόν, τὴν μέμψιν τοῦ πλησίον
τὴν ὕβριν, καὶ τὸ ὄνειδος, τὸν μῶκον, τε καὶ μῶμον,
μυκτηρισμόν, καὶ χλευασμόν, καὶ ἐμπαιγμοὺς παντοίους,
ἀπόπτυσμα, καὶ κάθαρμα, πένητα δυσγενῆ σε
καὶ ἄνανδρον καὶ ἄφρονα καὶ δύσμορφον εἰπόντος
φθοριάρην, μυριόχρεων, γυμνὸν καὶ ματζουμάνον
καὶ κλέπτην ἀμανίκωτον, ἀβράκωτον, χυδαῖον,
κατάλαλον καὶ λοίδορον, καὶ μεθυστὴν καὶ πόρνον,
πορνοβοσκόν, ἐπίορκον, μοιχόν, καὶ συκοφάντην,
καὶ ἄλλα δὲ παρόμοια, εἴπερ εἰς σὲ προσείπῃ,
τὰ πάντα ταῦτα βάσταξον τὰ πάντα καταδέξου.
αἱρετικόν, εἰ εἴπῃ σε, μὴ καταδέξῃ τοῦτο
καὶ εἴπῃς ὅτι πέφυκα, εἰμὶ καθὼς καὶ λέγεις,
εἰ καταδέξῃ τοῦτο γάρ, ἠρνήσω τὸν Χριστόν σου·
καὶ λογισμὸν ἀνδρίσθητι, τὰς φρένας κτῆσαι σώας
ἀσφάλισαι τὸ στόμα σοι, στήριξον τὴν καρδίαν,
καὶ μὴ λαλήσῃς πρὸς αὐτὸν εἴτε μικρὸν ἢ μέγα
ὑπόμεινον καὶ βάστασον τοῦ ἀδελφοῦ τὰς ὕβρεις,
μηδόλως ἀνταποκριθῇς οὐδὲν γὰρ ἀφῃρέθης,
ἐκ τῶν μελῶν τοῦ σώματος, πάντα γὰρ σῶα ἔχεις,
καὶ χεῖρας καὶ τοὺς πόδας σου καὶ ὀφθαλμοὺς καὶ τἄλλα
τάτε ἐκτὸς καὶ τὰ ἐντός, καὶ τὴν ψυχὴν μεγίστην
καὶ λαμπροτέραν καὶ φαιδρὰν ἐκ τούτων γενομένην
οὐδὲν γάρ σε παρέβλαψε τὰ ῥήματα τοῦ πέλας

μᾶλλον δὲ καὶ ὠφέλησεν ἂν ταῦτα ὑπομείνης,
ἠρέμα πως ἡσύχως τε ἄνευ ὀργῆς καὶ πόνου
χωρὶς μαστίγων καὶ δαρμοῦ ἀθλητὴς ἀπεφάνθης.
Ἐρεύνησον καὶ σκόπησον ψυχὴ τὰ εἰρημένα
καὶ εἴπερ ἀληθεῖς εἰσὶν οἱ προλεχθέντες λόγοι,
οὓς ἐπαφῆκε κατὰ σοῦ ὁ ἀδελφός, κυρία,
τὴν μέμψιν θὲς ἐπάνω σου, αἰσχύνθητι καὶ φρίξον
καὶ σφόδρα ἐρυθρίασον πρὸς σεαυτὴν δὲ φθέγξαι,
ἂν οὐκ ἐβούλου, τάλαινα, ἀκούειν τὰ τοιαῦτα
μηδόλως ἔπραττες αὐτά, αἰσχίστη, παναθλία,
καὶ νῦν αὐτὰ οὐκ ἤκουσας ἐξ ἀνθρώπου χυδαίου
διόρθωσαί σου, οἴκτιστε, τὰ κακῶς ἐπταισμένα
μήπως καὶ πάλιν τὰ αὐτὰ ἀκούσῃ καὶ παρ᾽ ἄλλου·
ἂν δὲ ψευδῆ τὰ ῥήματα εἰσὶ τὰ προλεχθέντα
γῆθε λοιπὸν καὶ χόρευε, πολὺς γὰρ ὁ μισθός σου,
ἄνευ μαστίγων καὶ δαρμοῦ καὶ πόνου πάντως ἄνευ,
ἀπείληφας καὶ στέφανον ἐδέξω καὶ βραβεῖον.

Ψυχή. Καὶ πόθεν τοῦτο φανερὸν καὶ πόθεν τοῦτο δῆλον;
ὅτι μισθὸν ἀπέλαβον καὶ στέφανον καὶ γέρας;

Σάρξ. Ἐκ τοῦ ῥητοῦ μοι, πίστευσον, τοῦ φάσκοντος Χριστοῦ μου:
μακάριοι, πεφύκατε, ὅταν ὀνειδισθῆτε,
καὶ ὅταν εἴπωσιν ὑμῖν ψευδόμενοι παν ῥῆμα
καὶ πονηρὸν καὶ ἀπευκτὸν καθ᾽ ὑμῶν, ἕνεκά μου,
ἀγαλλιᾶσθε, χαίρετε, ὅτι πολὺς ὑπάρχει
ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς μισθός τε καὶ τὰ γέρα·
καί, ἐὰν τοῦτο τὸ ῥητὸν ἐν τῇ καρδίᾳ ἔχῃς,
θαρσοποιήθητι, ψυχή, πρὸς τό βαστάζειν ὕβρεις
κἂν βδελυρὸς κἂν μιαρὸς ὑπάρχει ὁ ὑβρίζων.

Ψυχή. Ἔστι ταῦτα βαστάζειν με οὐδέν τι πλέον μέλλω;

Σάρξ. Μὴ βλέπῃς τοῦτον, ὡς ἐχθρόν, μᾶλλον δ᾽ ὡς εὐεργέτην,
μὴ λάλει μὲν τοῖς χείλεσιν ἔσωθεν δ᾽ ἔχεις κότον.
μὴ κρίνῃς τοῦτον, τάλαινα, καὶ μὴ κακολογήσῃς,
ἄφες αὐτῷ τὰ πταίσματα καὶ ὀφλήματα πάντα,
ἅπερ εἰς σὲ προσέκρουσεν, ὅπως καὶ σοὶ ἀφήσῃ
Θεός, τὰ παραπτώματα, ἃ κακῶς διεπράξω,
καθὼς διδάσκει σε Χριστὸς ἐν τοῖς Εὐαγγελίοις
«ἂν μὴ ἀφῆτε, γάρ φησίν, ἅπαντα τοῖς ἀνθρώποις
τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὑμῖν ἀφήσει
ὁ ἐπουράνιος πατὴρ ὑμῶν τὰς ἁμαρτίας
ἂν δὲ ἀφήσῃς ἐκ ψυχῆς τῷ πέλας ἀφεθῇ σοι·
εἰ δ᾽ οὐκ ἀφήσῃς, οὐδὲ σοὶ ἀφεθῇ τὸ καθόλου,

ἐρεῖ πρὸς σὲ ὁ δικαστὴς ὁ φοβερὸς ἐκεῖνος
συγχώρησιν οὐκ ἔδωκας ἄθλιε τῷ πλησίον
καὶ πῶς αἰτεῖς συγχώρησιν παρ' ἐμοῦ, οὐκ αἰσχύνῃ;
σὺ γὰρ αὐτὸς κατὰ σαυτοῦ ἐκύρωσας τὴν ψῆφον,
ἐν ᾧ γὰρ σύ γε ἔκρινας κρίματι καὶ κριθήσῃ,
καὶ μέτρῳ, ᾧ ἐμέτρησας, ὡσαύτως μετρηθήσῃ.
Ἤκουσας πάντα, δέσποινα, τὰ οἷα παραινοῦμεν,
καὶ τί διδάσκομεν πρὸς σέ, ὡς τύχοις σωτηρίας,
ταῦτα γὰρ δύνασαι λοιπὸν ὑπενεγκεῖν εἰ θέλεις·
οὐ γὰρ ἀνύποιστα εἰσίν, ἢ ἀδύνατα ταῦτα,
τὰ προλεχθέντα ἅπαντα καὶ ἀναγεγραμμένα
ἀλλ' ἐλαφρὰ καὶ φορητὰ καὶ εὔκολα τυγχάνει
καὶ ἐὰν ταῦτα τὰ μικρὰ βαστάσῃς καὶ ποιήσῃς,
τῶν σῳζομένων τέτευχας τῆς μερίδος καὶ κλήρου,
τῶν τὰ μεγάλα καὶ πολλὰ ὑπενεγκόντων πάλαι
μετὰ τῶν πρώτων τοιγαροῦν καὶ μετὰ τῶν δευτέρων
συναριθμήσει γε καὶ σὲ Χριστὸς ὁ στεφοδότης
καὶ ἴσων τεύξῃ μετ' αὐτῶν καὶ γερῶν καὶ στεφάνων.

Ψυχή. Καὶ πόθεν τοῦτο φανερὸν καὶ πόθεν τοῦτο δῆλον
δοκεῖ μοι δυσπαράδεκτον καὶ ἄπειστον, ὃ λέγεις·
ζητῶ δὲ τοῦτο τοῦ μαθεῖν ἀπὸ Γραφῆς, παιδίσκη,
πιστεῦσαι γὰρ τοῖς λόγοις σου φοβοῦμαι μήπως ψεύδῃ·

Σάρξ. Ἐπεί περ ἐπεζήτησας γραφικὴν μαρτυρίαν,
ἵν' ἐξ αὐτῆς τὸ ἀληθὲς καὶ βέβαιον μαθήσῃ
ἐμοὶ δ' ὡς δούλῃ ἀπιστεῖ, ὡς δούλην οὐ προσδέχῃ
τὴν οὖν αὐτοαλήθειαν ἀψευδεστάτως δέξαι
αὐτόν, αὐτόν σοι παριστῶ τὸν Χριστόν, ὦ κυρία,
καὶ ἴδοις ἂν χρηστότητα τὴν τούτου καὶ θαυμάσεις·
τοῖς γὰρ ἐσχάτοις δέδωκεν ὡσαύτως καὶ τοῖς πρώτοις
μισθὸν ἐξ ἴσου ἅπασιν ὁ καλὸς ἐργοδότης,
ἐργάταις, οὓς ἀπέστειλεν εἰς τὸν ἀμπελῶνα
καὶ μετὰ ταῦτα εἴρηκεν ἑνὶ τῶν γογγυσάντων,
ἆρον τὸ σὸν καὶ ὕπαγε ἀπ' ἐμοῦ πόρρω τάχος,
οὕτως οἱ πρῶτοι ἔσονται ἔσχατοι τῶν δευτέρων
οἱ φθονεροὶ καὶ γογγυσταὶ κατὰ τοῦ πέλας πάντως
οἱ δέ γε πάλιν ἔσχατοι προτεραῖοι τῶν πρώτων
οἱ πρῶτοι, οἴμοι, ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι·
Χριστὸς γὰρ ταῦτα εἴρηκεν, οἷς τισι χρὴ πιστεύειν
ἐξαίρετος καὶ κάλλιστος ἀληθὴς μαρτυρία.

Ψυχή. Θέλω καὶ ἄλλην πρὸ Χριστοῦ, εἰ ἔχεις, εἰπὲ δή μοι.

Σάρξ. Ἐνστατική, ὡς τὰ πολλὰ τυγχάνεις, ὦ κυρία,

πειράζεις γάρ με, ὡς ὁρῶ, καὶ δοκιμάζεις τάχα
ἵν' ὅπως ἀπορήσῃς με ὡς χωρικὴν καὶ δούλην·
ἀλλ' ἄκουσόν μου, δέσποινα, καὶ πρόσχες αὖθις ὧδε
ἐπεὶ δευτέραν ᾔτησας παλαιὰν μαρτυρίαν
οὐ τὸν τυχόντα παριστῶ τῶν ἀφανῶν σοι ἕνα
τῶν δ' ἐπισήμων μάλιστα καὶ λαμπρῶν βασιλέων
καὶ ἅγιον καὶ δίκαιον κατὰ καιροὺς τοὺς τότε.

Ψυχή. Καὶ πόθεν οὗτος φράσον μοι, καὶ τίς καλεῖται, λέξον;

Σάρξ. Οὗτος ὑπάρχει ὁ Δαυῒδ, ὁ πρόγονος Χριστοῦ μου
ἀλλ' ἄκουσον δὴ πρότερον τούτου τὴν ἱστορίαν
καὶ ὕστερον ἐροῦμεν σοι τὸ τέρμα ταύτης μάλα·
ὁπόταν γὰρ ἀπέκτεινε τὸν Γολιὰθ ἐκεῖνον
κατὰ τὸν λόγον ὁ Σαοὺλ κατὰ τὴν συμφωνίαν
προσκαλεσάμενος αὐτὸν γηθόμενος προσεῖπεν·
ἰδοὺ φησὶν ἡ πρώτη μου θυγάτηρ, ὦ γαμβρέ μου,
ὡραιοτάτη πέφυκε Μερὸβ ὑπὲρ τὰς ἄλλας
ἔχε αὐτὴν ἀπὸ τοῦ νῦν γυναῖκα, ὥσπερ εἶπον,
ἡ δὲ Μερὸβ ἀνένευσε τὸν Δαυῒδ μὴ θελῆσαι·
ἡ γοῦν δευτέρα ἡ Μελχὼ ἠγάπησε τὸν ἄνδρα
καὶ ταύτην ἀποδέδωκε τῷ Δαυῒδ εἰς γυναῖκα·
αἱ δὲ γυναῖκες ἅπασαι χορούς, χοροὺς ἐποίουν
χορεύουσαι καὶ ᾄδουσαι ᾠδὰς ἐπινικίους
καὶ τραγῳδήματα τερπνὰ ὡς ἔστι ταύταις ἔθος
«ἐπάταξε μὲν ὁ Σαοὺλ φησὶν ἐν χιλιάσιν
καὶ ὁ Δαυῒδ ἀπέκτεινεν ἐν μυριάσι μάλα».
Ταῦτα ἀκούσας ὁ Σαοὺλ κατὰ Δαυῒδ ὠργίσθη
καὶ μαίνεται καὶ φθονερῶς πρὸς τοῦτον ἀποβλέπει :
«ἐμοὶ φησὶν ἀπένειμον τὰς χιλιάδας τάχα
καὶ τῷ υἱῷ τοῦ Ἰεσσαὶ τὰς μυριάδας μᾶλλον
καὶ πᾶσιν ἐνετείλατο τὸν Δαυῒδ ἀποκτεῖναι·
μαθὼν δὲ τοῦτο ὁ Δαυῒδ ἀποδιδράσκει τάχος
πρὸς Ἀβιμέλεχ ἄπεισι Θεοῦ τὸν ἱερέα
καὶ τοῦ Θεοῦ κατέφαγε τοὺς ἄρτους, ἦν πεινῶν γάρ·
καὶ τὴν ῥομφαίαν ἔλαβε τοῦ Γολιὰθ ἐκείνου
παρῆν ἐκεῖσε καὶ Δωὴκ ὁ τοῦ Σαοὺλ δουλόπαις,
τὰς ἡμιόνους νέμων γε καὶ τὸν Δαυῒδ, ὡς εἶδεν
ἀνήγγειλε δὴ τῷ Σαοὺλ τὰ δεδραμένα πάντα·
Ὁ δὲ Σαοὺλ προσέταξεν ἀχθῆναι τοῦτον τάχος
τὸν ἱερέα δή φημι τὸν Ἀβιμέλεχ· οἴμοι !
ὁ δὲ παραγενόμενος ἀπελογεῖτο λέγων
ὡς βασιλέως δέδεγμαι γαμβρὸν ἔγωγε τοῦτον

καὶ τὴν φυγὴν ἠγνόηκα, λοιπὸν αἰτῶ συγγνώμην·
προσέταξε δὲ ὁ Σαοὺλ ἀποκτανθῆναι τοῦτον
καὶ τοὺς λοιποὺς γε ἅπαντας ἱερέας ἐν τάχει·
καὶ τούτους ἐθανάτωσεν ὁ Δωὴκ παραυτίκα
τὸν ἀριθμὸν ὑπάρχοντας ἑπτὰ πεντηκοντάδας,
αἴροντας πάντας τὸ Ἐφούδ· καὶ Νοεμβᾶ τὴν πόλιν
ἐπάταξεν ἐν στόματι ρομφαίας. ὦ κυρία,
τὴν θρεψαμένην τοιγαροῦν τὴν καὶ πατρίδα τούτων,
φεύγων ἐκεῖθεν ὁ Δαυῒδ πρὸς Ἀγχοὺς βασιλέα
ἀλλόφυλον τυγχάνοντα τῆς πόλεως ἐκείνης
τῆς Γέθ, προσεποιήσατο εἶναι σαλός, παράφρων,
μήπως γνωσθῇ καὶ φονευθῇ καὶ τὸ ζῆν ἀπολέσῃ.
Ἀγχοὺς δὲ εἶπε τοῖς ἑαυτοῦ ὀργιζόμενος τάχα
ἐνταῦθα τὸν ἐπίληπτον εἰσενέγκατε πρός με ;
ἐκεῖθεν δὲ ἀπέρχεται εἰς ὁδὸν λαντὸνσπέος (;)
καὶ πρὸς αὐτὸν ἀθροίζοντα ὑπόχρεως καὶ πᾶς τις
κατώδυνος, κατάκοπος καὶ ἐν ἀνάγκῃ πέλων
γενόμενοι τὸν ἀριθμὸν ἑξακόσιοι ἄνδρες.
Σαοὺλ δὲ δέδωκε Μελχὼ τοῦ Δαυῒδ τὴν γυναῖκα
σφοδρῶς δακρυρροῦσαν γε, τῷ Φαλτεῖ εἰς γυναῖκα,
ἀνέστη δέ γε ὁ Δαυῒδ σὺν τοῖς ἑξακοσίοις
καὶ πρὸς Ἀγχοὺς προσπέφευγε τῆς Γὲθ τὸν βασιλέα,
τούτῳ Ἀγχοὺς κεχάρικε τὴν Σεκελὰγ τὴν πόλιν,
εἰς ἥνπερ καὶ ἐνῴκησε τὸν λαὸν αὐτοῦ πάντα·
ἀποδημοῦντος δὲ Δαυῒδ καὶ ὄντος ἐν πολέμῳ
πρὸς συμμαχίαν τοῦ Ἀγχοὺς καὶ βοήθειαν τούτου·
ἡμέραι τρεῖς παρήλθοσαν ἰδοὺ Ἀμαληκῖται
τὴν Σεκελὰγ ἐκύκλωσαν τὴν πόλιν τοῦ Δαυῒδ
καὶ αἰχμαλώτους ἔλαβον τοὺς παῖδας καὶ γυναῖκας
καὶ τὰς γυναῖκας δὲ Δαυῒδ καὶ ἅπαντα τὸν πλοῦτον,
τὴν πόλιν δὲ ἐνέπρησαν ἄχρι καὶ θεμελίων·
μαθὼν δὲ τοῦτο ὁ Δαυῒδ ἐν τῷ πολέμῳ πέλων,
τὸν Ἀβιάθαρ κέκληκε καὶ φησὶ μετ' ὀδύνης·
«ὁ ἱερεύς μοι τοῦ Θεοῦ· τὸ Ἐφοὺδ ἅπλωσόν μοι,
ἵνα τὸ μέλλον γνώσομαι οὕτως ἐχθροὺς διώξω
καὶ κατεδίωξεν αὐτοὺς ἄχρι Βοσὸρ χειμάρρου,
ἐκεῖσε δὲ κατέλιπεν ἄνδρας διακοσίους
φυλάσσειν γοῦν τὰ περιττὰ σκεύη τε καὶ τοὺς ἄρτους
ἵπποι γὰρ τούτων ἔκαμον ἐπαύσαντο τοῦ τρέχειν
τοὺς δὲ λοιποὺς παραλαβὼν κατέδραμε καὶ πάντας
τοὺς ἀλλοφύλους ἔσφαξε καὶ ἄρας τούτων πάντα

ὑπέστρεψε μετὰ χαρᾶς πρὸς Βοσὸρ τὸν χειμάρρουν
ἐκεῖσε δὲ κεκάθικε καὶ τὸν στρατὸν ἀθροίσας
ἐπίσης πάντ' ἐμέριζε λάφυρα τε καὶ σκύλα,
σκύλα γὰρ λέγονται, ψυχή, τὰ λαμβανομενά γε
ἀπὸ τῶν ἐν πολέμοις μὲν ἀνῃρημένων πάντα
λάφυρα δὲ κικλήσκουσιν αὖθις τὰ ἀπὸ ζώντων,
τοῖς τε καταδιώξασι καὶ τοῖς καθεζομένοις
φυλάσσειν σκεύη περισσά, ἄρτους τε καὶ τὸ ὕδωρ·
πρὸς τοῦτο, ἐδυσχέρανεν υἱός, λοιμὸς γενέσθαι,
οὐ δώσεις τούτων οὐδενί, οὐ κατεδίωξαν γάρ,
ἀλλ' ἢ γυναῖκας τὰς αὐτῶν ὁμοῦ καὶ τὰ παιδία·
ὁ δὲ Δαυῒδ ἀντέφησεν οὔ, φησίν, ἀλλ' ἐπίσης
καὶ τούτοις μοιρασθήσονται ἀπὸ πασῶν καὶ πάντων
οὐχ ὡς δειλοὶ καὶ ἄνανδροι κατελείφθησαν ὧδε,
αὐτοὶ μὲν ἤθελον ἐλθεῖν μεθ' ἡμῶν καὶ διῶξαι
ἀλλ' ἡ ἰσχὺς ἐξέλιπε τῶν ἵππων μὴ τρεχόντων,
καὶ ὧδε λίαν μοι καλὴν ἐποίησαν δουλείαν,
ἂν γὰρ οὐκ ἐκαθέζοντο φυλάσσοντες τὰ ῥοῦχα,
ἀπώλεσας ἂν ἅπαντα γυμνὸς ἂν κατελείφθης,
ἄρτι ψωμὶν οὐχ εὕρισκες, ὕδωρ οὐδὲ κἂν ὅλως,
καὶ τὴν ψυχήν σου ἐνταυθοῖ παρέδως ἂν βιαίως,
καὶ λήψονται καὶ οὗτοι γε ἐξ ἴσου ἀπὸ πάντων·
ἔμαθες πάντως, ὦ ψυχή, τὴν κρίσιν τοῦ Προφήτου
καὶ πῶς καὶ οὗτος καὶ Χριστὸς ἐξίσωσαν τοὺς πάντας
τοὺς μὲν ἐργάτας ὁ Χριστός, Δαυῒδ τοὺς στρατιώτας,
καὶ πᾶσιν ἴσον ἔδωκαν τὸν μισθὸν τούτου κόπου,
τοῖς κοπιάσασι πολλὰ ὁμοῦ καὶ τὰ ὀλίγα.

Ψυχή. Καὶ δόξα σοι καὶ δόξα σοι καὶ δόξα τῷ Χριστῷ μου
τῷ πλουτοδότῃ μου Θεῷ τῷ φιλοδώρῳ λίαν.

Σάρξ, Πεπληροφόρησαι τἀνῦν ἐπὶ τοῖς εἰρημένοις
καὶ δέδεξαι τοὺς μάρτυρας τὸν Δαυῒδ καὶ Χριστόν μου
ἢ ἔτι πάλιν ἀπιστεῖς καὶ ζητεῖς μοι καὶ τρίτον;

Ψυχή. Μάρτυρα τρίτον οὐ ζητῶ, ἀλλὰ παράδειγμά τι.

Σάρξ. Ἐρῶ σοι καὶ παράδειγμα καὶ γνώσῃ ταῦτα κρεῖττον,
πολλοὶ πολλὰς ὑπήνεγκαν διὰ Χριστὸν βασάνους,
ὀλίγας δὲ ἕτεροι πολλῷ, καὶ εἰσὶν αὐτῶν ἴσοι,
εἴτε καὶ μείζονας αὐτῶν· τὸ δὲ πῶς, ἐγὼ λέγω
καὶ μὴ ξενίζῃ σε ψυχὴ τὸ ῥηθὲν καὶ ἐκπλήττῃ,
ἀλλ' ὧδε πρόσχες νουνεχῶς καὶ γνώσῃ τὸ λεχθέν μοι·
ὑπόθες, ἐκρατήθησαν δύο τινες εἰς ἆθλον·
ὁ εἷς γενναῖος καὶ στερρός, ἀνδρεῖος τε τὸ σῶμα

ὁ δ᾽ ἕτερός γε ἄναλκις καὶ ἀσθενὴς τῇ φύσει,
ἐκδύονται· ραβδίζονται ἀνηλεῶς, κυρία,
ὁ μὲν ἀνδρεῖος σώματι ἔλαβε δὶς πενῆντα,
ὁ δ᾽ ἀσθενὴς καὶ ἄναλκις μίαν πεντηκοντάδα
καὶ αὖθις ἐναπέψυξε δερόμενος ὁ μάρτυς
ἆρα μὴ οὗτος ἐλάττων φανεῖται τοῦ προτέρου;
ὅτι οὐκ ἴσχυσε λαβεῖν τὰς ἑκατὸν καὶ οὗτος;
οὐκ οἶμαι τοῦτο ἔγωγε, ἢ τίς τῶν εὖ φρονούντων;
οὐ γὰρ ἀνδρεία σώματος ἀλλὰ ψυχῆς στερρότης
τὸν πόθον δείκνυσι τὸν ὃν ἔχομεν πρὸς Χριστόν μου,
εἰ γὰρ μὴ ἐναπέψυξεν ἑκατὸν ἂν καὶ οὗτος
εἰλήφει, ὡς ὁ πρότερος ἢ καὶ πλείονας τούτου,
ἀλλ᾽ ἡ ἰσχὺς ἐξέλιπεν, ἀπέκαμον αἱ σάρκες
καὶ ἡ ψυχὴ ἀναίτιος φαίνεται ἐπὶ τούτοις·
οὐ γὰρ αὐτὴ ἀπέκαμε τοὺς πόνους φοβηθεῖσα
ἢ πάλιν δειλιάσασα πέφευγε τὰς ὀδύνας,
τὸ γὰρ τυπτόμενον θανεῖν ἐν συντόμῳ, κυρία,
ἢ καρτερεῖν ἐπὶ πολὺ καὶ μὴ ἐναποθνήσκειν
τῆς ἡμετέρας οὐκ ἔστι τοῦτο γε ἐξουσίας,
ἀλλὰ τοῦ πλάστου καὶ Θεοῦ ἑκάστου προνοοῦντος
κρίμασιν οἷς ἐπίσταται σαφῶς τὴν σωτηρίαν,
ὅτι προγνώστης πέφυκε καὶ οἶδε τό συμφέρον
τοῦ μικροψύχου δὴ φημὶ καὶ τοῦ μεγαλοψύχου,
τίνι συμφέρει τὸ πολλὰς καὶ τίνι τὰς ὀλίγας
λαβεῖν ὀδύνας ἀλγεινῶν, πικρῶν, κολαστηρίων.
λοιπὸν ἐπείπερ τέθνηκεν ὁ ἔσχατος ταχέως,
ἐκτὸς τυγχάνει μέμψεως καὶ ψόγου τὸ παράπαν,
ἰσχὺν γάρ τε καὶ δύναμιν ἕκαστος ἥνπερ εἶχεν,
αὐτὴν δὴ καὶ προσήνεγκεν ἐκ πόθου τῷ Κυρίῳ
ἄν τε μεγάλην ἢ μικρὰν τὴν ἥνπερ εἶχε πάντως·
τῶν πραττομένων παρ᾽ ἡμῖν ἴσθι ψυχὴ πραγμάτων,
τὰ μὲν εἰσὶ τῶν ἐφ᾽ ἡμῖν, οὐκ ἐφ᾽ ἡμῖν δὲ τἄλλα,
τῶν ἐφ᾽ ἡμῖν ὑπεύθυνοι ἐσμὲν ἐπὶ τοῖς πᾶσιν,
ἀνεύθυνοι δ᾽ ἐν ἅπασι τοῖς ἐφ᾽ ἡμῖν οὐκ οὖσι,
τὸ γὰρ θανεῖν οὐκ ἐφ᾽ ἡμῖν, οὔτε μὴν τὸ πεινάσαι,
οὐ τὸ διψῆσαι αὖθις γε καὶ τὸ νυστάξαι, φίλη,
τὸ κοπιάσαι κάμνοντα ἐν πόνοις τε καὶ μόχθοις,
οὔτε τὸ εἶναι με κονδὸν εἴτε μακρὸν ἢ μέγαν,
εἴτε λευκὸν εἴτε λεπτόν, εἴτε παχὺν σαρξί δε,
ἀνδρεῖον αὖθις καὶ στερρόν, εἴτε ἠσθενημένον,
οὐ γὰρ ἡμεῖς ἐσμὲν αὐτοὶ κύριοι ἐπὶ τούτοις,

ἀλλὰ τῆς φύσεως εἰσὶν ἰδιώματα πάντες,
διὸ οὐκ ἐγκαλούμεθα ἐπὶ τούτοις, ὡς ἔφην,
οὐδ' ἐν εὐθύναις ἔνοχοι καὶ δαρμοῦ καὶ μαστίγων·
τὸ δὲ γενέσθαι πονηρὸν καὶ ἀσεβῆ καὶ λάγνον
ἢ μέθυσον, ἀκόλαστον πόρνον, αὖθις καὶ κλέπτην
ἢ πάλιν δίκαιον, ἐσθλόν, καὶ ἄμεμπτον καὶ πρᾶον
θεοσεβῆ, ἐνάρετον, ἀληθινὸν ἐν γλώσσῃ,
καὶ ἄκακον, ἀόργητον, καὶ σώφρονα εἰς ἄκρον,
λοιπόν, ὡς ἐθέλουσιν, ἐφ' ἡμῖν ταῦτα πέλει,
καὶ ἐξουσίας καὶ βουλῆς καὶ προαιρέσεως γε
τῆς ἡμετέρας πέφυκε, νόει ψυχὴ ἃ λέγω,
καὶ ἄλλο κρίμα τοῦ Θεοῦ καὶ ἄλλο τῶν ἀνθρώπων,
ἡμεῖς τὰ ἔξω βλέπομεν Θεὸς δὲ καὶ τὰ ἔνδον·
ἐξεταστὴς γὰρ τῶν κρυπτῶν, ἐρευνητὴς καρδίας
καὶ τῶν ψυχῶν ἐπίσταται τὸν πόθον καὶ τὴν σχέσιν
καὶ οἷα πλεῖον κέκτηται ὡς πρὸς αὐτὸν τὸ φίλτρον
παρὰ τὴν ἄλλην, οἶδε γὰρ καρδιογνώστης πέλων,
καὶ ὅταν προσενέγκωμεν αὐτῷ δὴ δώρημα τι,
ὁ μὲν νηστείαν, δάκρυα, καὶ χαμευνίαν ἄλλος,
ὁ δὲ εὐχὰς καὶ στεναγμούς, ἄλλος οὖν ἀγρυπνίαν
καὶ ἕτερος ταπείνωσιν, ἀγάπην δ' αὖθις ἄλλος,
ὑπομονὴν τῶν θλιβερῶν καὶ πόνων καρτερίαν
φιλόπτωχος, φιλόξενος, φιλόρφανος δ' οὖν ἄλλος,
καὶ ἐλεήμων ἕτερος σκορπίσας πάντα πλοῦτον
πτωχὸς καὶ πένης ἕτερος, καὶ γυμνητεύων ἄλλος,
τυπτόμενος σφαττόμενος, διὰ Χριστοῦ ἀγάπην,
πυρὶ κατακαιόμενος τὰς σάρκας ἄλλος πάλιν,
τούτων ἁπάντων, ὦ ψυχή, οὐχ' ὁ πολλὰ προσάξας
ἐστὶν εὐπρόσδεκτος αὐτῷ μείζων παρὰ πάντας,
μὴ οἴου τοῦτο μηδαμῶς οὐκ ἔστιν ὡς νομίζεις,
οὐ γὰρ τῶν δώρων τὴν πληθὺν καὶ πόνων καὶ καμάτων
οὔτε τὰ μέτρα ἐφορᾷ τῶν διδομένων πάντως,
οὐδὲ χρημάτων ὄγκον τε οὐδ' οὐσίας ἁπάσης
ἀλλὰ προθέσεως πληθὺν καὶ δαψίλειαν γνώμης,
καὶ τῆς καρδίας ἅπασαν τὴν προθυμίαν βλέπει
καὶ οὕτως ὡς ἐπίσταται καὶ τοὺς μισθοὺς δωρεῖται·
τὸ δὲ φιλανθρωπότατον καὶ κάλλιστον, κυρία,
οὐ τῇ ἀξίᾳ ἐφορᾷ τοίνυν τοῦ δεδομένου,
ἀλλὰ τὴν δύναμιν Θεὸς καὶ διάθεσιν πάντως
οἶδε τοῦ προσενέγκαντος τὸ δῶρον τῷ Κυρίῳ,
καὶ οὕτως τὴν ἀντίδοσιν ἀντιμετρᾷ πλουσίως·

καθὼς καὶ ἤδη πρὸ μικροῦ λέλεκται, δέσποινά μου,
καὶ τοῦτο ἔστι φανερὸν καὶ τοῦτο ἔστι δῆλον,
ἀπὸ τῆς χήρας τῆς ποτὲ δύο λεπτὰ βαλούσης,
ὑπὲρ τα δωρα τὰ πολλὰ ἐκεῖνα τῶν πλουσίων,
οἱ μὲν γὰρ μέρος ἔδωκαν, ἐξ ὧν περ εἶχον πάντων,
ἡ δὲ τὴν ἅπασαν αὐτῆς ὑπόστασιν καὶ βίον,
ὁ γὰρ κριτὴς οὐ κέκρικε τὸ δοθὲν αὐτῆς δόμα,
ἀλλὰ τὴν ταύτης ἄπειρον προαίρεσιν καὶ γνώμην·
ὁρᾷς καὶ πῶς ἐγένοντο πολλά γε τὰ ὀλίγα,
τὰ δὲ πολλὰ τὸ ἔμπαλιν ἐγένοντο ὀλίγα ;
καὶ πρόσχες τοῦτο, δέσποινα, καὶ ἐξ ἑτέρων αὖθις·
ὁ Κάϊν μὲν προσήνεγκεν, ὁμοίως δὲ καὶ Ἄβελ,
ἀλλ' ἄλλη γνώμη ἡ αὐτοῦ καὶ ἄλλη ἡ ἐκείνου,
ὁ Ἄβελ μὲν τὰ κρείττονα τὰ δ' ἕωλα ὁ Κάϊν
καὶ διὰ τοῦτο Κύριος τῷ Κάϊν οὐ προσέσχε
καίτοι μεγάλα καὶ πολλὰ τὰ δῶρα τῆς θυσίας
καὶ πρῶτος γε προσήνεγκεν ἐκ πάντων τῶν σπορίμων,
ἀλλ' οὐκ ὀρθῶς ἀπὸ ψυχῆς ἐξ ὅλης τε καρδίας,
καὶ διὰ τοῦτο ὁ Θεὸς πρὸς αὐτὸν φησὶ τάδε·
ὀρθῶς οὐκ ἂν προσήνεγκες, ὀρθῶς δὲ μὴ διέλης,
περίλυπος τί γέγονας ; ἥμαρτες καὶ ἡσύχει·
πρὸς τούτοις ἔτι ἄκουσον παρόμοιον καὶ ἄλλο·
ὁ Νῶε μὲν προσήνεγκε θυσίαν τῷ Κυρίῳ,
ὁπόταν ἐκ τῆς κιβωτοῦ ὁ δίκαιος ἐξῆλθεν,
ὠσφράνθη ταύτης ὁ Θεὸς ὡς ὀσμῆς εὐωδίας·
θυμίαμα προσέφερον ποτὲ καὶ Ἰουδαῖοι
ἀλλ' οὖν γε τοῦτο βδέλυγμα ἐφάνη τῷ Κυρίῳ
ἐκεῖ καπνός τε καὶ ἀτμὶς ὡσαύτως δὲ καὶ ὧδε
ἐκεῖ τῆς κνίσσης τοῦ καπνοῦ ὠσφράνθη ὡς εὐόσμου
ἐνθάδε τὸ θυμίαμα τὸ εὐῶδες ἐκεῖνο,
δυσῶδες, βρῶμον, βδέλυγμα ἐλογίσατο τοῦτο.

Ψυχή. Ἆρα καὶ τί τὸ αἴτιον καὶ πῶς ἐστὶν ὃ λέγεις ;
καὶ γέγονε τὰ δρώμενα ἐξ ἀντιθέτου, δούλη ;
τὴν τῶν ῥημάτων φράσον μοι τὴν δύναμιν, τὸν τρόπον.

Σάρξ. Ἀπὸ θερμότητος πολλῆς ψυχῆς ἐκεῖνα !
ἡ ἀρετὴ γὰρ τοῦ ἀνδρὸς τὸν καπνὸν καὶ τὴν κνίσσαν
ὀσμὴν ἐποίησεν αὐτὴν εὐωδεστάτην πλήρη,
ἔνθα δὲ ἡ προαίρεσις ἡ μοχθηρὰ καὶ γνώμη,
ἡ πονηρία τούτων γε καὶ ἡ ἀγνωμοσύνη
εἰς βδέλυγμα μετέβαλεν ἐκεῖνο τὸ εὐῶδες !
ὁρᾷς ψυχή, ἃ πρὸ μικροῦ ἐδίδαξά σοι λέγων,

οὐ θεραπεύεται Θεὸς ἐν πλήθει δώρων ὅλως,
ἀλλὰ τὴν γνώμην βλέπει σου τὴν προθυμίαν πάντως
ἐκείνην θέλει καὶ πολλὴν ἐκείνην καὶ πλουσίαν
ἐν ταύτῃ θεραπεύεται, ἐν ταύτῃ ἱλεοῦται,
κἂν λίαν πέφυκε μικρὸν καὶ ἀτελὲς τὸ δῶρον,
κἂν ὀβολὸς ἢ καὶ ᾠὸν ἢ ἄρτου τμῆμα μεῖον,
ἢ καὶ ποτήριον ψυχροῦ ἢ τούτου οἶνος μείων,
ἢ παλαιὸν ἱμάτιον ἢ ἔνδυμά τι ἄλλο,
εἴτε καὶ κρόμμυον μικρὸν ἢ σκόροδον ἢ σέρρις
ἢ ἄλλο τι τῶν ὀπωρῶν ἢ τῶν λαχάνων εἶδος·
οὐ γὰρ ἀπὸ τῆς δόσεως ἡ ἐλεημοσύνη,
ἀλλ' ἐκ τῆς προαιρέσεως κρίνεται καὶ μετρεῖται·
ὁπόταν γὰρ ἀποδοχῆς ἀξιοῦται καὶ λόγος,
ἰδοὺ φησὶ καὶ λόγος μὲν ἀγαθὸς ὑπὲρ δόμα·
οὐ γὰρ τοσοῦτον τὸ δοθὲν ἡ προαίρεσις ὅσον
ζητεῖται τοῦ παρέχοντος καὶ ἡ περιουσία,
ἀλλ' ἀπὸ γνώμης γίνεται τὰ πράγματα καὶ μόνης
καὶ προθυμίας καὶ σπουδῆς καὶ ἐκ περιχαρείας,
ὡς εἶναι τὸ γινόμενον ἐξ ὅλης τῆς ἰσχύος·
ἐπὶ μὲν τῶν βιοτικῶν πραγμάτων τῶν τοῦ κόσμου
οὐχ ἕπεται τὸ δύνασθαι πάντη τοὺς βουλομένους·
ἀλλ' ἔστι μὲν τὸ βούλεσθαι, τὸ δύνασθαι δ' οὐκέτι·
ἐπὶ δὲ τῶν πνευματικῶν ἰδοὺ καὶ θειοτέρων,
τοῖς βουλομένοις ἕπεται τὸ δύνασθ' ὅτε θέλει·
τὸ μέντοι κατὰ δύναμιν κατορθωθὲν ἑκάστῳ
οὐρανόμηκες δείκνυται, ὑψηλόν τε καὶ μέγα,
καθὼς τῆς χήρας τὰ λεπτὰ καὶ τ' ἄλευρον τῆς ἄλλης,
ἡ μὲν γὰρ δύο ὀβολοὺς ἡ δ' ἄλλη οὔτε δύο,
ἀλλὰ τὸ ἥμισυ δρακὸς οὗπερ εἶχεν ἀλεύρου,
κατὰ πολὺ γὰρ ἦν αὕτη τῆς πρώτης πενεστέρα,
προσενηνόχασι πολλῇ γνώμῃ καὶ προαιρέσει,
καὶ πάντας μὲν ἐνίκησαν βασιλέας καὶ πάσας·
λοιπὸν οὖν, ὦ κυρία μου, εἰκῇ μὴ προφασίζου,
οὐ παρὰ τὸ μὴ δύνασθαι ἀλλὰ τὸ βούλεσθαι γε
πάντων μὲν τῶν ἀγαθῶν ἔρημοι καὶ γυμνοί τε,
καὶ τοῦτο ἦν τὸ ἀληθές, ἐξ ὧν προσήνεγκά σοι,
εἰς μαρτυρίαν ἅπαντα τὰ ἤδη προγραφέντα
ἔχω καὶ ἄλλους, βέλτιστε, κυροῦντας μου τὸν λόγον·
τοῦ Φαρισσαίου, ἴσασιν οἱ πάντες, καὶ τελώνου
ὁ μὲν προσήνεγκε πολλὰ καὶ καλὰ καὶ μεγάλα
ὁ δὲ μικρὰ καὶ εὐτελῆ καὶ τὸ δοκεῖν ὀλίγα·

ἀλλ' ὁ Θεὸς ἐδέξατο τὰ μικρὰ τοῦ τελώνου,
τοῦ Φαρισαίου δ' οὐδαμῶς διὰ τὸν κόμπον τούτου,
καὶ πρόσχες ὧδε νουνεχῶς καὶ σύνες ἅπερ λέγω,
τὰ μέντοι γε μικρότερα παρὰ τοῖς μικροτέροις,
ἴσως οὐ πέφυκε μικρὰ ἀλλὰ μεγάλα πάνυ,
τὰ δέ γε μεγαλύτερα ἐν τοῖς μεγάλοις αὖθις,
μεγάλα οὐ πεφύκασιν ἀλλὰ μικρὰ τυγχάνει,
καθὼς ὁ λόγος ἄνωθεν ἐδίδαξέ σοι μάλα·
ἐκ δὲ τῶν γε παρ' ἡμῖν σφαλμάτων καὶ πταισμάτων
οὐχ' οὕτως ταῦτα πέφυκεν ἐξ ἀντιστρόφου τό γε,
τὰ μὲν μικρὰ καὶ εὐτελῆ ἐν τοῖς μεγάλοις ἴσως,
μικρά γε οὐ λογίζονται ἀλλὰ μεγάλα πάνυ,
τὰ δέ γε παρὰ τοῖς μικροῖς μεγάλα πάλιν, φίλη,
οὐ τέλεια, πεφύκασι, σύνες, κυρία, σύνες·
οὕτως εὖ μάλα γίνονται τῇ κρίσει τοῦ Χριστοῦ μου,
οἱ πρῶτοι τοίνυν ἔσχατοι καὶ οἱ ἔσχατοι πρῶτοι.
Πρὸς τούτοις ἔτι ἄκουσον λόγον παρηγορίας,
ὁπόταν γὰρ περίλυπος ὁ νεανίσκος ὤφθη,
ὁ προσταχθεὶς τοῖς πένησι τὸν πλοῦτον τοῦτον νεῖμαι
καὶ διαδοῦναι τοῖς πτωχοῖς καὶ τυχεῖν βασιλείας,
πρὸς τοὺς παρόντας ἔφησεν οὑτωσί πως Χριστός μου,
δυσκόλως οἱ τὰ χρήματα κεκτημένοι σωθεῖεν,
οἱ μαθηταὶ δ' ἀντέφησαν πρὸς τὸ ῥητόν γε τοῦτο,
ἆρα καὶ τίς δυνήσεται, διδάσκαλε, σωθῆναι ;
Χριστὸς δ' οὖν αὖθις πρὸς αὐτοὺς ἀντέφη λέξας οὕτως,
ἃ πέφυκεν ἀδύνατα παρὰ πᾶσιν ἀνθρώποις,
παρὰ Θεῷ τυγχάνουσι δυνατά τε καὶ ῥᾷστα,
ἔνθα γὰρ βούλεται Θεὸς νικᾶται νόμος ἅπας,
ἀλλὰ καὶ φύσεως θεσμοὶ οὐκ ἔστι τὸ κωλῦον,
λοιπόν, ψυχή μου, πείσθητι καὶ μὴ διστάζῃς ἔτι,
εἰ γὰρ θελήσει τάξαι σε μετὰ τῶν τὰ μεγάλα
ἐργασαμένων καὶ πολλὰ δικαιοσύνης ἔργα,
ὡς τοὺς ἐργάτας ὁ Χριστὸς καὶ Δαυῒδ τὸν στρατόν γε,
καθώς σοι καὶ προέφημεν ἄνωθεν ἐν τῷ λόγῳ
διὰ τὸ ἔλεος αὐτοῦ τὸ ἄφατον καὶ μέγα
διά τε τὴν συγγένειαν καὶ τὴν φιλανθρωπίαν
ἆρα καὶ τίς γε ἀντειπεῖν τολμήσει τούτῳ ὅλως ;
Θεὸς ἐστὶν ὁ δικαιῶν οὐδεὶς ὁ κατακρίνων,
μὴ γὰρ εἰς πάντα τὰ αὐτοῦ οὐκ ἔχει ἐξουσίαν
κουράτορας οὐ κέκτηται, προνοητὰς οὐδόλως,
οὔτ' ἄλλον ὑπερέχοντα ἵνα φοβῆται τοῦτον.

Ψυχή. Καὶ δόξα σοι καὶ δόξα σοι, καὶ δόξα τῷ Χριστῷ μου,
ὅτι τοὺς πάντας δέχεται τοὺς πάντας προσκαλεῖται
τελώνας, πόρνους καὶ μοιχοὺς καὶ τοὺς λῃστὰς καὶ κλέπτας,
εὐέλπιδα μ' ἐποίησας ἐψυχαγώγησάς με·

Σάρξ. Ἀναισθητεῖς πολλά, ψυχή, κἂν ὅλως οὐ προσέχεις
τὴν προθυμίαν δεῖξόν σου τὴν πρόθεσιν δὲ πάλιν,
ἀγάπην τὴν διάπυρον ἐκ τῆς καρδίας πᾶσαν,
ἣν κέκτησαι πρὸς τὸν Θεὸν καὶ κτίστην σου καὶ πλάστην,
καὶ τῶν κακῶν ἀπόστηθι ἃ καθεκάστην πράττεις,
μικρὸν ἐνταῦθα πόνησον καὶ τῶν μεγάλων τεύξῃ,
τὴν βασιλείαν οὐρανῶν ὡς ἀκούομεν πάντες,
οἱ βιασταὶ ἁρπάζουσι, βιαστὴ γὰρ καὶ ἔστιν
ἐκεῖ δ' οὐδεὶς ἀπείραστος εἰσέρχεται, ψυχή μου,
ἀλλ' οὐδὲ ἕτερος φησὶ πράττων τὰ ἐναντία
οὐχ ἅρπαξ, οὔτε λοίδορος, οὐ μέθυσος, οὐ πόρνος,
οὔτε μοιχός, ἢ μαλακός, οὔτε ἀρσενοκοίτης
οὐ κλέπτης οὐ μνησίκακος, εἰδωλολάτρης οὔκουν,
ὄντινα καταλήψεται ὁ θάνατος τοιοῦτον,
καὶ εὕρῃ τοῦτον ἐν αὐτοῖς καὶ πρὸς ᾅδην ἐκπέμψει.
ἐξομολόγησις ἐκεῖ οὐκ ἔστιν, ὦ κυρία,
ὁ ὑμνῳδὸς διδάσκει με φρῖξον, δείλαια, φρῖξον
καὶ ὅσα πέπραχας δεινὰ σμῆξον ἐνταῦθα τάχος,
ἐξομολόγησαι αὐτὰ τινὶ τῶν ἱερέων
τῶν μετεχόντων ἀρετῆς καὶ Γραφῶν ἐπιστήμης,
καὶ στέναξον καὶ πένθησον καὶ δάκρυσον, ἀθλία,
καὶ ἄλλο εἴτι δύνασαι, ἀγαθὸν ἔργον πρᾶξον·
πάντα γὰρ δύναται Θεὸς μόνον μὴ ἀπογνῷς σου,
ὁσάκις πέσῃς, ἔγειραι, οὐκ ἦλθε γὰρ καλέσαι
Χριστὸς δικαίους, ἤκουσας, ἀλλὰ τοὺς ἁμαρτάνοντας.
σὺ δέ γε τὰς συνθήκας σου ἠθέτησας ἁπάσας,
ἃς συνετάξω τῷ Χριστῷ ἐπὶ τῆς κολυμβήθρας,
καὶ τῷ ἐχθρῷ δεδούλευκας πάσας σου τὰς ἡμέρας
εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ βασιλείαν
εἰπεῖν γε μέλλει τῷ Χριστῷ, μετὰ πολλοῦ τοῦ θάρσους,
ὁ ἀντικείμενος σατὰν καὶ ἀποστάτης δράκων·
λόγῳ καὶ μόνῳ, Δέσποτα, ἠρνήσατό με οὗτος
ἐν δὲ τοῖς ἔργοις μου καλῶς ἐδούλευσέ μοι πάνυ
ἐν μόχθῳ τοίνυν καὶ σπουδῇ καὶ προθυμίᾳ πλείστῃ
ἐμὸς ἐστίν, ἐμὸς ἐστίν, υἱὸς ὁμοῦ καὶ φίλος·
οὐδὲν μετέχεις εἰς αὐτὸν οὐ πολὺ οὐκ ὀλίγον,
ἰδοὺ καὶ ἅπερ ἔπραξεν, ἐν ταῖς χερσί μου φέρω

καὶ μάρτυρας σοὶ παριστῶ τὸν οὐρανὸν καὶ γῆν τε
δικαιοκρίτης πέφυκας μὴ δή με ἀδικήσῃς
ἀλλὰ τοῖς σοῖς ἀρκέσθητι μὴ γίνου πλεονέκτης·
ταῦτα ἀκούων ὁ Χριστὸς ἐπὶ τοῦ κριτηρίου,
παρισταμένων ἁπασῶν μυριάδων ἀγγέλων,
ἁπάντων τῶν δικαίων τε μυριολέκτου πλήθους
καὶ ἀκουόντων τὰς φωνὰς τοῦ σατανᾶ τοὺς λόγους
οὐ δύναται τὸ δίκαιον, ψυχή, παραθραυσθῆναι
ζητεῖ δὲ πάντως ἀφορμὴν καὶ πρόφασιν ὀλίγην
ἵνα τῆς μοίρας τάξῃ σε τῆς δεξιᾶς, φιλτάτη,
καὶ βούλεται καὶ θέλει σε ἔχει τίποτ' ὀλίγον
ἔργον καλὸν καὶ ἀγαθὸν εἰς δικαίωμα σοῦ γε,
καὶ φαινομένου τούτου γε ἐνώπιον ἁπάντων
τῷ τότε δείκνυται ψυχὴ εὐλόγως καὶ δικαίως,
ὅτι ἁρπάζει σε Χριστὸς ἐπὶ τὸ μέρος τούτου
καὶ οὐ δυνάμει τῆς χειρὸς ἀλλ' οὔτε δυναστείᾳ
σὲ τὴν παμβδέλυκτον οἰκτρὰν καὶ τὴν ἐχθρὰν τὴν τούτου·
λοιπὸν οὖν σπούδασον καλῶς, ἕως ἐσμὲν ἐν θάδε,
καὶ πρᾶξον τίποτε καλὸν ἵν' ὅπως δείξῃ τοῦτο,
ἀνθ' οὗ φανεῖται δίκαιον καὶ εὔλογον τὸ πρᾶγμα,
ἐξαρπασθῆναί σε χειρῶν τοῦ διαβόλου, ταχὺς
καὶ σὲ προσεπαινέσονται τῆς δεξιᾶς μερίδος
καὶ τὸν Χριστὸν δοξάσουσιν ὡς ἀμνησίκακόν τε,
ὅτι δή σοι κεχάρισται τὰ ὀφλήματα πάντα,
ἅπερ παρ' ὅλην σου ζωὴν ἐξήμαρτες ἀθλίως.
Ἰδοὺ τὰ παραδείγματα πεπλήρωκα, κυρία,
ἃ προσετάχθην παρὰ σοῦ εἰπεῖν σοι πρὸ ὀλίγου,
καὶ ἄλλα δὲ παρόμοια πρὸς ὠφέλειαν σοῦ γε,
ἣν μὲν ψευδῆ σοι φαίνωνται τὰ εἰρημένα πάντα,
ἀντίθες, εἴτι δύνασαι, πρὸς ταῦτα, δέσποινά μου,
εἰδ' ἀληθῆ καὶ βέβαια τὰ ἤδη προγραφέντα,
σπουδαίως διεγέρθητι διὰ πολλοῦ τοῦ τάχους
καὶ πρᾶξον τίποτ' ἀγαθόν, ὃ συναπέρχεταί σοι,
ἐφόδιον, ἐνέχυρον, εἰς τὸν ἐκεῖθεν κόσμον
εἰδ' ἀμελεῖς καὶ ῥαθυμεῖς τὸ πρόλοιπον οὐ γράφω.

ΚΕΦΑΛΑΙΟΝ ϛ΄.

Ψυχή. Οὐχί, θεράπαινα, οὐχί, ὅλως οὐκ ἀντιλέγω
πρὸς ταῦτα ἅπερ εἴρηκας ἀληθῶς οὕτως ἔχει,
ἀλλ᾽ οὖν εἰπέμοι τὸ λοιπόν, ὅπερ μὴ γράψαι ἔφης,
εἴπερ ἐγὼ ὡς ὀκνηρὰ καὶ φαύλη βιοτεύω,
καὶ τί ἐστίν, ὃ τίκτεται ἐξ ἀμελείας δούλη ;
εἰπέ μοι τοῦτο φανερῶς μὴ κρύπτε τὸ συμφέρον,
μήπως ἀμφότεραι δεινῶς ἐκεῖ κατακριθῶμεν
καί σε αὐτήν, θεράπαινα, κἀμὲ προσαπολέσῃς,
σαυτήν, ὡς μὴ διδάξασαν κἀμὲ ὡς μὴ μαθοῦσαν.
Σάρξ. Καὶ ἄκουσον, κυρία μου, ὧδε μικρὸν καὶ πρόσχες
προσεύχεσθαι καὶ γρηγορεῖν ἐκελεύσθημεν τοίνυν,
ὅτι φησὶν οὐκ οἴδαμεν τὴν ὥραν καὶ ἡμέραν,
ἐν ᾗ ὁ κλέπτης ἔρχεται τὸν θάνατον σημαίνων.
Ὁ θέλων μέν τοι γρηγορεῖν, κἂν ὅλως οὐ καθεύδῃ,
οὔτε νυστάξει, ὡς ἡμεῖς, οὐχ ὑπνώττει καὶ ῥέγχει,
ἀλλ᾽ ἅπτει τὴν λαμπάδα δὴ τῆς ψυχῆς καὶ φαιδρύνει,
ἀφθόνως καὶ πλουσίως τε τῷ νοητῷ ἐλαίῳ,
ἐνθεαρέστοις πράξεσι καὶ ἔργοις τε ὡσαύτως,
καὶ περιμένει ἀγρυπνῶν ἔλευσιν τοῦ νυμφίου,
μακάριος γε πέφυκεν ὃν εὑρήσει τοιοῦτον,
ἀνάξιος καθίσταται, ὃν εὕρῃ ῥαθυμοῦντα,
τῆς ἐργασίας γὰρ καιρὸς τυγχάνει ὄντως οὗτος
ὁ μέλλων δέγε ὁ αἰὼν ἀνάπαυσις τῶν πόνων
καὶ δῶρα ταμιεύεται ἐκεῖ τοῖς κεκμηκόσι
τοῖς δὲ ἀργοῖς καὶ ὀκνηροῖς ὀδυνηραὶ κολάσεις·
λοιπόν, κυρία μου, σπουδῇ, ἀναστῶμεν ἐν τάχει,
στενάξωμεν, πενθήσωμεν, καὶ κλαύσωμεν, ὡς ἔτι
ἡμῖν ἐδόθη ὁ καιρὸς τῆς ἐργασίας οὗτος,
ἄχρις ἐσμὲν ὡς βοηθοὶ ἐπ᾽ ἄμφω τε οἱ δύο·
ἐξ ὅτου γάρ σου χωρισθῶ ἀπρακτοῦμεν κατ᾽ ἄμφω,
ἂν δ᾽ ἀμελῶμεν ὡς νωθραὶ καὶ ὀκνηραὶ καὶ χαῦναι,
ὑπερτιθέμεναι ἀεὶ ἡμέραν ἐξ ἡμέρας,
καὶ ὡς ἀργαὶ καθεύδομεν ῥαθύμως ἀμελοῦσαι,
ἐξαίφνης ἐπελεύσεται ὁ θάνατος, ὡς ἅρπαξ,
καὶ ἄωρος ὁ χωρισμός, παρὰ καιρὸν ἡ λύσις

τῶν ἀμφοτέρων γένηται, οἴμοι, ψυχή μου οἴμοι !
ἡ μία ἀφεθήσεται ἐν τῷ παρόντι βίῳ
τὴν δ' ἄλλην ἄρῃ ἐξ αὐτῆς εἰς ἐκεῖνον τὸν κόσμον·
παρόμοιον συμβήσεται καὶ ἐφ' ἡμῖν τοιοῦτον,
οἷον Λευΐτης πέπονθεν αὐτὸς ἐξ ἀμελείας
τὸ βδελυκτόν, καὶ μυσαρόν, καὶ ἄθεσμον ἐκεῖνο,
ὅπερ παθεῖν συμβέβηκεν ἐν Γαβαὼ τῇ πόλει
καὶ γυναικὸς ἀπέζευκτο παρὰ καιρὸν τῆς τούτου,
ἡ βίβλος τοῦτο τῶν Κριτῶν ἀριδήλως διδάσκει.

Ψυχή. Εἰπέμοι, ὦ θεράπαινα, πλατύτερον τὸν λόγον,
οὐ γὰρ συνῆκα τὸ λεχθέν, ζητῶ μαθεῖν τὸ λεῖπον,
καὶ ἴσως πρὸς ὠφέλειαν καὶ τοῦτο γένηταί μοι,
ἢ καὶ ἑτέρων, ὁ αὐτός, προσεκτικῶν πλειόνων.

Σάρξ. Κυρία μου, πολὺς ἐστὶν ὁ περὶ τούτου λόγος
τοῦτον ὀκνῶ ὡς περισσὸν ὧδε εἰκῇ τοῦ γράψαι

Ψυχή. Εἰπὲ τὰ προσταχθέντα σοι, μὴ παρήκοος ἔσο,
εἴπερ ὑπείκειν χρεωστεῖς ὡς δούλη τῇ Κυρίᾳ.

Σάρξ. Καὶ ἄκουσον, φιλτάτη μου, ὧδε τὴν ἱστορίαν·
ἐγένετο ἀνήρ, φησιν, ἐκ τοῦ Λευΐ τὸ γένος,
κατῴκει δέ γε ὁ αὐτὸς Ἱερουδὶθ ἐν χώρᾳ,
γυναῖκα μέντοι ἔλαβεν ἐκ Βηθλεὲμ Ἰούδα·
ὠργίσθη τοίνυν ἡ γυνή, οἷα εἰκὸς συμβαίνειν,
καὶ ἐξελθοῦσα ἄπεισιν εἰς τὰ ἴδια ταύτης·
ἐκεῖσε δὲ πεποίηκε τὸν ἀριθμὸν ἡμέρας,
πεντάκις τὸ πεντάκις τε καὶ τρεῖς τοσαύτας αὖθις·
καὶ ἔστι τὸ πεντάκις τε πάλιν τοσαύτας νόει·
ἀνέστη ὁ ἀνὴρ αὐτῆς καὶ ἦρε ζεῦγος ὄνων
καὶ τὸ παιδάριον αὐτοῦ καὶ ἔρχεται πρὸς ταύτην
τοῦ ἆραι ταύτην τάχιστα στραφῆναί τε ὀπίσω·
ἰδὼν δ' αὐτὸν ὁ πενθερὸς ὑπεδέξατο χαίρων,
ὁ δὲ γαμβρὸς μεμένηκε παρ' αὐτῷ τρεῖς ἡμέρας
καὶ τῇ τετάρτῃ ὤρθρισεν ἀπέρχεσθαι θελήσας,
καὶ πρὸς αὐτὸν ὁ πενθερὸς ἀπεκρίνατο λέγων·
στηρίξατε, τεκνία μου, ἀπ' ἄρτου τὰς καρδίας
καὶ οὕτως δὴ ἀπέλθετε καὶ μὴ νήστεις τῶν τῇδε
ἐξέλθετε· ἀνάρμοστον, καὶ ἀπρεπὲς τυγχάνει·
καὶ ἐκαθέσθησαν φαγεῖν καὶ ἐγένετο δείλη·

καὶ οὕτως ἔμειναν ἐκεῖ καὶ τὸ πρωῒ ὀρθρίσας,
ἡμέρα πέμπτη ἀπελθεῖν ὁ πενθερὸς δὴ λέγει·
στήριξον ἄρτῳ τέκνον μου τὴν καρδίαν σου ὧδε,
καὶ ἔφαγον καὶ ἔπιον οἱ ἀμφότεροι ἅμα·
ἀνίσταντο δ' ἀπέρχεσθαι ὁ πενθερὸς οὖν ἔφη,
ἀπάρτι κέκλικε τὸ φῶς· ἰδοὺ ἐστὶν ἑσπέρα·
μείνατε τέκνα ἐνταυθοῖ, οὐκ ἔχετε ἀνάγκην,
καὶ αὔριον ὁδεύσατε μετὰ χαρᾶς τῶν τῇδε·
ἐκεῖνος δ' οὐκ ἠθέλησεν ἀλλ' ᾤχοντο αὐτίκα
καὶ ἦλθον ἕως Ἰεβοὺς καὶ ἐγένετο δείλη·
καὶ τὸ παιδάριον φησὶ πρὸς τὸν αὐτοῦ δεσπότην,
ἐκκλίνωμεν, ὦ δέσποτα, καὶ μείνωμεν ἐνθάδε·
αὐτὸς δέ, οὐκ ἐκκλίνωμεν εἰς πόλιν ἀλλοτρίων,
ἀλλὰ παρελευσόμεθα εἰς Γαβαὰδ τὴν πόλιν,
ἥτις καὶ ἦν Βενιαμὶν ὀχυροτάτη λίαν·
ὁ ἥλιος τε ἔκλινεν οὐκ εἶχον τι καὶ δράσαι
λοιπὸν ἀναγκαζόμενοι ἐξέκλιναν τοῦ μεῖναι·
ἰδοὺ ἀνὴρ πρεσβύτατος ἐξ ὄρους Ἐφραὶμ πέλων,
κατῴκει δέγε Γαβαὼ ὡς ἔπηλυς καὶ ξένος,
ἰδὼν δὲ οὗτος τοὺς αὐτοὺς ἐν τῇ πλατείᾳ λέγει·
πόθεν οὖν ἔρχῃ, ἀδελφὲ καὶ ποῦ πορεύῃ, φράσον;
ὁ δὲ ἀνήγγειλεν αὐτῷ τὴν ἀλήθειαν πᾶσαν·
εἰσαγαγὼν δὲ τοὺς αὐτοὺς εἰς τὴν οἰκίαν τούτου
τοὺς πόδας τούτων ἔνιψε, βρωτοῦ, ποτοῦ, μετέσχον·
οἱ δέ γε ἄνδρες Γαβαώ, φημὶ Βενιαμῖται,
υἱοὶ λοιμοί, καὶ ἀσεβεῖς καὶ ἀσελγεῖς εἰς ἄκρον,
περιεκύκλωσαν αὐτοῦ τὴν κέλλαν ἐξαπίνης
τὴν θύραν κρούοντες σφοδρῶς καὶ ἀναίδην βοῶντες,
ἐξάγαγε τὸν ἄνθρωπον συγγενώμεθα τούτῳ·
ὁ δὲ ἱκέτευεν αὐτοὺς μετὰ δακρύων λέγων
ἰδοὺ δὴ ἡ θυγάτηρ μου παρθένος οὖσα ἔτι
ἄρατε, τέκνα μου, αὐτὴν καὶ τὴν γυναῖκα τούτου
καὶ ταπεινώσατε αὐτάς· τοῦτον χαρίσασθαί μοι·
οἱ δέ γε, ὡς ἐπείσθησαν τούτου τῇ παρακλήσει,
εὐθὺς ἐξήγαγον αὐτὰς πρὸς τοὺς αὐτοὺς αὐτίκα
καὶ ἐταπείνωσαν αὐτὰς τὴν ὅλην νύκτα, φεῦ μοι!
καὶ τέθνηκεν ἡ τούτου γε γυνὴ τῇ νυκτὶ ταύτῃ

τὴν λύτταν γὰρ τῆς μίξεως οὐκ ἴσχυσε βαστάσαι·
οὗτος δ' ἀνέστη τὸ πρωΐ καὶ τὴν θύραν ἀνοίξας
νεκρὰν ὡς ταύτην εὕρηκεν εἰς τὸ ἴδιον κτῆνος,
τὸ σῶμα ταύτης τέθεικεν, ἀπαίρει πρὸς πατρίδα·
καὶ τοῦτο γε ἐμέλισεν εἰς μέρη δώδεκά τε,
καὶ τμήματα ἀπέστειλε ταῖς δώδεκα φυλαῖς γε
δηλώσας οὕτως ταῖς αὐταῖς ἂν καλὸν τοῦτο πέλη
τὸ γεγονὸς ἀνόμημα οὐδ' αὐτὸς ἀντιλέγω,
εἰδέ γε τοῦτο τὸν θεὸν παρώργισεν, ὡς ἴστε,
τὸ μῦσος ἐκδικήσατε καὶ ταύτην ἱλεοῦσθε·
καὶ ἐπεσκόπησαν οἱ υἱοὶ Βενιαμὶν τὸ πότε,
καὶ χιλιάδας εὕροσαν ὡς εἴκοσι καὶ πέντε
χωρὶς κατοίκων Γαβαὼ ἀνδρῶν ἑπτακοσίων
καὶ σφενδονῆται ἅπαντες ἐμπειρότατοι λίαν
ἀνέβησαν καὶ οἱ υἱοὶ Ἰσραὴλ εἰς Βεθήλγε
καὶ ἐπηρώτησαν ἐκεῖ τίς ἀναβήσεταί τε,
πρὸς συμπλοκὴν καὶ πόλεμον ποία φυλὴ ἐν πρώταις,
Ἰούδα μέντοι ἡ φυλὴ πρώτη φησὶν ἐξέλθοι,
καὶ ἔπεσον ἐξ Ἰσραὴλ ἐν τῷ πρώτῳ πολέμῳ
δύο καὶ εἴκοσι ψυχῶν χιλιάδες τῷ τότε,
καὶ ἔκλαυσαν ἐνώπιον Κυρίου μετ' ὀδύνης
καὶ τῇ ἡμέρᾳ τῇ ἑξῆς αὖθις πόλεμος ἄλλος
καὶ χιλιάδες ἔπεσον ὀκτὼ καὶ δέκα πάλιν
καὶ ἔτι αὖ ἀνέβησαν εἰς Βαιθὴλ μετὰ θρήνου
καὶ ἔκλαυσαν ἐνώπιον Κυρίου ἐν νηστείᾳ
καὶ προσενήνοχεν ἐκεῖ ὁλοκαυτώματά γε
ὁ Φινεές, ὁ ἱερεύς, υἱὸς Ἐλεαζάρου
τοῦ καὶ υἱοῦ τοῦ Ἀαρὼν καὶ φησὶ μετ' ὀδύνης,
θυμὸς τοσοῦτος ἵνα τί καὶ ὀργή, Κύριε σου,
ἐγένετο τὸ δεύτερον ἐφ' ἡμᾶς οὕτω μέγας,
ἐξάραι μὲν ἀσέβειαν ἐξήλθομεν ἐνθάδε
καὶ νενικήμεθα ἡμεῖς ἤδη δεύτερον τοῦτο,
καὶ νῦν δήλου, εἰ προσθῶμεν ἢ ἐπισχῶμεν αὖθις,
καὶ εἶπε Κύριος αὐτοῖς ἀνάβητε ἀρτίως,
καὶ ἔθηκαν τὰ ἔνεδρα εἰς Γαβαὼ τὴν πόλιν,
τοῦ Ἰσραήλ γε οἱ υἱοὶ καὶ πυρσοὺς ἐπανῆψαν·
συνήφθη δέ γε πόλεμος ἐν τῇ τρίτῃ ἡμέρᾳ

καὶ διεφθάρη ὁ λαὸς Βενιαμὶμ ἀθρόως,
ὡς χιλιάδες εἴκοσι πρὸς ταύταις ἄλλαι πέντε,
καὶ ἄνδρες μέντοι ἑκατὸν τῇ ἡμέρᾳ ἐκείνῃ,
ἐκ δὲ υἱῶν τοῦ Ἰσραὴλ ἄνδρες τριάκοντά γε·
ἄνδρες γοῦν ἑξακόσιοι κατελείφθησαν μόνοι,
ἐκ τῆς φυλῆς Βενιαμὶμ ἀπὸ πάσης δ' οὐδ' ἄλλος
οὔτε ἀνὴρ οὔτε γυνὴ οὔτε μικρὸς ἢ μέγας,
καὶ ἔφυγον εἰς ἔρημον ἐν τῇ Ρεμμὼν τῇ πέτρᾳ
κἀκεῖσε πεποιήκασε καιρὸν τετραμηναῖον·
οἱ δέ γε ἄνδρες Ἰσραὴλ ἐν Μασιφᾶ ἐλθόντες,
ὡμόσαντο καὶ ὥρκισαν καὶ λέγουσιν οἱ πάντες,
τὰς θυγατέρας τὰς ἡμῶν οὐ δώσομεν εἰς νύμφας,
τῷ ἐναγεῖ Βενιαμὶμ καὶ ἔχειν εἰς γυναῖκας,
καὶ κλαύσαντες εἰρήκασιν ἐν ὀδύνῃ καρδίας,
ἵνα τί οὗτος, Κύριε, ἀφῃρέθη ἡ μία
φυλὴ ἀρτίως Ἰσραὴλ ἀπὸ υἱῶν τῶν τούτου;
καὶ ἔμελλον, κυρία μου, ἑορτὴν ἐκτελέσαι·
καὶ διεφήμισαν τοὺτὶ τὸ ρῆμα ἐπὶ πάντας,
καὶ εἶπον, ὁ μὴ ἀναβὰς ὧδε τοῦ ἑορτάσαι,
θανατωθήσεται· λοιπὸν οἷος καὶ ὅστις πέλει·
καὶ εἶπον τί ποιήσομεν τοὺς δὴ καταλειφθέντας
πρὸς τὸ γυναῖκας του λαβεῖν ὠμόσαμεν γὰρ ἤδη,
καὶ Ἰαβεῖς δὲ Γαλαὰδ οὐκ ἀνέβησαν τότε
τοῦ ἑορτάσαι σὺν αὐτοῖς εἰς Θεοῦ θεραπείαν,
καὶ χιλιάδας δώδεκα ἀπέστειλαν πρὸς τούτους
καὶ ἐνετείλαντο αὐτοῖς τοὺς πάντας ἀποκτεῖναι,
πλὴν τὰς νεάνιδας αὐτῶν διατηρῆσαι πάσας·
εὗρον δ' ἐκεῖ νεάνιδας ὡσεὶ τετρακοσίας,
αἵτινες δὴ οὐκ ἔγνωσαν ἄνδρας μὲν τὸ παράπαν,
καὶ ταύτας γε ἀπέστειλαν πρὸς τοὺς Βενιαμίτας
ἐν πέτρᾳ μέντοι τῆς Ρεμμὼν καὶ ἐκάλεσαν τούτους
τὰ πρὸς εἰρήνην, δέσποινα, καὶ ἀγάπην τελείαν,
καὶ τούτοις ἔδωκαν αὐτὰς γυναῖκας παραυτίκα
τὰς θυγατέρας Ἰαβεῖς, Γαλαὰδ τὰς ἐκγόνους,
καὶ οὐκ ἠρκέσθησαν αὐταῖς παρεκλήθησαν δ' ὅμως
ἐπί τε τῷ Βενιαμίν, ὅτι γέγονε πάντη,
διακοπὴ ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἀρτίως,

καὶ εἶπον οἱ πρεσβύτεροι, τί ποιήσωμεν τούτοις;
τοῖς ἐπιλοίποις δηλαδὴ ὅτι ἐκλέλοιπέ τε
πᾶσα γυνὴ Βενιαμὶν, ὡς ὁρᾶτε οἱ πάντες,
ἡμεῖς δὲ οὐ δυνάμεθα δοῦναι αὐτοῖς γυναῖκας,
τὰς θυγατέρας τὰς ἡμῶν ὀμωμόκαμεν ἅπαξ.
Καὶ εἶπον τότε τοῖς υἱοῖς Βενιαμὶν οἱ πάντες,
ἰδοὺ μεγάλη ἑορτὴ ἐν Σιλὼμ τῷ Κυρίῳ·
σπουδὴ ἀπέλθετε ἐκεῖ ἐν ταῖς ἀμπέλοις τούτων,
οἱ διακόσιοι ὁμοῦ καὶ κρύπτεσθε ἐν ταύταις
καὶ ὅτε δὴ ἐξέλθωσιν αἱ θυγατέρες τούτων
παρθένοι, ὡς χορεύσουσαι, ἐξέλθετε ἐκεῖθεν
καὶ ἕκαστος ἁρπάσατε γυναῖκα ἑαυτῷ γε
καὶ οὕτως ἀπελεύσεσθε εἰς γῆν Βενιαμίτιν
καὶ εἴπερ ἔλθωσιν, φησίν, οἱ τούτων γε πατέρες
ἢ ἀδελφοί, ἢ θεῖοι τε, παρ' ἡμῖν τοῦ κριθῆναι,
ἐροῦμεν τότε πρὸς αὐτούς· οὐχ ὑμεῖς ἑκουσίως
αὐτὰς αὐτοῖς δεδώκατε, οὐκ ἔστιν ἁμαρτία,
ἀλλ' ἀληθὴς καὶ ἔννομος δικαιοσύνη τοῦτο,
τοῦ μήπως ἐν τοῖς ἔθνεσι πορευθέντες βιαίως
λαβεῖν γυναῖκας ἐξ ἐχθρῶν ἐκ τῶν ἀπεριτμήτων,
καὶ οὕτω πεποιήκασι Βενιαμὶν οἱ παῖδες
καὶ ἔλαβον κατ' ἀριθμὸν αὐτῶν αὐτοῖς γυναῖκας
κατὰ τὸ ῥῆμα τῶν Κριτῶν αὐτῶν καὶ πρεσβυτέρων
καὶ πόλεις ᾠκοδόμησαν καὶ ἐν αὐταῖς κατῴκουν.
Ἰδοὺ τὸ πέρας εἴληφεν ὧδε κ' ἡ ἱστορία,
κυρία, πάντως ἤκουσας πρᾶγμα φρικτὸν καὶ ξένον
ὃ πρὸ μικροῦ σοι ἄνωθεν προσεῖπον ἐν τῷ λόγῳ·
ὅτι κακὸν ἀμέλεια καὶ χαύνωσις ὡσαύτως·
ἔμαθες πῶς παρὰ καιρὸν ἐστερήθη συζύγου,
ἐξ ἀμελείας τῆς αὐτοῦ ὁ ἄθλιος ἐκεῖνος,
καὶ ὅσα τοῦτο τὸ μικρὸν προὐξένησε τοῖς τότε,
ἀπὸ μικροῦ πῶς ἤρξατο καὶ ποῦ ἐκορυφώθη,
καὶ ηὔξησε καὶ γέγονεν ὡς ὄρος καὶ βουνός τε,
καὶ πόσα δέδρακε δεινὰ καὶ ἄτοπα, Κυρία,
πόσαι σφαγαὶ καὶ θάνατοι διὰ μικρὰν νωθρίαν
πῶς αἱ φυλαὶ κατέσφαξαν αἱ δώδεκα ἀλλήλας
οἱ συγγενεῖς τοὺς συγγενεῖς καὶ αὖ τοὺς φίλους φίλοι,

τὰ πάντα ταῦτα δέδρακε τὰ διαμέσου τότε,
ἡ ῥᾳθυμία τοῦ ἀνδρὸς καὶ χαύνωσις ἡ τούτου,
εἰ τῆς ὁδοῦ γὰρ ἤρξατο ἀπὸ τῆς τρίτης ὥρας,
ἄχρι καὶ δείλης ἤρχετο εἰς τὴν αὐτοῦ ἂν πόλιν,
κἀκεῖνα πάντα τὰ δεινὰ οὐκ ἂν συνέβησαν ὅλως,
ἐξ ἀμφοτέρων, δέσποινα, τῶν μερῶν τῶν φυλῶν τε
ὁμοῦ ὁ πᾶς οὖν ἀριθμὸς τῶν σφαγέντων τῷ τότε
ὑπῆρχον, ὦ Κυρία μου, χιλιάδες αἱ πᾶσαι
τριπλῇ πεντάς, ἐπέρασε, καὶ δὶς τοσαῦται πάλιν,
πρὸς τούτοις αὖθις ἕτεραι τετράκις τὸ πεντάκις
τῶν ἕνδεκα τεσσαράκοντα καὶ τριάκοντα ἄνδρες·
αἱ δὲ λοιπαὶ Βενιαμὶν τοῦ ἐναγοῦς τὸ δρᾶμα,
χωρὶς τῶν τούτων ἁπασῶν γυναικῶν καὶ τῶν παίδων·
καὶ τῶν κατοίκων Ἰαβεῖς Γαλαὰδ τῶν ἐκγόνων,
κυρία γάρ μου, ἡ Γραφὴ τῆς παλαιᾶς, ὡς οἶσθα,
γυναῖκας μὲν οὐκ ἀριθμεῖ οὔτε παιδία ὅλως,
ἀλλὰ τοὺς χρόνους εἴκοσιν ἐπάνω πεφυκότας,
τοὺς δὲ ἐλάττω οὐδαμῶς, οὔτ' ἄρσεν οὔτε θῆλυ,
οὔτε γυναῖκας ὁπωσοῦν νεᾶνιν ἢ ῥυττήν τε, (ῥυσήν;)
καὶ χιλιάδες εἴκοσι καὶ πέντε δὲ πρὸς τούτοις,
τί ἂν εἰκὸς ἐκέκτηντο γυναῖκας καὶ παιδία·
διὸ κἀγώ, Κυρία μου, παραινῶ σε ἃ θέμις,
ἂν ἀμελῶμεν ὡς αὐτὸς ἐκεῖνος ὁ Λευΐτης
ἐλεύσεται αἰφνίδιον ἡ τομὴ τοῦ θανάτου,
καὶ ὥσπερ δένδρον ἄκαρπον ἐκτεμεῖ ἀφειδήσας
καὶ διαζεύξῃ παρὰ θεοῦ τὰς ἀμφοτέρας, οἴμοι !
παρὰ καιρὸν ὡς τὸν αὐτὸν τὴν σύζυγον αὐτοῦ γε·
ἀλλ' ὁ ἐκείνων χωρισμὸς καὶ ἡ διαίρεσίς τε
καὶ ἡ σφαγὴ τῶν ἁπασῶν, ἡ πρόωρος ἐκείνη,
οὐκ ἔστι θάνατος ψυχῆς ἀλλ' οἰκονομία,
ἡ δ' ἡμετέρα, φίλτατε, διαίρεσις, οὐχί μοι !
ὑπάρχει θάνατος ψυχῆς αἰώνιος, ὡς οἶσθα·
καὶ ἀτελεύτητος ἡμῶν ἡ τιμωρία ἔσται,
ἡ κόλασις ἀνύποιστος ἀφόρητος ὁ πόνος·
κυρία μου καὶ δέσποινα, ἐσχάτη ὥρα ἔστι
τί ὡς ἀρχὰς ἔχουσα ζῆν, ῥαθύμως βιοτεύεις ;
ὁ θερισμὸς παρέστηκε λευκή ἐστιν ἡ χώρα

αἱ τρίχες μου τὸ τέλος σε διδασκέτωσαν ἄρτι,
ὅτι λευκαί γε γένηνται πρὸς δρέπανον θανάτου
ὁ χρόνος γάρ σε ὁ μακρὸς τὸ πέρας οὐ διδάσκει ;
καὶ πῶς σε οὐκ ἐπαίδευσε τοῦ συνορᾶν τὸ τέλος ;
ἃ δῆλον ἔχουσι ψυχὴ οἱ νέοι μὲν τὸ πέρας,
οἱ δὲ γηράσαντες ἡμεῖς φανερόν τε δῆλον·
οἱ μὲν ἐν προσδοκίᾳ τε εἰσὶ πρὸς γῆρας ἥξειν,
ἡμεῖς δὲ τί γε ἕτερον, ἢ γῇ γενέσθαι τάχος;
κατὰ τὸ σῶμα γὰρ αὐτὸ τὸ θανεῖν προσδοκῶμεν·
τὸ γῆρας τοίνυν εἴρηται παρὰ τὸ γῆς ἐρᾶν τε
διὸ καὶ οἱ γηράσαντες τρόπον τινὰ κυρτοῦνται
κυρτοβατοῦσι τὸ πρὸς γῆν ἐπείγεσθαι ζητοῦντες·
καὶ διαμαρτυρόμενοι τὸ ἀποθνήσκειν ἤδη,
ὡς ἐκ τῆς γῆς αὖθις εἰς γῆν ἀπερχόμεθα πάντες·
τὸ γάρ τοι παλαιούμενον ἐνταῦθα καὶ γηράσκον,
ἐγγὺς ἀφανισμοῦ, φησὶ κἂν, εἴτι οὖν καὶ ἔστιν·
εἰ τοίνυν τοῦτο ἀληθές, ὡς ἀληθὲς καὶ πέλει,
δι' ἣν αἰτίαν τοῖς κακοῖς ἐπὶ γήρως ἐμμένει;
οὐκ ἤκουσας, κυρία μου, βοῶντος τοῦ προφήτου;
οὐαὶ οἱ ἐπισπώμενοι αὐτῶν τὰς ἁμαρτίας;
σχοινίου, ὥσπερ τι μακρόν, καὶ ὡς ζυγοῦ ἱμάντα,
τῇ ὑπερθέσει δηλαδὴ αὐτῶν τὰς ἀνομίας·
λογίζῃ, ὦ παμφίλτατε, ὅτι ἐκφεύξῃ τάχα
τὰς χεῖρας τότε τοῦ Θεοῦ καὶ χόλον καὶ τρυγίαν (;),
καὶ διὰ τοῦτο ῥᾳθυμεῖς καὶ τοῖς κακοῖς ἐμμένεις ;
οὐαὶ οὐαί σοι, τάλαινα, εἴπερ οὐ μεταγνοίης!
μὴ καταφρόνει, δέσποινα, καὶ καταγέλα οὕτω
τῆς ἀγαθότητος Χριστοῦ, καὶ τῆς μακροθυμίας,
τοῦ πλούτου, τῆς χρηστότητος, καὶ ἀνοχῆς, ὡς ἔκφρων,
ἡ γὰρ χρηστότης τούτου σὲ πρὸς μετάνοιαν ἄγει
σὺ δὲ ἀμετανόητος καὶ σκληρὰ ἔλη πέλεις
Καὶ θησαυρίζεις σεαυτῇ, ἐν ἡμέρᾳ ὀργῆς τε,
ὀργὴν τὴν ἀνυπόστατον καὶ κόλασιν μαστίγων,
ἐγέρθητι καὶ σπούδασον, ἀνάνηψον ταχέως,
φοβερὰ γάρ τις ἐκδοχὴ καὶ πυρὸς ζῆλος αὖθις
τοὺς τἀναντίᾳ πράττοντας ἐσθίειν μέλλει τότε
καὶ φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος·

ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα τούτου,
καὶ πῦρ καλεῖται ὁ Θεὸς φλέγων ὑπεναντίους,
τοῖς δέ γε πράττουσι καλῶς τὰς ἐντολὰς τὰς τούτου
εἰρήνην δόξαν καὶ τιμὴν παρέξει καὶ στεφάνους·
ὁ φοβερὸς γὰρ ὁ κριτὴς ἐμφόβως ἤδη ἄξει
τὰ ἔργα σου πρὸς σύστασιν, καὶ τί οὐχ ἑτοιμάζῃ;
νῆψον καὶ παῦσαι κραιπαλᾷν κἂν ὀψέποτε παῦσαι,
μὴ καταγέλα ἀδεῶς θεοῦ μακροθυμίαν!
οὐ γὰρ χρονίζει, φίλτατε, ὡς νομίζεις τοῦ ἥξειν
ὁ ποιητής σου καὶ θεὸς εὐθύνας ἀπαιτήσων·
ἀθρόως δὲ ἐλεύσεται, ὅτε σὺ οὐ γινώσκεις,
καὶ χρὴ τοῦ ἀνανῆψαι σε κἂν ἐκείνου τῷ δέει
σωφρονισθῆναι τοῦ λοιποῦ βελτίονα γενέσθαι·
εἰ ἀκριβῶς ἐπίστασαι ὃ ἀληθὲς καὶ ἔστι·
κἂν οἱ βιοῦντες ἀμελῶς παραγράφονται τοῦτο,
ἡ ἁμαρτία ὅτι γε κολάσεις μὲν ὠδίνει,
ἡ δ' ἀληθής γε ἀρετὴ ἁγιωσύνης στέφος,
δι' ἣν αἰτίαν ἀληθῶς καὶ συχνάκις δειλαία
διώκεις μέν, ἣν φεύγειν χρή, ὁπόση δύναμίς σοι,
ἣν δὲ διώκειν θεμιτὸν ἀποστρέφῃ καὶ φεύγεις,
καὶ σεαυτὴν διώλεσας κἀμὲ λοιπὸν οὐαί σοι!
καὶ ὅσον οὔπω ἡ τομὴ ἐπέλθῃ τοῦ θανάτου
καὶ διαζεύξει ἀφειδῶς τὰς ἀμφοτέρας, οἶμοι·
λοιπόν, εἰπὲ πῶς παραστῇς τῷ φοβερῷ ἐκείνῳ
πυρὶ φλεγέθοντι φρικτῷ δικαστηρίῳ, φεῦ σοι!
καὶ πῶς ἐκφύγῃς ἀπειλὰς καὶ ποῖον δώσεις λόγον
τὰ ἔργα πρὸ προσώπου σου τῷ τότε παραστῶσιν,
ὅσα ἐν σκότει ἔπραξας δοκοῦσα τοῦ λανθάνειν,
καὶ οἷα ἄλλος ἐπὶ γῆς οὐκ ἔπραξεν, ὡς οἶμαι.
Βραχὺς λοιπόν σου ὁ καιρὸς βλέπεις γάρ σου τὸ σῶμα,
ὅτι γεγήρακεν, ἰδού, καὶ κατεκάμφθη ὅλον,
μιμνήσκου, δέσποινα, συχνῶς κἂν ὀψὲ τῆς ἐξόδου,
καὶ μὴ ῥαθύμει ἀμελῶς· τίς ὁ πλάσας σε γνῶθι,
καὶ τίς ὁ θείς σε εἰς ἐμὲ πανσόφως τὴν σὴν δούλην,
καὶ συναρμόσας φυσικῶς σοφίᾳ παναρρήτῳ,
καὶ πάλιν τίς ὁ ἕλκων σε πρὸς φοβερὰς ἐτάσεις,
κατάμαθε τὸν ποιητὴν αὐτὸς γὰρ ἐστὶ μόνος,

δυνάμενός σε τῶν πολλῶν καθάραιτε πταισμάτων,
ἕως καιρὸς ἐφέστηκεν εἰς τοῦτο γὰρ ἀφείθης,
οἴμωξον μέγα καὶ δριμὺ ἐξαγόρευσον πάντα,
ὅσα ἐν σκότει ἔπραξας ἀσεβῶς καὶ ἀφόβως
ὅσα δι' ἔργων πονηρῶν ἐμόλυνας κἀμέ τε·
εἰ δ' ἁρπασθῇ, κυρία μου, πρὸ τοῦ μετανοῆσαι,
καὶ δέσμιον ἑλκύσαι σε ὁ ἀρχηγὸς τοῦ σκότους·
πεπεδημένην ταῖς πολλαῖς σειραῖς τῶν ἐπταισμένων.
οὐαὶ οὐαί σοι, δύστηνε, ὅσα στενάξῃς τότε·
εἰ ἐπ' ἀνδρὸς καὶ γυναικὸς λέλεκται δύο ὄντων,
ἃ ὁ Θεὸς συνέζευξεν ἄνθρωπον μὴ χωρίζειν,
καὶ ὁ χωρίζων νομικὸς εὐθύνας ἀπαιτεῖται,
ὁ τὴν ψυχὴν παρὰ καιρὸν τοῦ σώματος χωρίζων
πῶς καταξιωθήσεται συγγνώμης ὁ τοιοῦτος ;
καὶ εἴ γε τοῦτο ἐφ' ἡμῶν συμβαίνῃ, ὦ κυρία,
καὶ χωρισθῶμεν ἐξ ἀμφοῖν ἐν οὐ καιρῷ βιαίως
ἐκ σῆς αἰτίας τάλαινα, συγγνώμης ποίας τεύξῃ ;

ΚΕΦΑΛΑΙΟΝ Ζ′

Ψυχή. Καὶ πῶς ἐγώ, ὡς εἴρηκας, αἴτιος ἐπὶ τούτῳ ;
ἄλλος γὰρ ἐστὶν ὁ κρατῶν ζωῆς καὶ τοῦ θανάτου,
τὸν ὅρον πάντως οὐκ ἐγὼ καὶ τὰς ἡνίας τούτου
καὶ ἀκριβῶς ἐπίσταται ἑκάστου τὸ συμφέρον,
καὶ τὴν ζωὴν καὶ θάνατον οἰκονομεῖ, ὡς οἶδε,
καὶ ἔνθα θέλει προστιθεῖ καὶ ὑπεξαίρει δ' αὖθις,
ἔνθα γε ἂν καὶ βούληται, ὡς ὢν καρδιογνώστης,
ἐγώ, ὡς οἶμαι, δούλη μου, ἀνεύθυνος τυγχάνω
εἰς χωρισμόν, ὃν εἴρηκας παρὰ καιρὸν γενέσθαι
Σάρξ. Ναί, ἀληθῶς, ὡς εἴρηκας, ναί, ἀληθῶς, ὡς εἶπας,
ἄλλος τὸν ὅρον τῆς ζωῆς ἐπιμετρεῖ τοῖς πᾶσιν,
ὁ ποιητὴς καὶ πλαστουργὸς ψυχῶν τε καὶ σωμάτων
ἀλλ' ἄπιθι καὶ πόνησον καὶ μάθε περὶ τούτου
πρὸς τίνας μὲν προστίθησιν, ἀφαιρεῖ δὲ γ' εἰς ποίους
ἡμέρας λέγω καὶ καιρούς, ὡς Ἐζεκία, πάλαι·
ἐγὼ δ' οὖν ἔμαθον πολλοὺς πρὸ καιροῦ ἁρπασθέντας
πρὸ νόμου καὶ ἐν νόμῳ τε καὶ αὖθις μετὰ χάριν,

οἵτινες δὴ ἥμαρτανον, ὡς σύ, ἀμεταγνώστως,
ὅσοι εἰς πάθη χαλεπὰ ἐνέπιπτον ἀφρόνως,
καὶ ἀντὶ βίου καθαροῦ καὶ θείων προσταγμάτων
εἰς τὸν χοιρώδη ἔτρεχον τῆς ἁμαρτίας βόθρον,
διάτοι τοῦτο ὁ Δαβὶδ δεδιὼς ἀνεβόα :
μὴ ἀναγάγῃς με φησὶν ἡμερῶν ἐν ἡμίσει.
καὶ αὖθις τούτου ὁ υἱὸς προμαρτύρεται λέγων,
μὴ γίνου ἀσεβής, φησί, μηδὲ σκληρὸς εἰς τέλος,
φαῦλοι κακῶς διώλοντο, θανάτῳ ἐξαισίῳ,
καὶ καταιγὶς διέρχεται ἁμαρτωλοὺς ὀλέσαι·
θέλεις μαθεῖν ἂν ἀληθὴς ἡ ῥῆσις αὕτη πέλῃ ;
καὶ οὐ τυγχάνει ἀπηχὴς ὁ λόγος τοῦ Προφήτου
ἀπόβλεψον πρὸς ἅπαντας τοὺς πρὸ Χριστοῦ καὶ εἴσῃ,
τοὺς ἐκ τοῦ κατακλυσμοῦ καὶ τοὺς ἐν τοῖς Σοδόμοις
καὶ τὸν Ναθὰν τὸν ἀδελφόν, Ἀβραὰμ καὶ Ναχώρ τε,
τοῦ Θάρα τοίνυν τὸν υἱὸν τὸν καὶ τοῦ Λὼτ πατέρα,
πρὸς δὲ καὶ Ἤρ καὶ τὸν Αὐνών, τοὺς παῖδας τοῦ Ἰούδα,
καὶ τοὺς υἱοὺς τοῦ Ἀαρών, Ναδὰβ καὶ Ἀβιοὺδ τε,
καὶ ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ πάλαι,
ὑπῆρχον δὲ τὸν ἀριθμὸν ἑκατὸν μυριάδες
καὶ ἄνδρες ἑξακόσιοι καὶ πεντήκοντα πάντες,
καὶ ὁ Κορὲ καὶ ὁ Δαθὰν καὶ Ἀβειρὼν ὡσαύτως
σὺν τούτοις δὲ καὶ ἕτεροι πεντηκονταπεντάκις
καὶ χιλιάδες, δέσποινα, μέντοι δὶς καὶ δὶς δύο
οἱ πάντες οὗτοι ἔδυσαν ὑπὸ τῆς γῆς τὸ χάσμα,
πρὸς τούτοις δὲ καὶ τοῦ Ἠλεὶ τοῦ ἱερέως παῖδες
διὰ τὰς πράξεις τὰς αἰσχράς, Ὀφνί, καὶ Φινεές τε,
καὶ ἄλλοι πλεῖστοι ἔθανον προώρως, ὡς καὶ οὗτοι·
ἀλλὰ ὀκνῶ τοὺς ἅπαντας ἀπαριθμῆσαι ὧδε
σὺ δ', εἴπερ θέλεις τοῦ μαθεῖν, πόνησον καὶ εὑρήσεις,
δι' ἣν αἰτίαν ὤλοντο οἱ προλεχθέντες οὗτοι :
αἰδοῦμαι δὲ καὶ καθενὸς τὰς πράξεις θριαμβεύειν
πλὴν εἴπω σοι ὀλιγοστοὺς καὶ μετὰ χάριν τούσδε,
οἵτινες καὶ τεθνήκασι παρὰ καιρὸν βιαίως
παραπλησίως, ὦ ψυχή, τοῖς προλεχθεῖσι τούτοις,
τὸν Ἀνανίαν γὰρ φημὶ καὶ Σάπφειραν σὺν τούτῳ
καὶ Κορινθίους, οἵτινες τὸ σῶμα ἀναξίως

καὶ αἷμα τοῦ Κυρίου μου, τῷ τότε ἐκοινώνουν·
καὶ τὸν Χριστόν μου ἤκουσα φωνοῦντα ἀριδήλως
δοκεῖτε ὅτι οὗτοι γε ἁμαρτωλοὶ ὑπῆρχον,
ἐφ᾽ οὓς ὁ πύργος ἔπεσε καὶ ἐφόνευσεν ἄνδρας
ἐκ τῶν υἱῶν τοῦ Ἰσραὴλ ὀκτὼ καὶ δέκα ἄρτι;
ἀμήν, ἀμήν, λέγω ὑμῖν, εἰ μὴ μετανοεῖτε,
οἱ πάντες ἄρδην καὶ ἡμεῖς πεσεῖσθε, ὡς κἀκεῖνος·
καὶ αὖθις οὖν ἑτέρωθι τὰ παρόμοια τούτοις,
ἐγὼ εἰμὶ ἡ ἄμπελος, τὰ κλήματα ὑμεῖς γε,
καὶ ὁ Πατήρ μου γεωργὸς καὶ φύλαξ τῶν κλημάτων,
καρπὸν μὴ φέρον κλῆμα πᾶν, ἀλλὰ μήτε καὶ δένδρον,
ἐκκόπτεται, ὡς ἄκαρπον, τῇ τομῇ τοῦ θανάτου,
καὶ εἰς τὸ πῦρ ἐμβάλλεται πρὸς τὸ κατακαυθῆναι·
καὶ ὁ Δαυῒδ ὁ ὑμνῳδὸς προμαρτύρεται λέγων,
ἐὰν μὴ ἐπιστρέψητε, στιλβώσει τὴν ρομφαίαν·
οὐκοῦν, εἰ ἐπιστρέψομεν, οὐ τεμεῖ, φείσεται γάρ·
ὁρᾷς, κυρία, ὅτι γε οἱ μὴ κατανοοῦντες
οὐδ᾽ ἀνανεύοντες σπουδῇ οὐδ᾽ ἐπιστρέφοντές τε
ἐκ τῶν κακῶν, ὧν πράττουσιν ἀδεῶς καὶ ἀφόβως,
ἐκεῖνοι καὶ διόλλυνται θανάτῳ ἐξαισίῳ;
καθὼς καὶ οὗτοι ἅπαντες οἱ προμνημονευθέντες;
οἱ δ᾽ ἀνανεύοντες καλῶς καὶ ἐπιστρέφοντές τε
διὰ θερμῶν δακρύων τε διὰ τῆς μετανοίας,
οὐχ᾽ οὕτως· ἀλλὰ σῴζονται καὶ ἐλεοῦνται θᾶττον.
καὶ τοῦτο ἐστὶ φανερὸν καὶ τοῦτο ἐστὶ δῆλον·
ἐν Νινευῒ τῆς πόλεως ἐκείνης τῆς μεγάλης,
καὶ Μανασσῆ τοῦ ἀσεβοῦς βασιλέως ἐκείνου,
τελώνου καὶ ἀσώτου τε καὶ τοῦ λῃστοῦ καὶ πόρνης,
καὶ ἄλλων πλείστων πανταχοῦ καὶ Δαυῒδ τοῦ προφήτου,
καὶ Πέτρου τοῦ τῶν δώδεκα μαθητῶν τοῦ Κυρίου,
θέλεις ἰδεῖν ἀπόδειξιν κάλλιον ὑπὲρ ταύτην;
πεπληροφόρησαι τἀνῦν ἐπὶ τοῖς εἰρημένοις,
ἢ ἀπιστεῖς, ὡς οἱ σκαιοὶ Ἑβραίων παῖδες τότε;

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Ψυχή. Οὐχί, θεράπαινα, οὐχὶ ἀληθῆ ὅσα ἔφης,
καὶ ὅσα μοι ἐδίδαξας οὕτως εἰσὶν ὡς λέγεις,

καὶ εὔλογα καὶ δίκαια οὐκέτι ἀντιλέγω·
ἐξέστην γὰρ καὶ ἔφριξα ἐκ τοῖς εἰρημένοις
καὶ μέμφομαί πως ἐμαυτὴν ὡς τῶν κακῶν αἰτίαν
καὶ πείθομαι τοῖς λόγοις σου καίγε τῇ συμβουλῇ σου·
τὰ γὰρ συμφέροντα ἀμφοῖν παραινεῖς με διόλου·
καθότι δὲ μὲ νουθετεῖς ἐξαγορεῦσαι πάντα,
ἅπερ κρυφίως πέπραχα ἐν τῷ παρόντι βίῳ
καὶ κατερρύπωσα κακῶς κἀμὲ καὶ σέ, παιδίσκη,
οὐ μέμνημαι· οὐ σύνοιδα· ἐπελαθόμην πάντων·
τυγχάνουσι γὰρ ἄπειρα καὶ ἀναρίθμητά μου,
ὡς ὑπὲρ ἄμμον θαλασσῶν καὶ οὐρανοῦ τὰ ἄστρα
καὶ ἐὰν ταῦτα ἅπαντα μέλλω ἐξαγορεῦσαι,
ὧν ἐν εἰδήσει τε εἰμὶ καὶ ἐπὶ μνήμης φέρω,
ἰλιγγιῶ καὶ ἀπορῶ, δέδοικά τε καὶ τρέμω
ἐνθυμουμένη πάσας μου τὰς ἀθεμίτους πράξεις
καὶ φρίττουσα τὴν βάσανον εἰς ἀπόγνωσιν ῥέπω
οὐ γὰρ ἰσχύσω ἅπαντα ἐξαριθμῆσαι, δούλη,
τάτε κατὰ διάνοιαν καί γε λόγον καὶ πρᾶξιν
οὐδὲ κατ᾽ εἶδος, ὡς εἰσί, δύναμαι μνημονεύειν
καὶ ταῦτα ἐνεργητικῶς ἐξαγγεῖλαι ἰσχύσω
ἀλλ᾽ οὔτε ὀνομαστικῶς προσειπεῖν ἐθελήσω
μήπως καὶ ἄλλοις γένωμαι ἀφορμή πως σκανδάλου,
καὶ τούτων πάντων, δούλη μου, ἅπαν ἐγὼ τὸ κρίμα
ἡ δείλαιος ἐπάξω γε ἐπὶ τὴν κεφαλήν μου,
τοῦ μὲν τυχόντος τοιγαροῦν ἁμάρτημα ὡς οἶσθα,
ὡς ἐν νυκτὶ πραττόμενον τὸν πράττοντα καὶ μόνον
ἀπόλλυσι· καὶ οὐ πολλούς' ὡς ἅτε ἰδιώτου,
ἀνδρὸς δὲ τοῦ ἐπιφανοῦς καὶ πολλοῖς μὲν γνωρίμου,
παιδίσκη, τὸ πλημμέλημα κοινὸν ἅπασι φέρει
τὸ βλάβος καὶ τὸ σκάνδαλον· οἴμοι· τί διαπράξω ;!
οὐ γὰρ εὑρίσκω πῶς εἰπεῖν αἰδοῦμαι τὸν πατέρα.
Σάρξ. Θάρσει ψυχή, μὴ δέδιθι, ἄνθρωπος γὰρ καὶ οὗτος
σοῦ κατὰ πάντα ὅμοιος καὶ τὴν ψυχὴν καὶ σῶμα
καὶ πρόσελθε καὶ πρόσπεσε τοῖς ἴχνεσι τοῖς τούτου,
καὶ στέναξον καὶ δάκρυσον ἐκ βάθους τῆς καρδίας
ἀνεπαισχύντως λέξον δέ· μὴ αἰσχυνθῇς, κυρία,
καὶ ποίησόν σου ἅπαντα τὰ κεκρυμμένα δῆλα ;

ἃ ἐν τῷ βάθει κρύπτονται ἔνδον σου τῆς καρδίας,
θριαμβευθέντες μώλωπες προκύψαι οὐκ ἐῶνται,
ἐπὶ τὸ χεῖρον, βέλτιστε· ἀλλ' ἀλλοιοῦνται τάχος,
οἱ δ' αἰδεσθέντες ἰατρούς, ποιοῦσι σηπεδόνας
πολλάκις δὲ πολλοὶ φησὶ καὶ θνήσκουσιν ἐκ τούτων·
εἰ γὰρ καὶ ἄνθρωπος ἐστὶ πρὸς ὅνπερ λέγεις ταῦτα
ἀλλ' ὁ Θεός γε δι' αὐτοῦ συγχωρεῖ καὶ καθαίρει,
καθάπερ πάλαι καὶ Δαυῒδ ὁ μέγας ἐν προφήταις·
ἡμάρτηκα, ἐβόησε, Κυρίῳ τῷ Θεῷ μου
καὶ θᾶττον ἤκουσε φωνῆς ἐκ Νάθαν τοῦ προφήτου,
καὶ Κύριος ἀφείλετο τὸ ἁμάρτημα πᾶν σου
λέγε τὰς ἁμαρτίας σου, σύ, φησί, πάσας πρῶτος,
ἵνα θριαμβευόμενος δικαιωθῇς εὐθέως·
μὴ γὰρ οὐκ ἔστιν ὁ Θεὸς τῶν κεκρυμμένων γνώστης;
καὶ πρὶν εἰπεῖν σε φανερῶς αὐτὸς γινώσκει πάντα,
ἀλλ' οὐκ ἐνδέχεται χωρὶς αἰσχύνης τῆς ἐνταῦθα,
ψυχὴ αἰσχύνης τῆς ἐκεῖ ἀπαλλαγῆναι ὅλως,
καὶ εἰ ὁμολογήσεις σου πάσας τὰς ἁμαρτίας
αὐτὸς ἐστὶ καὶ δίκαιος ὁ Θεὸς ἐξαλεῖψαι.
τὸ φανερούμενον γὰρ πᾶν φῶς ἐστὶ καὶ εἰκότως·
ἀλλήλοις εὔχεσθέ φησί, καὶ ἐξομολογεῖσθε
τὰ παραπτώματα ὑμῶν, ἵν' ὅπως ἰαθῆτε·
ἔτι λαλοῦντος σου ἐρεῖ· ἰδοὺ πάρειμι φήσας·
Θεὸς ἐγγίζων ἔγωγε καὶ οὐ Θεὸς μακρόθεν·
ταῦτα πιστοῦται καὶ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις·
καὶ θέα ὧδε τὸ πολὺ ἔλεος τούτου εὖγε·
καὶ πῶς τοὺς πάντας δέχεται καὶ πῶς τοὺς πάντας σῴζει,
καὶ πῶς τὰς κλεῖς παρέδωκε τινὶ τῶν ἐπταικότων
τῆς βασιλείας οὐρανῶν· ὢ τῶν σοφῶν κριμάτων!
τὸν Πέτρον τὸν Ἀπόστολον τὸν ἀρνητὴν τὸν τούτου.

Ψυχή. Θεράπαινα, καὶ πῶς ἐστὶν ἡ κρίσις τοῦ Χριστοῦ μου;
καὶ πῶς οὐκ ἔδωκεν αὐτὰς Ἰωάννῃ τῷ πάνυ
ἀγαπωμένῳ ὑπ' αὐτοῦ ὑπὲρ τοὺς ἄλλους πάντας,
οὔτε πρὸς τὸν Ἰάκωβον, ὃς ἀπετμήθη πρῶτος
τὸν ἀδελφόθεον, φημί, καὶ πρῶτον ἱεράρχην
ἢ ἐκ τῶν ἄλλων ἕτερον τῶν δώδεκα προκρίτων;

Σάρξ. Βούλει μαθεῖν τὸ αἴτιον καὶ τί τὸ κεκρυμμένον;

ἵν' ὅπως μάθῃς τὴν πολλὴν ἀγαθότητα τούτου,
τὴν ἄφατον χρηστότητα καὶ τὴν φιλανθρωπίαν,
ἣν κέκτηται πρὸς ἅπαντας ἀνθρώπους ἁμαρτόντας
καὶ τούτους ἀπαλλάξειε φόβου τε καὶ δειλίας·
προθύμους ἐπὶ πλέον δὲ καὶ θαρσαλέους δείξῃ
πρὸς τὴν μετάνοιαν αὐτὴν τὴν σῴζουσαν τοὺς πάντας
ἄλλῳ τινὶ οὐκ ἔδωκεν ἐκ τῶν ἀναμαρτήτων
ἀλλὰ τῷ Πέτρῳ δέδωκε τῷ ἁμαρτόντι μέγα
ἵν' ὅταν ἄλλους ἴδοιε τῶν λίαν ἁμαρτόντων
ἐξ ἁμαρτίας τῆς αὐτῶν ἐπιστρέφοντας ὄντως
διὰ θερμῶν δακρύων τε διὰ τῆς μετανοίας
τῶν βουλομένων εἰσελθεῖν εἰς βασιλείαν τότε
τῶν οὐρανῶν βιαστικῶς, ὡς αὐτός γε ὁ Πέτρος,
τοῖς προσιοῦσιν ἅπασι κατίδοι καὶ προσβλέψοι,
ἀναμνησθεὶς τὸ κατ' αὐτὸν ὑπόδειγμα ἐκεῖνο,
ὅπερ κἀκεῖνος πέπονθεν διὰ τὸν κόσμον τότε,
ἀνενδοιάστως τούτοις γε τὴν θύραν ὑπανοίξῃ
καὶ εἰσαγάγοι ἔνδοθεν τῆς βασιλείας τούτους.

Ψυχή. Καὶ δόξα τῷ κυρίῳ μου καὶ δόξα τῷ Χριστῷ μου,
τῆς γὰρ χρηστότητος αὐτοῦ καὶ τῆς μεγαλωσύνης
καὶ τῆς γε ἀγαθότητος πέρας οὐκ ἔστιν ὅλως :

Σάρξ. Ἔμαθες πάντως, Δέσποινα, τὸν τρόπον τοῦ Χριστοῦ μου,
δι' ἣν αἰτίαν ἔστησε τὸν Πέτρον γε κλειδοῦχον
πῶς ἄλλον οὐ προέκρινεν ἐκ τῶν ἀναμαρτήτων.
Λοιπόν, κυρία, σπούδασον, ὡς ὁ Πέτρος τῷ τότε,
ὥσπερ αὐτὸς οὐκ ὤκνησεν ὡς ἀμελὴς καὶ χαῦνος,
οὔτε ὑπέρθεσιν τινὰ καὶ μέλησιν κἂν ὅλως
ἐποίησεν, ὡς ῥᾴθυμος ἐπ' ἐκεῖνο τὸ πταῖσμα
τὸ χαλεπὸν καὶ μέγιστον, τὴν ἄρνησιν δὴ λέγω,
δι' ἧς ἀλλότριος Θεοῦ ἐδείχθη καὶ ἁγίων
καὶ τῆς μερίδος πάντων γε τῶν σῳζομένων ξένος,
ἀλλὰ νηφόντως παρευθὺ νενόηκε τὸ πτῶμα,
ὡς νουνεχὴς καὶ φρόνιμος γενναῖος τε ὁπλίτης
τὸ τάχος γὰρ ἀντέτρωσεν ἀντάρτην τὸν ἀρχαῖον,
εἰς ἣν γὰρ νύκτα πέπτωκεν ἐν ταύτῃ καὶ ἀνέστη·
διὸ κ' αὐτὴ κυρία μου, μὴ μέλλε, ἀλλ' ἀνάστα
καὶ ὅσα πέπραχας δεινά· σμῆξον ταχέως πάντα·

ὁ τοῦ ἀνθρώπου γὰρ υἱὸς ἐξουσίαν γε ἔχει
ἐπὶ τῆς γῆς τοῦ ἀφαιρεῖν ἀνθρώπων ἁμαρτίας.
ἡ ἡδονὴ ἐκ τῆς γῆς τῆς ἁμαρτίας πέλει,
καὶ ἔνθα πέπρακται λοιπὸν ἐκεῖ λύεται πάλιν·
ἐξομολόγησις ψυχῇ οὐκ ἔστιν ἐν τῷ Ἅδῃ
ἐνθάδε μετανόησον καὶ λῦσον τὰ πρακτέα
καὶ τόθ' ὁ Πέτρος σοι ἐκεῖ τὴν θύραν ὑπανοίξει.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ψυχή. Θεράπαινα καὶ τί ἐστὶν μετάνοια, ἣν ἔφης,
ἵνα σπουδάσω κτήσασθαι ταύτην ὡς σῴζουσάν με;

Σάρξ. Μετάνοια, κυρία μου, γνωρίζεται καὶ ἔστιν
ὁπόταν τίς ἐκ τῶν κακῶν ὧν πράττει, ἀνανεύσας
μισήσῃ καὶ βδελύξηται τελείως δὴ τὰ ἔργα,
τὰ πονηρὰ καὶ βέβηλα τοῦ διαβόλου πάντα
τὰ βδελυκτὰ καὶ ἀπευκτὰ τὰ τῆς σκοτίας, οἴμοι,
ἃ ἔπραξεν, ὡς ἄνθρωπος ἀπατηθεὶς δολίως·
ἡ πρὸς Θεὸν ἐπάνοδος δι' ἔργων τῶν κρειττόνων
καὶ πόνων καὶ ἀσκήσεως καὶ τῆς κακοπαθείας
τῶν θλιβερῶν ὑπομονῆς καὶ πειρασμῶν γεννᾶται
κυρίως γὰρ μετάνοια καὶ λέγεται καὶ ἔστιν
ἀνάκλησις βαπτίσματος καὶ κάθαρσις ἡ τούτου,
διαλλαγὴ πρὸς τὸν Θεὸν δι' ἀγαθοεργίας,
συνθήκη δέ γε πρὸς αὐτὸν δευτέρου βίου αὖθις
ἐπιστροφὴ ἡ ἑκούσιος ἀνάνευσις πρὸς τοῦτον,
καθὼς φησὶν ὁ Κύριος ἐν τῷ προφήτῃ λέγων:
ἐξ ὅλης ἐπιστράφητε καρδίας ὑμῶν πρός με
ἐν κλαυθμῷ καὶ νηστείᾳ τε καὶ κοπετῷ ὡσαύτως
ὅτι οἰκτίρμων πέφυκα καὶ ἐλεήμων φύσει,
μακρόθυμος καὶ εὔσπλαγχνος πολυέλεος ἄγαν
καὶ ἐπὶ ταῖς τῶν ἀνθρώπων μετανοῶν κακίαις
καὶ ὁ Δαυῒδ τὰ ὅμοια παρεγγυᾶται πᾶσιν
ἐκστῆναι πρῶτον τῶν κακῶν εἶθ' οὕτως δρᾶν τὰ θεῖα
καὶ ἀντὶ πάντων τῶν κακῶν ὧν ἔπραξεν ἐν πρώτοις·
εἰσφέρει τὰ πολέμια καὶ τἀναντία τούτων,
τοῦτο καὶ Παῦλος ἔγραψε ποτὲ πρὸς τοὺς Ρωμαίους

ὥσπερ γὰρ παρεστήσατε ὑμῶν τὰ μέλη φήσας
δοῦλα καὶ ὑποχείρια πρῴην τῇ ἁμαρτίᾳ,
οὕτω καὶ νῦν γε τὰ αὐτὰ τῷ Χριστῷ καὶ Θεῷ μου,
πειθήνια ποιήσατε, ἐν οἷς αὐτὸς ἐθέλει,
καὶ ἐκδουλεύσατε αὐτῷ καθὼς τῇ ἁμαρτίᾳ,
καλῶς μὲν καί τις τῶν σοφῶν καὶ ἁγίων καὶ πατέρων,
ἐν προσευχαῖς ἐκέκραξε πρὸς τὸν Θεὸν τοιάδε
ἀξίωσόν με Κύριε τὰ νῦν σε ἀγαπῆσαι
καθὼς ἠγάπησα ποτὲ αὐτὴν τὴν ἁμαρτίαν
καὶ αὖθις ἐκδουλεῦσαι σοι ἀόκνως καὶ σπουδαίως,
καθὼς ἐδούλευσα αὐτῷ τῷ σατανᾷ προθύμως
αὕτη ἐστὶ καὶ λέγεται καὶ γνωρίζεται φίλη
ἡ ἀληθὴς μετάνοια, εἰ οὕτως ἐπιστρέψει,
ὅστις γε ἂν καὶ πέφυκε καὶ ἔστι τῶν ἀνθρώπων·
εἰ δέγε κυριεύται καὶ τυραννεῖται πάλιν,
αἰχμαλωτίζεται κακῶς ὑπὸ τῆς συνηθείας,
καὶ πονηρῶν προλήψεων τῶν παρεληλυθότων,
καὶ ἐνηδύνεται ὁ νοῦς ἐν τῇ μελέτῃ τούτων,
ἐᾷ χρονίζειν ἥδιστα εἰς τὴν αὐτοῦ καρδίαν,
καὶ οὐκ ἀπροὶξ ἀποφοιτᾷ ἡ ἔννοια σπουδαίως
ἐκ τῶν αἰσχρῶν καὶ πονηρῶν λογισμῶν πόρρω ταχύς,
οὐ μετενόησεν ἀκμὴν ἐξ ὅλης τῆς καρδίας
ἀλλὰ καὶ ἔτι δοῦλος ᾖ, τῆς ἁμαρτίας οὗτος·
ὀφείλεις δέ γε δέσποινα ἀνθίστασθαι πρὸς τούτοις
καὶ περικόπτειν πταίσματα τὰ μικρὰ ὅσον δύνῃ
ἵνα τὰ μεγαλύτερα ὅλως ἀρχὴν μὴ λάβῃ·
κυρία ὁ νικώμενος ὑπὸ μικρῶν πταισμάτων
εὐλόγως μὲν δεδούλευται καὶ ὑπὸ τῶν μεγάλων
ὁ τούτοις δ' ἀνθιστάμενος καὶ τοῖς μεγάλοις πάντως,
κἂν τὰ μικρὰ ἀνέλωμεν οὐχ ἕψεται τὰ μείζω.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ψυχή. Παιδίσκη μου, ὡς ἔφησας ἄνωθεν ἐν τῷ λόγῳ
καὶ παραινεῖς διδάσκουσα τὸ ἐξομολογεῖσθαι
τὰ κεκρυμμένα πταίσματα ἔνδοθεν τῆς καρδίας
καλῶν ὑπάρχει κάλλιον καὶ κάλλιστον εἰς ἅπαν

ποῦ δὲ νενομοθέτηται καὶ ποῦ γέγραπται τοῦτο;
εἰπέ μοι ὅθεν τὴν ἀρχὴν ἔλαβε μὲν ἐν πρώτοις,
διστάζουσιν οἱ πλείονες ὡς οὐκ ἐμφέρεταί που
ἐξαγορεύειν ταῦτά γε ἁμαρτωλοῖς ἀνθρώποις
ἀλλά γε μόνῳ τῷ Θεῷ ὄντι ἀναμαρτήτῳ.

Σάρξ. Ἀπρόσεκτος κατὰ πολὺ τυγχάνεις, ὦ κυρία,
καὶ ἀμελὴς καὶ ῥάθυμος καὶ χαύνη, καθὼς φαίνῃ·
ἂν οὖν ἐσχόλαζες ποσῶς ταῖς βίβλοις προσλαλοῦσα,
εἰδήμων ἂν εἰς ἅπαντα ὑπῆρχες καὶ φρονίμη,
κἀμὲ δὲ εἴς τι Γραφικὸν οὐδόλως ἂν ἠρώτας·
ἀμέλει, ὦ κυρία μου, πῶς οὐδὲ τοῦτο οἶδας,
πέντε βιβλία ὁ Μωσῆς ἀνεγράψατο τότε,
ἃ ὁ Θεὸς λελάληκεν ἐν τοῖς ὠσὶ τοῖς τούτου,
Γέννεσιν, Ἔξοδον, πρὸς δὲ Λευϊτικὸν ὁμοίως,
καὶ τὸ Δευτερονόμιον, Ἀριθμούς, ἔχεις πάντα·
ἐκεῖνος τοίνυν ἔγραψε πρὸς τοῖς ἄλλοις καὶ τοῦτο·
ἡ βίβλος γὰρ τῶν ἀριθμῶν τοιῶσδε περιέχει·
τῷ Μωϋσῇ ὁ Κύριος, φησίν, εἰρήκει λέγων·
λάλησον τοίνυν τοῖς υἱοῖς τοῦ Ἰσραὴλ καὶ τάδε·
ὅστις ἀνὴρ ἢ καὶ γυνὴ παριδὼν οὖν παρίδῃ,
καὶ πλημμελήσει ἁμαρτὼν ποιήσῃ ἁμαρτίαν,
ἐκείνη τοίνυν ἡ ψυχὴ ἐξαγορεύσει θᾶττον
τὴν ἁμαρτίαν ἅπασαν τῷ ἱερεῖ, ἣν ἔδρα,
καὶ ἀποδώσει τάχιστα τὸ κεφάλαιον σῶον,
ὑπέρ του πλημμελήματος ἐν σκηνῇ τῷ Κυρίῳ·
καὶ ταῦτα μέντοι λέλεκται τῷ Μωϋσῇ τῷ τότε
σὺ δ', εἴπερ θέλεις τοῦ μαθεῖν ὡς τοῦτο κρεῖσσον ἄγαν,
ἐρεύνησον τὰς τοῦ Δαυῒδ καὶ Σολομῶντος ῥήσεις
καὶ τὰς ἑξῆς τῶν προφητῶν ἁπάντων γε τὰς πάσας,
καὶ ἴδοις ἂν τοὺς ἅπαντας ἃ ἤκουσαν καὶ ἔδρων
ἐξαγορεύοντας αὐτῶν τὰ κεκρυμμένα πάντα
προτρέποντάς τε καὶ ἡμᾶς ὡσαύτως δρᾶν ἐν τάχει·
τοῦ δὲ Χριστοῦ μου καὶ Θεοῦ ἐπιδεδημηκότος
οὐκ ἤκουσας, ἃ καὶ αὐτός, ἐν τοῖς εὐαγγελίοις,
καί, ἃ οἱ τούτου μαθηταὶ ἀνεγράψαντο αὖθις,
οἱ καθεξῆς γε ἅπαντες περιττὸν καὶ τὸ γράφειν,
πῶς παραινοῦσιν ἅπαντας πρὸς τοῦτο ἀσπασίως

μὴ ἐπαισχύνεσθαι, ἐφ' οἷς ἡμάρτομεν ἀτόποις,
ἀλλ' ἐξαγγέλλειν ἅπαντα πνευματικοῖς πατράσι
τοῦτο ἐστὶ καὶ λέγεται ἀρχὴ τῆς μετανοίας,
ὁπόταν τις τὰ ἑαυτοῦ κρυπτὰ ἐξαγορεύῃ,
κατὰ τὸ ῥῆμα τοῦ Θεοῦ, ὃ πρὸς Μωσῆν ἐρρέθη·
ἰδού, κυρία, εἶπόν σοι καὶ πῶς καὶ τίνι τρόπῳ
καλεῖται ἡ μετάνοια καὶ γίνεται καὶ ἔστιν·
εἰ ταύτῃ βούλει προσδραμεῖν καὶ προσφυγεῖν ἐν τάχει,
ἀπολογία ἄπεστιν οὐδεμία παρεῖ σοι !
λοιπὸν καὶ αὖθις ἄκουσον ἐν τῷ τέλει τοῦ λόγου,
εἰμὴ ἐλάλησα πρὸς σὲ εἰ μὴ ἐδίδαξά σε,
εἰμὴ πολλὰ παρήνεσα ἁμαρτίαν οὐκ εἶχες,
νυνὶ δὲ πρόφασιν ποσῶς οὐκ ἔχεις τὸ παράπαν
περί τε τῶν ἁμαρτιῶν, ἀνομιῶν σου πάντων.

Ψυχή. Πάντα καλῶς ἐδίδαξας ὀρθῶς ἐλάλησάς μοι,
καὶ νῦν ὡς ἄχρι συνεργόν σε ἔχω ἐν τῷ βίῳ
συναγωνίσθητί μοι νῦν, ἵν' ὅπως λευκανθῶμεν,
καὶ καθαρθῶμεν ἐξ ἀμφοῖν πάντων τῶν μολυσμάτων
οὐδ' οὐ πεισθῇς μοι, ὁλοὴ λύσσα, κακόφρον πέδη,
ἐμὲ μέν γε κρατήσουσιν ἀλλὰ καὶ σὲ δεροῦσιν,
ὅτι ἐμοὶ συνδέδεσαι ἔνθα ἐγὼ καὶ σύ γε,
ἐξ ὅτου γάρ σου χωρισθῶ ἀπρακτοῦμεν, ὡς οἶμαι,

Σάρξ. Καὶ πάντως σὺ καὶ ἄγεις με καὶ πάντως σὺ καὶ φέρεις,
ἐγώ σου δούλη πέφυκα ποιῶν εἴ τι προστάξεις,
ὡς θέλεις, πράττε, δέσποινα, ἀφορμὴν γὰρ οὐκ ἔχεις,
δεῦρο ἀπάρξου τῶν καλῶν ἔργων καὶ σωτηρίων,
τῶν φίλων μόνων τῷ Θεῷ καὶ εὐαρέστων τούτῳ,
ἐγὼ δ' εἰς ἅπερ δύναμαι συνεργήσω σοι μάλα,
ὅτι κἀγὼ τὰ ἀλγεινὰ τὰ μέλλοντα φοβοῦμαι,
τούτων φυγεῖν ἐφίεμαι ἐπιποθῶ καὶ θέλω.

Ψυχή. Καὶ ἄρτι δεῖξον ἐξ αὐτῶν τῶν ἔργων ἅπερ λέγεις
εἰπὲ τὸν στίχον, δούλη μου, καὶ ἄρξαι δὴ τῶν ἔργων

Σάρξ. Ἔμπροσθεν τῆς κυρίας μου οὐχ ἁρμόζει λαλεῖν με
μήπως μεμφθῶ ὡς προπετής, καὶ δόξω λάλος εἶναι

Ψυχή. Ἐγὼ προστάσσω, δούλη μου, ἐγὼ προστάσσω λέγε,
ἐξ ὧν περ ἔχεις καὶ φρονεῖς ὄργανον γάρ μου πέλεις
καὶ δίχα γε τῆς γλώττης σου λέγειν οὐδὲν ἰσχύω,

διὰ γὰρ σοῦ τὸν ποιητὴν εὐλογῶ καὶ δοξάζω
λόγον τἀνῦν προφορικὸν τὸν εἰς ὦτα εἰσδύντα.
Σάρξ. Λοιπόν, κυρία, ἄκουσον ἐκ τῆς γραφῆς ἐρῶ σοι·
μητέρες περιεκτικαὶ δύο εἰσὶ κυρίως,
γεννήτριαι τῶν ἀρετῶν, πρᾶξις καὶ θεωρία,
δι' ὧν γε πᾶς τις τῷ Θεῷ εὐαρεστεῖ καὶ φίλος
αὐτῷ προαναφαίνεται καὶ δείκνυται οἰκεῖος
ἐγὼ μὲν εἰς τὴν πρακτικὴν συνεργήσω σοι μάλα
εἰς θεωρίαν δ' οὐδαμῶς σὸν ἐστὶν ἔργον τοῦτο·
οὐδ' ἥνπερ δύνασαι λοιπὸν ταύτην ἀπάρξου πρώτην
ἀλλ' οὖν γε πρῶτον πρακτικῆς, ὕστερον θεωρίας,
οὐδεὶς γὰρ δύναται ἐλθεῖν εἰς θεωρίαν ὅλως,
εἰμή τοι πρῶτον πρακτικῆς ἐπιβαίη βαθμίδος·
λοιπὸν ἀπάρξου τῶν καλῶν, ὧν ἂν ἐθέλεις ἔργων,
καὶ συνεργῶ σοι, δέσποινα, εἰς ἃ κἀγὼ ἰσχύω,
εἰς στεναγμοὺς εἰς κωκυτὸν εἰς πένθος εἰς κλαυθμόν τε,
εἰς θρήνους τε καὶ δάκρυα καὶ ὀδυρμοὺς παντοίους
εἰς προσευχῆς κατάνυξιν εἰς ψαλμῳδίαν αὖθις,
εἰς χαμευνίαν ἀσπαστῶς καὶ τὴν σκληραγωγίαν,
εἰς συντριβὴν καρδίας τε ἐγκράτειαν, νηστείαν
καὶ εἰς ἀνάγνωσιν Γραφῶν καὶ εἰς μελέτην τούτων,
εἰς ἀγρυπνίαν, κόπους τε καὶ ἐργόχειρον αὖθις,
καὶ εἰς ἐκτάσεις τῶν χειρῶν καὶ κλίσεις τῶν γονάτων,
καὶ τὰς τυπώσεις τοῦ σταυροῦ ἐν τοῖς μέλεσι πᾶσι·
τὸ στῆθος τύψω τῇ πυγμῇ, ὡς ὁ τελώνης πάλαι,
καὶ πένησι σκορπίσω σου τὰ πάντα, εἴπερ θέλεις,
ἀπὸ μικρῶν καὶ εὐτελῶν ἄχρι καὶ τῶν μεγάλων.
Ψυχή. Ἐν λόγοις τέως εὔφρανας καὶ τεθεράπευκάς με,
ἂν καὶ δι' ἔργων σου αὐτῶν πιστώσῃ, ἅπερ εἶπας,
τῷ τότε φαίνῃ ἀληθὴς συνέριθος εἰς πάντα.
Σάρξ. Θάρσει, κυρία, θάρσησον καὶ δεῖξον προθυμίαν
καὶ τὴν ἰσχὺν καὶ δύναμιν ταῖς ἀμφοτέραις δώσει,
ὁ ποιητής σου καὶ Θεὸς ἐμοὶ δὲ πλάστης πάλιν·
ἀνάστα, ἡ κυρία μου, ἀνάστα, δέσποινά μου,
τὸν ὄκνον, τὴν ἀμέλειαν, ἀπόθου καὶ τὸ χαῦνον
καὶ τῷ Κυρίῳ πρόσπεσον θερμῶς παρακαλοῦσα,
εἰπὲ πρὸς τοῦτον ταῦτα δὴ διὰ πολλὴν ἀγάπην

κατῆλθες ἐσαρκώθης τε, τοὺς πάντας ἵνα σώσῃς,
καὶ πάλιν, σῶσον, σῶσον με, κατὰ χάριν αἰτῶ σε,
εἰ γὰρ ἐξ ἔργων σώσεις με οὐ χάρις λογισθείη,
ἀλλ' ὀφειλὴ τὰ μάλιστᾶ τὸ μέγα τοῦτο δῶρον·
ναὶ ὁ πολὺς ἐν οἰκτιρμοῖς ἄφατος ἐν ἐλέει,
ὁ γὰρ πιστεύων εἴρηκας εἰς ἐμέ, ὦ Χριστέ μου
ζήσεται καὶ οὐκ ὄψεται θάνατον εἰς αἰῶνας,
εἰ οὖν ἡ πίστις ἡ εἰς σὲ σῴζει ἀπεγνωσμένους,
ἰδοὺ πιστεύω, σῶσον με ὁ Θεός μου, καὶ πλάστης,
ἡ πίστις, ἀντὶ ἔργων μοι, Θεέ μου λογισθήτω,
καὶ μὴ ζητήσῃς ἔργα με ὅλως τὰ δικαιοῦντα,
ἀλλ' αὐτὴ ἡ πίστις μου ἀρκέσει ἀντὶ πάντων
αὕτη ἀπολογήσοιτο· αὕτη μὲ δικαιώσει,
αὕτη μὲ δείξει κοινωνὸν σῆς δόξης αἰωνίου,
μὴ οὖν κερδήσῃ με σατὰν καὶ καυχήσεται λόγῳ
ὡς ἀποσπάσας με τῆς σῆς χειρὸς καὶ τῆς μάνδρας
ἀλλὰ κἂν θέλω σῶσόν με, κἂν μὴ θέλω, Χριστέ μου
σὺ γὰρ ὑπάρχεις μου Θεὸς ἀπὸ γαστρὸς μητρός μου·
καί, εἴγε ταῦτα τὰ ῥητὰ πρὸς τὸν Χριστὸν βοήσεις,
μετὰ κλαυθμοῦ καὶ ὀδυρμοῦ καὶ στεναγμοῦ καὶ πένθους
ἐκ βάθους τῆς καρδίας σου ἀπὸ ψυχῆς, κυρία,
ἐλπίδας ἔχομεν χρηστὰς ἵνα συγχωρηθῶμεν.
Ψυχή. Ἀλλ' ὑπερέβην ἅπαντας ἀνθρώπους ἁμαρτόντας
καὶ ἄσωτον καὶ τὸν λῃστὴν καὶ πόρνην καὶ τελώνην,
τοὺς Νινευΐτας πάλιν δὲ νενίκηκα καὶ τούτους
τοὺς ἐπὶ Νῶε ἀσελγεῖς καὶ τοὺς ἐν τοῖς Σοδόμοις
τῇ αἰσχρουργίᾳ καὶ αὐτοὺς ὑπερέβηκα, οἴμοι!
καὶ δέδοικα θεράπαινα, εἰς ἀπόγνωσιν ῥέπω!
Σάρξ. Θάρσει, ψυχή, μὴ δέδιθι, ἀπὸ ψυχῆς ἐρῶ σοι,
παραίνεσιν, παράδειγμα, καὶ παρηγόρημά τι,
ὅπερ πατὴρ ἐφθέγξατο ὁ ἅγιος καὶ μέγας·
φησίν, εὑρίσκω Μανασσῆν ἐκεῖνον ἐν ἀνθρώποις
οὐδένα ἄλλον κατ' αὐτὸν ὡς ἁμαρτόντα πλείω,
καὶ τοῦ Θεοῦ δὲ τὸν ναὸν μολύναντα εἰδώλοις.
εἰ πᾶς ὁ κόσμος δι' αὐτὸν νενήστευκεν οὐδέν τι
ἀντάξιον ἠδύνατο ἀντισηκοῦν ποσῶς γε,
ἀλλ' ἴσχυσεν ἀνίατα ἰάσασθαι ἐν τούτῳ

ἡ ἀληθὴς ταπείνωσις ὁ συντριμμὸς καρδίας·
ὡς ὅτι, εἰ κ' ἠθέλησας, θυσίαν ἔδωκά σοι,
τῷ γουν Θεῷ, φησὶ Δαυΐδ, ὁ μέγας ἐν προφήταις,
διὰ νηστείας σώματα ὁλοκαυτούμενά γε
οὐκ εὐδοκήσεις, ἔφησεν, οὐ παραδέξῃ ταῦτα·
θυσία γάρ πως τῷ Θεῷ πνεῦμα συντετριμμένον,
τὸ δέγε ἑξῆς νενόηται τοῖς νοῦν ἔχουσι πᾶσιν·
αὐτὸς δὲ οὗτος ὁ Δαυΐδ ποτὲ ὑπὲρ μοιχείας
καὶ φόνου ἐξεβόησεν ἐν ταπεινώσει λέξας,
ἡμάρτηκα, ἠνόμησα Κυρίῳ τῷ Θεῷ μου,
καὶ θᾶττον ἤκουσε φωνῆς ἐκ Νάθαν τοῦ προφήτου
ὁ Κύριος ἀφεῖλέ σου τὸ ἁμάρτημα πάμπαν·
διὸ θαρρήσωμεν λοιπόν, ψυχή, μὴ ἀπογνῶμεν·
ἐπείπερ σῴζει εὐχερῶς ἡ ταπείνωσις· δεῦρο
προσδράμωμεν, προσφύγωμεν δι' αὐτῆς τῷ Κυρίῳ·
λαμβάνει πᾶς γε ὁ αἰτῶν καὶ ὁ ζητῶν εὑρίσκει,
καὶ τῷ γε κρούοντι, φησίν, ἀνοίγεται ἡ θύρα,
Χριστὸς γὰρ τοῦτο ἔφησε μὴ ἀποκάμῃς κρούων,
ἄχρις ἂν δὴ τὸ αἴτημα παρ' αὐτοῦ ἀπολήψῃ,
τῆς ἀδικίας ὁ κριτὴς εἰσήκουσε τῆς χήρας,
ἐν τῷ συχνῶς προσομιλεῖν καὶ ἐκβιάζειν τοῦτον
ὁ δὲ Θεός, ὁ δίκαιος, ὁ φιλάνθρωπος φύσει,
τὴν σὴν ἐκδίκησιν, ψυχή, οὐ ποιήσει ἐν τάχει;
εἴγε καὶ σὺ προσκαρτερεῖς ὡς κἀκείνη τῷ τότε.

Ψυχή. Καὶ δόξα τῷ Κυρίῳ μου καὶ χάρις τῷ Χριστῷ μου
ὅτι καὶ πάντας δέχεται σωθῆναι πάντας θέλει.

Σάρξ. Καὶ λέγω σοι, κυρία μου, πρὸς τούτοις ἄλλο μεῖζον
ἵν' ἐξ αὐτοῦ τὸ βέβαιον ἀκριβέστερον μάθῃς
καὶ μὴ διστάζῃς ὁπωσοῦν ἐπὶ τοῖς προλεχθεῖσιν·
ὁπόταν οὖν ἐξέωσε τοὺς δαίμονας Χριστός μου
τὸν λεγεῶνα τὸν πολὺν ποτὲ ἐκ τοῦ ἀνθρώπου,
τοῦτον ᾐτήσαντο εὐθὺς μὴ ἀπελθεῖν εἰς χάος.
εἰς ἄβυσσον ἀπύθμαντον, ἀλλά γε εἰς τοὺς χοίρους,
πῶς παρευθὺς πεποίηκε τὸ θέλημα τὸ τούτων,
ὅπερ εἰς βλάβην γέγονε τῶν τοὺς χοίρους ἐχόντων·
ἀπέπνιξαν γὰρ ἅπαντας τοὺς χοίρους ἐν τῇ λίμνῃ,
καὶ μέντοι ἔγνω ὁ Χριστός, ὡς ὢν καρδιογνώστης,

ὅτι ὀλέσαι βούλονται τοὺς σύας ἐξαπίνης,
ἀλλ᾽ ὅμως δὴ πεπλήρωκε τὴν αἴτησιν τὴν τούτων,
τῶν ἀκαθάρτων δηλαδὴ καὶ πονηρῶν δαιμόνων,
τὸ δέ γε αἴτημα τὸ σὸν ἐπικερδὲς τυγχάνον
οὐκ ὂν εἰς βλάβην μηδενὸς σωτηρίαν δὲ μᾶλλον,
καὶ ἀνεκλάλητον χαρὰν ἀγγέλλοις καὶ ἀνθρώποις,
εἴπερ, ὡς γέγραπται, χαρὰ ἐν οὐρανοῖς ὑπάρχει,
ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ὧδε,
οὐχ εἰσακούσει σου ψυχὴ ἐν τάχει ὁ Χριστός μου
καὶ λήψει σου τὸ αἴτημα ψυχικὴν σωτηρίαν;
ναί, πάντως εἰσακούσεται δικαιοκρίτης πέλων,
ἂν γὰρ οὐκ εἰσακούσῃ σου, ἄδικος ἂν φανεῖται
ὅτι δαιμόνων ἤκουσε καὶ σοῦ γε οὐκ ἀκούει ! !
ὅστις ἀκούσει τοῦτό γε ἀνὴρ τῶν εὖ φρονούντων
καὶ μέμψιν ἐπαγάγηται τῷ Χριστῷ ὡς ἀδίκῳ,
καὶ αἰδεσθήσεται λοιπὸν ἐπὶ τῇ καταγνώσει·
ἀλλ᾽ οὖν ὑπάρχεις ὀκνηρὰ καὶ ἀμελὴς καὶ χαύνη
καὶ οὔτ᾽ αἰτεῖς οὔτε ζητεῖς οὔτε τὴν θύραν κρούεις,
καὶ πῶς σοι ἀνοιγήσεται ἡ θύρα τοῦ ἐλέους ;
τοῖς δάκρυσιν οὐδέποτε ἔβρεξας τούτου πόδας
καὶ πῶς αὐτὸς προσείποι σοι τὴν πρόσρησιν ἐκείνην
ἀφέωνταί σου αἱ πολλαί, ὦ ψυχή, ἁμαρτίαι
ὅτι ἠγάπησας πολύ, πολὺ καὶ ἀφεθήσῃ;
λοιπὸν αὐτός, Κυρία μου, βίᾳ ἢ δυναστείᾳ
οὐ βούλεται τοῦ σῶσαί σε, οὐκ ἔχει τοῦτο χάριν·
φιλτάτη, τὸ μυστήριον ἡμῶν τῆς σωτηρίας
οὐκ ἔστι τυραννούμενον, ἀλλὰ τῶν βουλομένων
ἡ ἀρετὴ ἑκούσιον, ἀδέσποτόν τι χρῆμα,
τὸ δὲ βεβιασμένον καὶ κατηναγκασμένον
οὐ δύναται τὸ σύνολον ἀρετὴ τοῦτο εἶναι,
ὡς οἶσθα ἐθελούσια καὶ οὐκ ἀνάγκῃ εἴη,
τὰ φύσει ἅπαντα καλὰ ἀλλ᾽ ἐκ προθυμίας,
ἐκ προαιρέσεως αὐτῆς καὶ πολλῆς τῆς ἀγάπης,
ἀπὸ θερμότητος ψυχῆς, θέλει προσέρχεσθαί σε
μετὰ καὶ δώρων εὐτελῶν καὶ ἐλαχίστων ἄγαν
προσάγειν τούτῳ δάκρυα καὶ στεναγμοὺς καρδίας,
καὶ τότε σοι τὸν ἔλεον δαψιλῶς ἐπιχέει

ὡς καὶ ποτὲ τῇ ἐναγεῖ καὶ βορβορώδει πόρνῃ,
οὐδὲν γὰρ ἄλλο ἀπὸ σοῦ ζητῆσαι τὸ παράπαν,
ἀλλ' ἢ σου τὴν κατάνυξιν καὶ στεναγμούς, ὡς εἶπον,
καὶ δάκρυα θερμότατα ἐκ κόρης ὀφθαλμῶν σου,
ἀληθινὴν ταπείνωσιν, καθώσπερ σοὶ προεῖπον·
τούτων τι πάντων οὐδαμῶς ἐξωνήσαθαι μέλλεις
ἢ πορευθῆναι μήκοθεν εἰς πόλεις τε καὶ χώρας
καὶ τῆς θαλάσσης ἄπλετα πελάγη διαπλεῦσαι,
ἀλλ' ἐν σοὶ πεφύκασιν ἐγκεκρμμένα ἔνδον
καί, μόνον εἰ θελήσεῖας, ἕτοιμα εἶνε πάντα
καὶ πρόσδραμε καὶ πρόσφερε ἀνενδοιάστως ταῦτα
τῷ ποιητῇ σου καὶ Θεῷ λύτρον ὑπὲρ σφαλμάτων
καὶ λήψῃ τὴν συγχώρησιν ἀμπλακημάτων πάντων·
εἰς τ' ἄλλα πάντα ὀκνηρὲ προφασίζῃ προφάσεις
εἰς κόπους καὶ ἀγῶνας τε ἄναλκις φαίης εἶναι,
ἀλλὰ καὶ εἰς τὸ εὖ ποιεῖν προβάλῃ τὴν πενίαν,
εἰς τοῦτο πάντως, ῥᾴθυμε, τὸ τί εἰπεῖν οὐκ ἔχεις,
γεγράφθαι γὰρ ἀκήκοα ἔκ τινος τῶν Πατέρων·
οὐ γὰρ ἐνήστευα ποσῶς οὐκ ἠγρύπνησα ὅλως,
οὔτ' ἐχαμεύνησα ποτέ, οὔτ' ἔθλιψα τὴν σάρκα,
οὔτ' ἄλλην κακοπάθειαν ἐνεδειξάμην τάχα,
ἀλλ' οὖν ἐταπεινώθην δὴ καὶ ἔσωσέ με θᾶττον
ὁ Κύριος, ὡς καίποτε ἐκεῖνον τὸν τελώνην,
οὐχ ἕνεκεν τῶν κόπων μου ἢ τῶν κατορθωμάτων,
ἀλλ' ἕνεκα τῆς ἀληθοῦς ταπεινώσεως δή μου,
διὰ τὸ ἔλεος αὐτοῦ τὸ πλούσιον καὶ μέγα·
καὶ ἄκουσον καὶ τί ἐστὶ ταπείνωσις, κυρία,
ἐσχατωτέραν πάντοτε τὸ ἔχειν καὶ νομίζειν
σαυτὴν ἁμαρτωλότερον οἷα παντὸς ἀνθρώπου,
εὐτελεστέραν αὖθις τε καί γε ἀχρειοτέραν
καὶ μέμφεσθαί σε καὶ σαυτήν, εἴτι σοι καὶ συμβαίνῃ,
καὶ ἐπιγράφειν τῷ Θεῷ, εἴ τι δ' ἂν κατορθώσῃς·
τὸ μὴ μισεῖν, τὸ μὴ φθονεῖν, μήτ' ὀνειδίζειν ὅλως,
μὴ σκανδαλίζειν ὁπωσοῦν τὸν πέλας, καὶ ἐχθραίνειν,
μὴ κατακρίνειν τὸν αὐτόν, μνησικακεῖν μὴ μέντοι,
καταλαλεῖν, συκοφαντεῖν, ἐξουθενεῖν μηδόλως·
ἂν ταῦτα γὰρ σπουδάσειας φυλάττειν, ὦ κυρία,

ἐκτήσω τὴν ταπείνωσιν ἀπόνως καὶ ἀκόπως·
ποῖος γὰρ πόνος πέφυκεν ἢ καὶ κόπος ἐνθάδε
εἰς τὸ φυλάσσειν ταῦτα γε ὅστις δ᾽ ἂν καὶ ἐθέλῃ
μόνον τὴν γλῶσσαν προπετῶς φθέγγεσθαι μὴ διδάξῃς
καί γε κατώρθωσας τὸ πᾶν τῆς δεκαλόγου ταύτης
ἐὰν σαυτὸν ἁμαρτωλὸν ἀληθῶς ὑποπτεύῃς
ὑπὲρ τοὺς ὄντας ἐν τῇ γῇ ἀνθρώπους λέγω πάντας,
οὐ δύνασαι κατ᾽ ἔπαρσιν τοῦ φθέγξασθαί τι ῥῆμα,
ἐξ ὧνπερ ἀνεγράψαμεν ταύτης τῆς δεκαλόγου,
οὐ πρὸς μικρόν, οὐ μέγα τε, οὔτε τῶν ἐλαχίστων,
ἥγησαι ὑπερέχοντας σεαυτοῦ πάντας τότε
καί γε πληροῦται ἐπὶ σοὶ ὁ λόγος τοῦ Χριστοῦ μου·
πᾶς γὰρ φησὶν ὁ ταπεινῶν ἑαυτόν πως ὑψοῦται,
ὁ δ᾽ αὖ ὑψῶν γε ἑαυτὸν μὴ θέλων ταπεινοῦται,
ἰδού, κυρία, ἔδειξα ὁδόν σοι σωτηρίας,
καὶ εὔκολον καὶ σύντομον καὶ εὐχερῆ καὶ ῥᾴστην,
οὐδὲν γὰρ ἔχει φορτικὸν οὔτε βαρὺ καὶ μέγα
οὔτ᾽ ἐπαχθὲς καὶ ἄναντες, ἀλλ᾽ εὐπετὲς καὶ λεῖον,
οὐκ ἔχει κόπον ὅπως οὖν σωματικὸν ἐνθάδε,
οὔτε τὸν πλοῦτον συνεργὸν οὐ χρημάτων δαπάνην,
ἀλλ᾽ ἢ ψυχῆς ταπείνωσιν καὶ συντριμμὸν καρδίας,
καί, εἰ σωθῆναι βούλοιο, ταύτην ἀπρὶξ ἀσπάζου,
φημὶ δὴ τὴν ταπείνωσιν τὴν σῴζουσαν εὐκόλως,
ἐγγὺς γάρ, Κύριος φησί, τοῖς γε συντετριμμένοις
καὶ τεταπεινωμένοις τε καὶ ψυχὴν καὶ τὸν νόον·
καὶ πέριξ ταύτης ἱκανῶς ὑπέμνησά σοι ὧδε
λοιπὸν ὁ λόγος ἐνταυθοῖ πέρας ἕξει, κυρία,
καὶ δόξαν ἀναπέμψοιμεν Κυρίῳ τῷ Θεῷ μου,
διόπερ δόξα σοι Τριὰς ἀδιαίρετε φύσει,
τριὰς ταῖς ὑποστάσεσι μονὰς δὲ τῇ οὐσίᾳ
Πάτερ, Υἱέ, σὺν Πνεύματι τῷ Ὑπερπαναγίῳ,
νῦν καὶ ἀεὶ καὶ πάντοτε εἰς αἰῶνας αἰώνων.

(Τέλος τοῦ πρώτου λόγου).

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

Τάδε ἔνεστιν ἐν τῷ δευτέρῳ λόγῳ

α΄) ὅτι ἡ ψυχή, ἐξ ὧν διὰ τῶν τοῦ σώματος μελῶν ἐνεργεῖ, δι᾿ αὐτῶν καὶ γνωρίζεται τὸ οἷα καὶ πηλίκη.

β΄) ὅτι, εἰμὴ εἰς αὔξησιν ἔλθωσι τὰ μέλη τοῦ σώματος, αἱ ἐνέργειαι τῆς ψυχῆς ἀφανεῖς εἰσίν.

γ΄) ὅτι, εἴπερ τι τῶν τοῦ σώματος μελῶν βλαβῇ, ἀπρακτεῖ ἡ ψυχὴ εἰς τὴν δι᾿ αὐτοῦ ἐνέργειαν.

δ΄) ὅτι ἐν ποίῳ μορίῳ τοῦ σώματος τὸν νοῦν ἐγκαθιδρεῖσθαι [ὑποληπτέον

ε΄) ὅτι τοῦ σώματος φθειρομένου ἡ ψυχὴ μένει· καὶ πῶς οὖσα ἀθάνατος θνητῷ συνεκτίσθη καὶ ποῖον ποίου πρωτόκτιστον.

ϛ΄) ὅτι σύμφυτος ἡ ψυχὴ τῷ σώματι καὶ σύγχρονος.

ζ΄) Ἆρα τίς ὁ προπταίσας ἀρχῆθεν ἡ ψυχὴ ἢ τὸ σῶμα· καὶ ὅτι ἡ ψυχή, ἐν ὅσῳ τῇ σαρκὶ δέδεται, τὰ νοητὰ οὐχ ὁρᾷ

η΄) Τί τὸ κατ᾿ εἰκόνα καὶ ὁμοίωσιν καὶ ἐν τίνι καθορᾶται.

θ΄) Τοῦ Ἀδὰμ τὸ σῶμα φθαρτὸν ἐπλάσθη ἢ ἄφθαρτον.

ι΄) Ποῦ θέλομεν λέγειν τὰς ἀπελθούσας ψυχὰς εἶναι καὶ ὅτι ἀναστησόμεθα πάντες ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ καὶ ὁποῖοι.

ια΄) Ὁ Χριστὸς κατελθὼν ἐν τῷ Ἅδῃ, εἰ πάσας ἠλευθέρωσε τὰς ψυχὰς καὶ πῶς αἱ ψυχαὶ ἀναγνωρίσουσι τὰ ἴδια σώματα

ιβ΄) Ὅτι καθολικὸς μέλλει γενέσθαι ἀναγνωρισμὸς μέχρι τῆς ἐκ δεξιῶν καὶ εὐωνύμων στάσεως μετὰ δὲ ταῦτα οὐκέτι ἀλλὰ μόνοις τοῖς δικαίοις ἔσται.

ιγ΄) Ὅτι ἐν τῇ (δευτέρᾳ παρουσίᾳ) ἀνακαινισθήσεται ἡ κτίσις ὁμοίως καὶ τὰ τῶν ἀνθρώπων ἀφθαρτισθήσονται σώματα καὶ αἱ ψυχαὶ οὐ τριμερεῖς ἔσονται.

ιδ΄) Ἔτι περὶ Ἀναστάσεως πλατυτέρα ἐξήγησις.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ (στίχοι ᾳχωδ΄).

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ψυχή. Ἰδοὺ καὶ ἄλλο ζήτημα, ἰδοὺ ἑτέρα πτῶσις,
ἐξ ὧν εἰρόμην σοι τὴν χθὲς εἰς λόγον σου τὸν πρῶτον,

πολλά μοι ἐφανέρωσας, πολλὰ ἡρμήνευσάς μοι,
ἤθελον δέ γε τοῦ μαθεῖν καὶ ποῦ θέλομεν λέγειν,
ὑπάρχειν ἄρτι τὰς ψυχὰς τῶν ἤδη τεθνεώτων,
ἂν ἐν τῷ Ἅδῃ εἴπῃς μοι, καὶ ποῦ τυγχάνει οὗτος
εἰπέ μοι τοῦτο, δούλη μου, εἰπὲ καὶ μὴ ὀκνήσῃς.
Σάρξ. Ἀπρόσεκτος κατὰ πολὺ τυγχάνεις, ὦ κυρία,
εἰ γὰρ προσεῖχες ταῖς Γραφαῖς, ἐξ ὧν ἀναγινώσκεις,
ἐξ ὧν καὶ ψάλλεις πολλαχοῦ καθεκάστην ἡμέραν,
εἶχες τὰ πλείω καὶ μαθεῖν καὶ γνῶναι καὶ εἰδέναι,
διδάσκαλον οὐκ ἔχρῃζες, οὔτε μὴν ἑρμηνέα,
ἠκούσθη ἄρτι, δέσποινα, καὶ τοῦτο ἀγνοεῖν σε
καὶ ἐρωτᾷς τὴν δούλην σου ἐμὲ τὴν ὀλεθρίαν.
Ψυχή. Ἂν γὰρ οὐ μάθω παρὰ σοῦ ἀπὸ τίνος μυοῦμαι,
ἐκ τῆς Γραφῆς ἀκήκοα τὸ ἐρωτᾶν ὡς κρεῖττον,
καὶ τὸ βουλεύεσθαι πολλά, σωτήριον ὑπάρχει.
Σάρξ. Καὶ τί ἐστί καὶ τί πέλει τὸ ἔργον σου, ὃ ἔχεις,
καὶ ποῦ πελάζεται ὁ νοῦς καὶ ποῦ γυρεύει, φράσον.
Ψυχή. Ἐμὸν γὰρ ἔργον πέφυκε, τὸ μελετᾶν τὰ θεῖα,
καὶ ὅθεν παραγέγονα καὶ τὸ δι' ἣν αἰτίαν,
καὶ τίς ἐστίν ὁ κτίστης μου καὶ πῶς τιμιωτέραν
τῶν ἐγκοσμίων πάντων γε ἐποίησε κτισμάτων
καὶ ὑπόχειρα δέδωκε καὶ κτήνη καὶ θηρία
καὶ ἑρπετὰ καὶ πετεινὰ καὶ τἆλλα λέγω πάντα,
τὸν οὐρανὸν σὺν τοῖς αὐτοῦ, τὴν γῆν τε καὶ τὴν ἅλω,
καὶ πῶς μὲ ἐναπέκλεισεν εἰς τὴν ὀζωδίαν,
καὶ ὅπῃ πάλιν καταντῶ σοῦ χωρισθεῖσα τέλος.
Σάρξ. Καλῶς ἀπελογήσω μοι ὀρθῶς καὶ ἀπεκρίθης,
ταῦτα μελέτα πάντοτε ταῦτα καὶ ἔργον ἔχε
καὶ ἵνα μάθῃς ἐξ αὐτῶν ἀπόρρητα καὶ θεῖα.
Ψυχή. Ἐγώ γε τοῦτο καὶ ποθῶ διαπαντὸς καὶ θέλω
καὶ καθεκάστην μεριμνᾶν καὶ σπουδάζειν ὡς θέμις
μελέτην ἀνεπίληστον ἐν τούτοις με τοῦ ἔχειν
ἀλλ' ὡς ὁ χοῖρος τῷ πηλῷ ἥδεται καὶ βορβόρῳ,
καὶ καθεκάστην κυβιστᾷ τερπόμενος ἐν τούτοις,
οὕτως αὐτή, παγκάκιστε σάρξ, ὀλοὴ κακόφρον'
τοῖς σαρκικοῖς σου πάθεσι καὶ ἡδοναῖς αἰσχίστοις,
καὶ ταῖς βεβήλοις πράξεσι χραίνεις με καθεκάστην

ἰλυσπωμένη ἐν αὐταῖς ἀδεῶς ὡς ὁ χοῖρος
καὶ κατασπᾷς με κάτω γε, κἂν ὅλως οὐκ ἐᾷς με·
τὰ ἄνω βλέπειν καὶ φρονεῖν τοῖς ἐκεῖ ἐμβατεύειν,
τὸ ὀπτικὸν ἀπέσβεσας, ὅπερ ἐστὶν ὁ νοῦς μου,
καὶ πῶς δυνήσομαι μαθεῖν ἐσκοτισμένη οὖσα,
πεπωρωμένη παντελῶς ὁρᾶν οὐδὲν ἰσχύω.
Σάρξ. Καὶ πάντως σὺ καὶ στρέφεις με καὶ πάντως σὺ καὶ ἕλκεις,
καὶ πάντως σὺ καὶ στρέφεις με, ὥσπερ ἱππεὺς τὸν ἵππον,
ἐγὼ γὰρ τοίνυν, ἄνευ σοῦ, ὅλως οὐδέν τι πράττω
οὔτε καλὸν οὔτε κακὸν οὐ μέσον τὸ παράπαν
καὶ τί μοι μέμφῃ τὰ πολλὰ καὶ τί με ἀτιμάζεις;
κἄν τε καλῶς κἄν τε κακῶς βιοῦμεν σοῦ τὸ θέλειν.
Ψυχή. Ὑπολαμβάνεις, κάκιστε, εὐλόγως ἀντερεῖν μοι
ἀλλ' οὐχ ὑπάρχει, ὡς σὺ φής, οὐκ ἔστιν ὥσπερ εἶπας,
ἀλλ' ὥσπερ ἵππος τζινιστής, ὃν λέγουν συρτιάρης,
δυσήνιος, δυσκάθεκτος, ἀνυπότακτος πάντῃ,
ὁπόταν δάκῃ χαλινὸν καὶ τοὺς ὀδόντας σφίγξῃ,
καὶ καμαρώσῃ μανικῶς καὶ πρὸς κρημνοὺς ὁρμήσῃ
πρὸς χάσματα καὶ βάραθρα καὶ λάκκους βορβορώδεις,
κρημνίσῃ δέ γε ἑαυτὸν ἅμα τῷ ἀναβάτῃ·
ἂν δέ γε ὀπισθοποδῇ τοῦτο πάλιν τὸ χεῖρον·
τοιοῦτον δὴ παρόμοιον παθαίνομεν κατ' ἄμφω,
ξυλοστομεῖς, ὥσπερ αὐτός, ὁ προλεχθείς μοι ἵππος·
ἐχρθὰ καὶ τότ' οὐ δύναμαι φέρειν σε ἔνθα θέλω,
ἀλλ' ἔνθα σὺ θελήσειας ἄγεις με, κἂν μὴ θέλω,
ἂν οὖν μαστίζω ῥάβδῳ σε καὶ τιμωρήσομαί σε,
εἴτε λιμῷ κακώσω σε καὶ τῇ σκληραγωγίᾳ,
εἰ κόπους ἐπενέγκω σοι πολλούς τε καὶ μεγάλους
καὶ πόνους ἐκφέρω σοι ὅπως ταλαιπωρήσῃς,
νὰ μὴ σφαδάζῃς καὶ σκιρτᾷς καὶ τριποδίζεις ὅλως,
καὶ θήσω κάτω σε νεκρὰν ἡμίθνητόν τε ὅλην
πρὸς τὸ παιδεῦσαι πάντως σε πειθήνιον γενέσθαι.
οὐκ ἔχω τὸν δουλεύοντα οὔτε τὸν βοηθοῦντα
οὐκ ἔχω τὸ διά τινος τὰς ἀρετὰς ἐργάσθαι·
ἂν δέ γε θεραπεύω σε καὶ ἀναπαύω αὖθις
κατεπανίστασαι κακῶς καὶ πολεμεῖς μὲ λύσσαν,
καὶ καταβάλλεις κάτω με εἰς πράξεις ἀθεμίτους

πλὴν συνεργεῖς μοι καί ποτε πράττειν Θεῷ τὰ φίλα,
ὑπερμαχεῖς εἰς τὰ πολλὰ ἀλλὰ καὶ πολεμεῖς με
ἔχω σε καί γε βοηθὸν καὶ ἀντίδικον αὖθις,
πολέμιόν τε ἄσπονδον, ἐχθρὸν ἠγριωμένον,
οὐαί μοι, πῶς ἐχθρὸς πέλεις καὶ φίλος ἐνταυτῷ μοι!
ὁμῆλιξ καὶ ὁμοφυὴς ὑπάρχει μοι διόλου
καὶ πρᾶξαι τί γε ἀπορῶ, οὐκ οἶδα τί ποιήσω·
ἂν οὖν ἠθέλησε Θεός, εἰ σὲ ἠλευθερώθην,
ἐξῆλθον σου τῆς φυλακῆς καὶ δυσωδίας, βρῶμε,
ἀνῆλθον ἂν ὁδηγηθεὶς ὑπὸ ἀγγέλου ἄνω
τὸ τάχος καὶ τὰ ἴδια εἰς τὴν ἐμὴν πατρίδα,
λιποῦσα τὰ ἐγκόσμια ὑπερκοσμίως ᾤκουν.
Σάρξ. Πολλὰ ὑψώθης, ὦ ψυχή, πολλὰ ἐφυσιώθης,
ὡς νοερὰ καὶ ἄϋλος καὶ ὡς πανυπερτάτη,
ἀσώματος καὶ λογικὴ καὶ ἀθάνατος ὅλη,
ὡς οὖσα ἐκ τοῦ ἄνωθεν ἐπουρανίου κόσμου,
ὁ κόσμος οὗτος οὐκ ἔστιν ἅπας ἄξιος γάρ σου,
ἐγὼ τυγχάνω δυσγενής, ἐγὼ χυδαία δούλη,
ἐκ τοῦδε κόσμου τοῦ τρεπτοῦ, τοῦ φθαρτοῦ καὶ ματαίου
ἐκ τῶν τεσσάρων τῶν αὐτοῦ στοιχείων ὅλη πέλω
καὶ μιαρὰ καὶ βδελυκτὴ καὶ ῥυπαρὰ ὡς λέγεις,
καὶ λέγε τὰ δοκοῦντά σοι, κυρία γάρ μου πέλεις,
ἀλλ' οὖν, ἢν ψέγῃς ὡς κακὴν ἐμέ, ἢν ἀτιμάζῃς
εἶ με οὐκ ἔχεις, δέσποινα, οὐκ εἶ ἀξία φόλης!!
Ψυχή. Καὶ πῶς με ἀνησχύντησας, καὶ πῶς ἠτίμωσάς με,
καὶ τί με ἐξηυτέλισας θέλω μαθεῖν τὸν τρόπον
Σάρξ. Πρόσχες λοιπὸν καὶ ἄκουσον καὶ μὴ πικρανῃ μάτην
μήτε ὀργίζου κατ' ἐμοῦ εἰκῇ πως, δέσποινά μου,
ἐπ' ἄν σε ἀνησχύντησα καὶ ἀποδιετράπην,
καὶ τὴν αἰδὼ ἐξώθησα ἀπὸ τὸ πρόσωπόν μου.
ἐρῶ σοι τὴν ἀλήθειαν ἤδη, κἂν καὶ μὴ θέλω,
καὶ πρόσχες ὧδε νουνεχῶς καὶ νόει ἅπερ λέγω·
ἄνευ ὀργάνων τῶν ἐμῶν καὶ τῶν μελῶν, κυρία,
τὸν ποιητήν σου καὶ Θεὸν δοξολογεῖν οὐ δύνῃ,
εἰ μή με ἔχεις συνεργόν, ὡς δὴ καὶ βοηθόν σου,
ἀλλ' οὔτε μὴν εὐχαριστεῖν, ὡς ποίημα τὸν κτίστην,
οὐδ' ἅπερ ἥμαρτες αὐτῷ μετανοεῖν ἰσχύεις

ἄνευ δακρύων, στεναγμῶν, ὡς ἡ πόρνη καὶ Πέτρος·
ὁπόταν οὖν μου χωρισθῇς συνήσεις τίς τυγχάνεις.
Ψυχή. Καὶ τέως ὅλως καὶ λαλεῖς καὶ τέως ἔχεις στόμα;
καὶ ὅλως ἀντιλέγεις μοι ἐχθρὰ καὶ οὐκ αἰσχύνῃ;
Σάρξ. Δι' ἣν αἰτίαν παύσομαι ἢ ἵνα καὶ σιγήσω
εἰ τάχα παρεδόθην σοι ἵνα με δούλην ἔχῃς
τὴν δὲ αἰτίαν ἀγνοῶ, τὸ πῶς εἰπεῖν οὐκ οἶδα,
ἀλλ', ὅστις ἔπλασεν ἐμὲ ἐποίησε καὶ σέ γε;
ἀλλ' οὐδὲ προϋπάρχεις μοι ἀλλ' ἅμα σὺ κἀγώ τε,
μὴ γὰρ ἐμὲ ὁ κεραμεὺς πλάττει, Θεὸς δὲ σέ γε;
καὶ τὶς τυγχάνεις, ἄνευ μοῦ, καὶ τὶς ὑπάρχεις, φράσον,
ἀθέατος, ἀγνώριστος τοῖς πᾶσιν ὅλη πέλεις,
οὐδεὶς γὰρ ὁ γνωρίζων σε, οὐδεὶς ὁ θεωρῶν σε,
ἄν τε καλὴ ἄν τε καὶ μή, οὐκ οἶδε τὶς ὑπάρχει
ἄν τε σοφὴ ἄν τε μωρὰ ἄν τε καὶ φρόνιμός γε
εἴτ' εὐφυὴς εἴτ' ἀφυὴς εἴτ' ἀφελής γε πάλιν.
Ψυχή. Καὶ πῶς ἐστίν, ὃ εἴρηκας, τὸ λεχθὲν οὐ συνῆκα
Σάρξ. Καὶ ἄκουσον, καὶ πείσθητι καὶ πίστευσον, ὃ λέγω·
τὰ ὄντα πάντα, δέσποινα, γνωρίζεται αἰσθήσει,
εἴτε καὶ γνώσει νοερῶς καταλαμβάνονταί τε,
τὰ μέντοι τοίνυν αἰσθητά, τῇ αἰσθήσει νοοῦμεν,
τὰ δέ γε πάλιν νοητὰ νοητῶς, ὥσπερ εἶπον,
ἀπόδειξιν τὴν αἴσθησιν τὸ αἰσθητὸν οὖν ἔχει,
τὸ καταλαμβανόμενον νοητῶς δέ, φιλτάτη,
οὐκ ἐξ αὐτοῦ γνωρίζεται ἀλλ' ἐκ τῆς ἐνεργείας·
ἄγνωστος οὖσα σὺ ψυχὴ καὶ ἀθέατος ὅλη
εἰκότως γε γνωρίζεσαι δι' ἀποτελεσμάτων
καθὼς ὁ κτίστης καὶ Θεὸς ἐκ τῶν αὐτοῦ κτισμάτων
Θεὸν γὰρ τίς ἑώρακε πώποτε τὸ καθόλου,
ἀθέατος γὰρ πέφυκε τῇ φύσει καὶ οὐσίᾳ,
ἀλλ' οὖν γνωρίζεται ποσῶς ἀπὸ τῶν ὁρωμένων·
τὰ γὰρ ἀόρατα αὐτοῦ φησὶν ὁ θεῖος Παῦλος
ἀπὸ τῶν ποιημάτων δὴ νοοῦμεν καθορῶντες,
τῆς ἐν τοῖς κτίσμασιν αὐτοῦ σοφίας φαινομένης,
ὁ ποιητὴς καὶ πλαστουργὸς γνωρίζεται τὸ οἷος,
τὰ δι' αὐτοῦ γινόμενα καθ' ἑκάστην ἡμέραν
μεγάλως τὸν δημιουργὸν αὐτῶν ἀνακηρύττει

τὸ μέγεθος τῆς καλλονῆς τῶν ἁπάντων κτισμάτων,
τὸν γενεσιουργὸν αὐτῶν ἀριδήλως γνωρίζει,
ἐγὼ ζωοῦμαι παρὰ σοῦ καὶ κινοῦμαι, κυρία,
ἐξ ὧν περ πάντως δι᾿ ἐμοῦ ἐνεργεῖς τε καὶ πράττεις
γνωρίζῃ τοίνυν ἀκριβῶς τὸ οἷα καὶ πηλίκη,
ἐγὼ δεικνύω σε τἀνῦν τοῖς πᾶσιν οἷα πέλεις,
καὶ πῶς ὑπάρχεις πρακτικὴ καὶ ἐνεργεῖς ἐν βίῳ,
ἔχεις καὶ γὰρ τὰ μέλη μου καὶ ὄργανά μου πάντα
καὶ δι᾿ αὐτῶν καὶ ἐνεργεῖς καὶ πράττεις ὅσα θέλεις
ἐγκεκρυμμένη ἐν ἐμοὶ καὶ ἀποκεκλεισμένη,
ἀθέατος, ὡς ἄϋλος, ὅλη διόλου πέλεις·
ἐνθύμημα ἢ νόημα πᾶν εἴτι δ᾿ ἂν καὶ ἔχῃς,
ἐγκεκρυμμένα πέφυκε παρὰ σοί, ὦ κυρία,
οὐ ῥήτωρ, οὐ φιλόσοφος, οὐ γεωμέτρης πάλιν,
ἀλλ᾿ οὔτε γόης δυσμενὴς δύναται γνῶναι ταῦτα,
ἄχρις οὗ λάβῃς παρ᾿ ἐμοῦ τὸ ἑξάχορδον στόμα,
καὶ πρὸς φωνὴν κατάλληλα ὀργανικά μου μέλη,
γαργαρεῶνα σταφυλήν, λάρυγγά τε καὶ γλῶσσαν,
ὀδόντας, χείλη καὶ φωνὴν σὺν αὐτοῖς ἀπαρτίσῃς,
καὶ οὕτως τότε γίνονται τὰ κεκρυμμένα δῆλα,
καὶ φανερά, ὡς ἔφημεν, τὰ νοήματα σοῦ γε,
προκύπτεις μου δι᾿ ὀφθαλμῶν καὶ βλέπεις δὴ τὰ πάντα
λαλεῖς διὰ τῆς γλώττης μου ἀκούεις μου δι᾿ ὤτων,
ὀσφραίνῃ μου διὰ ῥινὸς καὶ ταῖς χερσὶν ἐργάζῃ,
τὰς τέχνας αὖθις ἐξ ἀμφοῖν καὶ ἐπιστήμας πάσας
ἀπὸ μικρῶν καὶ εὐτελῶν ἄχρι καὶ τῶν μεγάλων,
ἐμοῦ γὰρ δίχα οὐδαμῶς πράττεις τι τὸ παράπαν,
πνευματικόν, σωματικόν, βιωτικόν, εἰσάπαν,
ἐγώ σε ἐφανέρωσα ἐγὼ ἐδόξασά σε,
καὶ μὴ καυχῶ ἐν τοῖς ἐμοῖς καὶ μὴ ὑψοῦ τοσοῦτον.
εἰ δέ γε θέλεις τοῦ μαθεῖν ὡς ἀληθές, ὃ λέγω,
ὧδέ μοι πρόσχες νουνεχῶς καὶ μαθήσῃ ῥᾳδίως·
πάντως ὑπάρχεις μέγιστος τῷ ὄντι καὶ καλή γε,
ἀπηρτισμένη ἐν ἐμοὶ καὶ τετελειωμένη,
ὅλη διόλου παρευθύ, ἐξ αὐτῆς τῆς νηδύος,
ἐγὼ δ᾿ ἡνίκα γεννηθῶ ἀτελὲς βρέφος πέλω
σμικρότατον μὲν παντελῶς παιδίον ὥσπερ εἶπον,

πῶς πάραυτα οὐκ ἐνεργεῖς ὅλως τὶ τὸ καθόλου,
οὐ γὰρ λαλεῖς εὐσύνοπτα, περιπατεῖς οὐδόλως,
διὰ χειρῶν τὸ σύνολον ποσῶς γε οὐκ ἐργάζῃ
ἀλλ' ὅλη ἀνενέργητος ὅλως διόλου πέλεις,
καὶ περιμένεις, δέσποινα, ἐμὲ τὴν σὴν παιδίσκην·
ἄχρι τοίνυν τὰ μέλη μου καὶ μόριά μου πάντα
αὐξήσωσι κατὰ μικρὸν καὶ παχυνθῶσι ταῦτα
καὶ φθάσωσιν, ὡς ἔφημεν, εἰς μέτρον ἡλικίας,
καὶ οὕτως τότε δι' αὐτῶν ἐνεργεῖς τὰ ἐν βίῳ,
καὶ μετὰ ταῦτα πάλιν δέ, εἴπερ τι τῶν μελῶν μου,
συμβαίνει καὶ ἀπόλλυται, ὡς οὐ θέλεις, κυρία,
πρὸς ἐργασίαν τὴν αὐτοῦ καὶ αὖθις ἐμποδίζῃ,
μὴ δυναμένη τὸ αὐτοῦ ἐπιτελέσαι ἔργον,
ἂν δέ γε ὁ ἐγκέφαλος πληγῇ μου διὰ ξίφους,
ἢ ἄλλως πως βλαβήσεται καὶ πεπηρωμένη γίνῃ
μὴ βλέπουσα τὸ σύνολον οὐ καλὸν οὐ τοιοῦτον,
παράφρων καὶ φρενόληπτος ὅλη διόλου πέλεις,
καὶ ὅλη ἀνενέργητος παντελῶς. ὡς προέφην,
ὥσπερ ἐγὼ τοὺς ὀφθαλμοὺς ἂν ἀπωλέσω ὅλη
ἐσκοτισμένη γίνομαι μηδὲν ἐργαζομένη,
καθὼς καὶ ὁ Χριστὸς φησὶν ἐν τοῖς Εὐαγγελίοις
καὶ πάντως ἔχω τὰ λοιπὰ μέλη μου σῶα πάντα,
οὕτω καὶ σύ, παμφίλτατε, τὸν νοῦν ἂν ἀπολέσῃς,
τὸν νοῦν δὲ χρειωδέστερον παρὰ πάντα τὰ μέλη,
ὄργανόν τε τὸ κάλλιστον ὁ ἐγκέφαλος πέλει,
καὶ κατοικοῦσιν ἐν αὐτῷ αἱ τρεῖς δυνάμεις τούτου,
μνημονικόν, φανταστικόν, διανοητικόν τε,
φανταστικὸν μὲν ἔμπροσθεν, μνημονικὸν ὀπίσω,
τὸ δὲ διανοητικὸν ἐν μέσῃ τῇ κοιλίᾳ,
τοῦ ἐγκεφάλου δηλαδὴ νόει καλῶς ἃ λέγω,
τὸ τριμερές σου ἄχρηστον δίχα τοῦ νοῦ ὑπάρχει
καὶ πάντως μένει ὑγιὲς καὶ σῶον ἅπαν τοῦτο,
λογιστικὸν καὶ θυμικόν, φημί, μετὰ τοῦ τρίτου,
ὅπερ τυγχάνει, δέσποινα, ἐπιθυμητικόν τε,
δι' ὧν τὴν ὕπαρξιν αὐτὴν ἀρχῆθεν καὶ τὸ εἶναι
ὑφέστηκας καὶ πέφυκας καὶ συνεκτίσθης σύ μοι.
διὰ τριῶν γε τουτωνὶ τῶν νοερῶν στοιχείων

τοῦ ἐγκεφάλου ὄντος μου ὑγιεινοῦ καὶ σώου,
αἱ τρεῖς δυνάμεις σου λοιπὸν γεννῶσι τέσσαράς σοι,
γενικωτάτας ἀρετάς, ὡς ἅρμα τέθριππόν τε,
δικαιοσύνην, φρόνησιν, γεννᾷ τὸ λογικόν σου,
τὴν σωφροσύνην αὖθις σοι τοὐπιθυμητικόν σου.
πρὸς τούτοις καὶ τὸ θυμικὸν γεννᾷ σοι τὴν ἀνδρίαν,
τοῦ ἐγκεφάλου σκάζοντος ἀπώλεσας τὰς πάσας
δικαιοσύνην, φρόνησιν, ἀνδρίαν, σωφροσύνην,
σύναμα καὶ τὰς τοῦ νοὸς δυνάμεις, ὦ κυρία,
μνημονικόν, φανταστικόν, διανοητικόν τε,
σὺν τούτοις καὶ τὰ πέντε σου αἰσθητήρια τοίνυν,
τὸν νοῦν καὶ τὴν διάνοιαν, δόξαν, καὶ φαντασίαν,
καὶ αἴσθησιν τὸ ἔσχατον καὶ τὰ ἐμὰ ὡσαύτως,
τὴν ὅρασιν, τὴν ὄσφρησιν, τὴν ἀκοήν, τὴν γεῦσιν,
καὶ τὴν ἁφήν μου, δέσποινα, οἴχεται πάντα ἄρδην,
τὰ νοητὰ καὶ νοερὰ καὶ αἰσθητὰ σὺν τούτοις·
καὶ πάντως ἔστιν ὑγιὲς τὸ τριμερές σου ἅπαν
λογιστικὸν καὶ θυμικὸν ἐπιθυμητικόν τε,
ἀλλ' ὅμως ἀνενέργητα καὶ ἄχρηστα τὰ τρία,
οὐκ ὄντος τούτου ὑγιοῦς φημὶ τοῦ ἐγκεφάλου·
εἰ δὲ παρεκταθῶσι μου αἱ τῆς ζωῆς ἡμέραι
καὶ φθάσω ὀγδοηκοστὴ γενέσθαι ἢ καὶ πέρα,
καὶ σαθρωθῶσιν ἅπαντα τὰ μέρη μου καὶ μέλη,
σὺν τοῖς αἰσθητηρίοις μου, δι' ὧν ἐγκαλλωπίζῃ,
οὐδ' οὕτως ἔχεις ὑγιὲς τὸ φρόνημα ἢ σῶον·
οὐδ' ὅτε ὑπὸ πυρετοῦ κατακαίομαι λαύρου,
οὐδ' ὅτε οἴνου κορεσθῶ ἀκράτου, ὡς ὁ Νῶε,
καθόσον καταλύεται ἡ δύναμίς μου τοίνυν,
συγκαταλύεται τοῦ νοῦ ἡ φρόνησις καὶ γνῶσις,
μὴ ἔχων γὰρ τὸ ὄργανον ἰσχυρόν τε καὶ σῶον,
οὐ δύναται τὴν τεχνικὴν ἐνέργειαν που δεῖξαι,
ὅτε γὰρ αὔξω, αὔξεται, καὶ ὅτε λήγω, λήγει,
ἂν γὰρ σαθρὸν τὸ ὄργανον, σαθρὰ ἡ μελῳδία
ἐγὼ ὁρῶ δι' ὀφθαλμῶν, διὰ τοῦ νοῦ δὲ σύ γε,
οὐκ ὄντος τούτου ὑγιοῦς ἀπώλεσας τὰ πάντα,
συνῆκας πάντως, δέσποινα, ὃ πρὸ μικροῦ σοὶ εἶπον,
ὅτι χωρὶς ἐμοῦ αὐτὴ οὐκ εἶ ἀξία φόλης.(;)

Ψυχή. Συνῆκα καὶ νενόηκα ἐξέστην ὅλως ὅλη,
ναί, ἀληθῶς, ὡς εἴρηκας, ὡς εἶπας, οὕτως ἔχει,
θεράπαινα, καὶ τίς ἐστίν, ὁ σὲ διδάξας πάντα,
καὶ πόθεν ταῦτα ἔμαθες καὶ πόθεν ἐσοφίσθης,
εἰπέ μοι τὸν διδάσκαλον καὶ μύστην τούτων πάντων.
Σάρξ. Ἐκπλήττομαι, ἐξίσταμαι, καὶ τί εἰπεῖν οὐκ ἔχω,
πῶς ἐρωτᾷς, ὡς χωρική, ὃ ἀκούων θαμβεῖται,
ἀπὸ κοιλίας γὰρ μητρὸς οὐδέν τι ὅλως οἶδα,
ἐξότου δὲ γεγέννημαι καὶ παρήχθην ἐν βίῳ,
ἀκήκοα τοῦ φάσκοντος ὁ γυρεύων μανθάνει,
καὶ ὁ ζητῶν ἐπιμελῶς εὑρίσκει, ὅπερ θέλει,
διὸ κἀγώ, ὡς γρήγορος, γυρεύω καὶ μανθάνω.
Ἀριστοτέλης, ὁ σοφός, καὶ Ἱπποκράτης ἅμα,
ἐν τῇ καρδίᾳ λέγουσι τὸν νοῦν ἐγκαθιδρύσθαι
ὁ Γαληνὸς οὐχ' οὕτως δέ, ἀλλ' ἐν τῷ ἐγκεφάλῳ,
ὁ Νυσσαεὺς Γρηγόριος οὐ συμφωνεῖ πρὸς τούτοις
ἀλλ' ἀντιλέγει τούτοις γε καὶ ἄλλως ἐκδιδάσκει
φησὶ γὰρ τὸ ἀσώματον ἀπερίγραπτον ἔστιν,
οὐ τοπικαῖς περιγραφαῖς ἡ ἀσώματος φύσις,
σωματικοῖς τισὶν ὁ νοῦς μορίοις οὐ κρατεῖται,
ἀλλὰ δι' ὅλου, δηλαδὴ τοῦ σώματος διήκων
ἐπὶ τῶν ὄντων ὑγιῶν, ὀργάνων καὶ μορίων,
τῶν ἁπάντων τοῦ σώματος ἐνεργεῖ τὸ οἰκεῖον
ἐπὶ δὲ τῶν γε ἀσθενῶν ἀνενέργητος μένει,
καὶ ἀπρακτεῖ τὴν τεχνικὴν κίνησιν τοῦ ποιῆσαι,
ὡς πρὸ μικροῦ σοι ἄνωθεν καὶ ὁ λόγος προέφη,
ὡς γὰρ χαλκεὺς διάφορα κατέχων ἐργαλεῖα
πρὸς ὑπουργίαν τὴν αὐτοῦ καὶ τέχνην τὴν οἰκείαν
καὶ μετ' αὐτῶν ἐργάζεται, ἃ βούλεται καὶ θέλει,
ἀλλ' οὖν ἀναγκαιότερα ἐκ πάντων, ὧν περ ἔχει,
καὶ χρειωδέστερα ψυχὴ ἄκμων ἐστὶ καὶ σφῦρα
χωρὶς γὰρ τούτων οὐδαμῶς ἐργάζεταί τι ὅλως,
οὕτω μοι νόει καὶ τὸν νοῦν, εἴπερ οὐκ ἔχει ταῦτα,
καρδίαν καὶ ἐγκέφαλον ὑγιεινὰ καὶ σῶα,
ταῦτα τὰ δύο μόρια, ἀνενέργητος μένει,
καὶ λέγω σοι, ὦ δέσποινα, τὸ μέγιστον καὶ μεῖζον
αὐτὸ τὸ εἶναι σε ψυχὴν φωτοφανῆ τοιαύτην

καὶ νοερὰν καὶ ἄϋλον καὶ θειοτέραν ἄγαν,
τὸ εἶναι καὶ γενέσθαι σε ἐν ἐμοὶ οὐκ ἐν σοί γε,
εἴληφας τοίνυν τὴν ἀρχὴν ἀλλ' ἐν ἐμοὶ συνέστης,
εἰ μὴ γὰρ ἔκτισμαι ἐγὼ οὐ συνεκτίσθης σύ μοι,
μὴ γὰρ ἰδίως γέγονας κἀγὼ πάλιν ἰδίως,
οὐχί, κυρία μου, οὐχί, τοῦτο μὴ οἴου ὅλως,
ἀλλ' ἐν τῷ ἅμα πλαστουργεῖ ὁ πλαστουργὸς τὰς δύο,
οὔτε γὰρ σῶμα πρὸ ψυχῆς, οὔτ' αὖ ψυχὴ πρὸ τούτου,
ὑφέστηκεν ἢ πέφυκεν, ὡς οἱ πολλοὶ δοκοῦσιν,
ἀλλὰ τὰ δύο ἐν ταὐτῷ τοῦ πρωτοπλάστου δίχα,
οὐ πρωτερεύει γὰρ τὸ ἓν τοῦ ἑτέρου, ὡς εἶπον,
ὁμόχρονος, ὁμῆλιξ μου, τυγχάνεις κατὰ πάντα
οὔτε ἀσώματος ψυχή, οὔτε ἄψυχον σῶμα,
οὐ γέγονεν, οὐ πέφυκεν ἀρχῆθεν ὅλως, νόει,
ἀλλ' ἐξ ἐμψύχων, ἔμψυχον, ἐκ ζώντων αὖθις ζῶν τε,
τὸ σῶμα ζῶν καὶ ἔμψυχον ἀπογεννᾶται τοίνυν
ὁ ἄνθρωπος ὡς δέδεικται τὸ ἐπίκηρον ζῷον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ψυχή. Δυσέφικτόν πως τὸ λεχθὲν κατὰ πολὺ τυγχάνει,
παράδοξος ὁ σύνδεσμος τῶν ἀμφοτέρων πέλει,
καὶ φράσον μοι θεράπαινα τὴν δύναμιν τοῦ λόγου
ἐπεὶ ὁ κτίστης ἔκτισε τὰς ἀμφοτέρας ἅμα,
συνέζευξε καὶ ἥνωσεν, ὡς εἴρηκας, ὦ δούλη,
πῶς οὖν ἀθρόως ἐξ ἐμοῦ ἀποδιδράσκεις, βρῶμε,
καὶ διαρρέεις παρευθὺ καὶ γίνη χοῦς καὶ κόνις,
ἐγὼ δ' οὐ καταλύομαι ἀλλ' ἀειζωὸς μένω,
καὐτὴ οὐκ εἶ χωρὶς ἐμοῦ, ἐγὼ δ' εἰμὶ σοῦ ἄτερ,
τὸ ζῆν οὐκ ἔχεις ἄνευ μοῦ, ἐγὼ δὲ ζῶ σοῦ δίχα'
Σάρξ. Καὶ σύνες ὧδε, δέσποινα, τοῦ συνδέσμου τὸ ξένον
ἐκ τῆς Γραφῆς ἃ ἔμαθον, ἐκεῖνα σοι καὶ λέξω,
τὸ ἔκ τινος κινούμενον πᾶν εἴτι οὖν καὶ ἔστι,
καὶ οὐκ ἐξ αὐτοῦ αὐτὸ τὸ ζωτικὸν δὴ ἔχει,
ἀλλ' ἐξ ἑτέρου δηλαδὴ τοῦ καὶ κινοῦντος τοῦτο.
ἐπὶ τοσοῦτον πέφυκε καὶ διαζῇ καὶ μένει,
ἄχρις ἂν τῆς δυνάμεως τῆς ἐνεργούσης λέγω

τούτῳ συνομαρτούσης γε ταύτῃ διακρατεῖται,
ἐπὰν δὲ παύσηται λοιπὸν τὸ ἐνεργοῦν αὐτίκα
ἐκλείπει τὸ κινούμενον οὐκ ὄντος τοῦ κινοῦντος
σὺ δὲ αὐτή, κυρία μου, αὐτοκίνητος οὖσα,
τὸ εἶναι ἔχεις ἀληκτὸν οὐδέποτε ἐκλείπεις,
ἀκολουθεῖ γὰρ ἐνταυτῷ τῷ γε αὐτοκινήτῳ,
τὸ ἀεικίνητον ὁμοῦ πάντοτε πεφυκέναι,
τὸ δ' αὖθις ἀεικίνητον καὶ ἄπαυστον τυγχάνει
τὸ δέ γε ἀτελεύτητον καὶ ἄφθαρτον ὁμοίως,
τὸ ἄφθορον, ἀθάνατον, ἀείζωον εἰς ἅπαν·
ἐγὼ φθαρτὴ δὲ καὶ ῥευστή, θνητή τε ὕλη πέλω.
ἀλλὰ ζωοῦμαι παρὰ σοῦ καὶ κινοῦμαι, κυρία,
ἐπαν' δὲ καταλίπῃς με οὐκέτι διαμένω,
οὔτε κινοῦμαι οὔτε ζῶ οὔτε εἰμί, σοῦ ἄτερ,
ἀλλὰ λοιπὸν ἀπέρχομαι εἰς τὰ ἐξ ὧν συνέστην,
καὶ ἄνευ σοῦ οὐδὲν εἰμί, ἀλλ' ἡ δυσώδης βρῶμος.
Ψυχή. Καὶ πῶς ἐγὼ ὢν ἔνδοξος ἀδόξῳ συνεκτίσθην,
καὶ οὐκ ἐκτίσθην πρότερον ὡς μείζων καὶ μεγίστη,
σὺ δ' ὡς ἐλάττων ὕστερον ἐπλάσθης, ὦ παιδίσκη,
καὶ πῶς καὶ τὸ ἀθάνατον τῷ θνητῷ συνεζεύχθη.
Σάρξ. Θέλεις μαθεῖν, ὃ ἐρωτᾷς, πρόσχες καὶ εἴσῃ ὧδε·
ὁ κόσμος διὰ τὴν ψυχὴν ἐκτίσθη ἅπας οὗτος,
οὐχ ἡ ψυχή, παμφίλτατε, ἐκτίσθη διὰ τοῦτον,
καὶ εἴωθε τὸ ἔλαττον πρῶτον ποιεῖν ὁ κτίστης,
τὸ κρεῖττον ἐπ' ἐσχάτων δέ, οὕτω γὰρ ἐστὶ πρέπον,
τιμιωτέρα δὲ ἐπὰν ἡ ψυχή, ὦ φιλότης,
παντὸς τοῦ κόσμου πέφυκεν, ὡς ὁ Χριστὸς εἰρήκει,
ἔδει τὸ οἰκητήριον ταύτης πρῶτον γενέσθαι,
καὶ ἐνδιαίτημα τὸ πᾶν καὶ εἶθ' οὕτως αὐτή γε,
καὶ δύο κόσμους ἔκτισε τὸν ἄνω καὶ τὸν κάτω,
τὸν ἄνω τοίνυν νοητόν, τὸν κάτω αἰσθητόν τε.
καὶ τοὺς Ἀγγέλους ἔκτισεν εἰς τὸν ἐπάνω κόσμον,
ἀΰλους δὲ καὶ νοεροὺς καὶ πνεύματα, πῦρ φλέγον,
εἰς δὲ τὸν κάτω αὖθις δὲ, τὰ διάφορα ζῶα,
χερσαῖα δὴ καὶ ἔνυδρα καὶ πετεινὰ ὡσαύτως,
καὶ γὰρ πρεπόντως ἔκτισε καὶ ἁρμοζόντως πάντα,
εἰς νοητὸν τὰ νοητά, Ἀγγέλους λέγω πάντας,

εἰς δὲ τὸν κάτω αἰσθητά, ὡς αἰσθητὸν καὶ τοῦτον,
ἅπαντα τὰ ὁρώμενα καὶ φαινόμενα ταῦτα,
τὰ πάντα ἐκ μοναδικῆς οὐσίας κατειργάκει,
ἀπὸ σωμάτων μὲν τὰ μέν, τὰ δὲ ἐξ ἀσωμάτων,
τοῦ ἄνω κόσμου ἅπαντα ἀσώματά μοι νόει.
καὶ νοερὰ καὶ ἄϋλα, ἀόρατα διόλου,
τοῦ κάτω πάντα σώματα αἰσθητὰ καὶ ὑλώδη,
καὶ οὔτε ἄνω σώματα οὔτ' ἀσώματα κάτω
μόνος ὁ ἄνθρωπος αὐτῆς ἀπὸ διπλῆς οὐσίας,
συνέστηκε καὶ φύσεως ἐξ ἀσωμάτου λέγω,
καὶ σώματος, κυρία μου, τοῦ ἄνω καὶ τοῦ κάτω,
τὸ σῶμα ἐκ τοῦ κάτω γε τοῦ ἄνω ἡ ψυχὴ δέ,
τὸ κρεῖττον ἐκ τοῦ ἄνωθεν, τὸ μεῖον ἐκ τοῦ κάτω,
οὐράνιον καὶ γήϊνον ζῶον μικτόν, κυρία,
ἐγκαταμίξας τὴν ψυχὴν τὴν θείαν τῷ γηΐνῳ
καὶ μέσον τοῦτον τέθεικεν ἐμψύχων καὶ ἀψύχων
καὶ αἰσθητῶν καὶ νοητῶν οἷα τινα εἰκόνα,
ἵνα οἰκείως πρὸς αὐτοὺς τοὺς δύο λέγω κόσμους,
ὡς συγγενῶς ἀπόλαυσιν τὴν ἑκατέραν ἔχῃ
τοῦ μὲν θεοῦ διὰ ψυχῆς, ὡς οὔσης θειοτέρας,
τῶν δ' ἀγαθῶν τῶν ἐν τῇ γῇ διὰ σαρκὸς πηλίνης,
τοῦ φέρειν τούτων ἀδεῶς τὴν χρείαν ὥσπερ φόρον,
ἡ φύσις δὲ ἡ νοητὴ ὡσαύτως τῶν ἀγγέλων,
φυλάσσεται καὶ κήδεται τούτου τῆς σωτηρίας
ὁ θεῖος γὰρ ἀπόστολος τοῦτό με ἐκδιδάσκει,
οὐχὶ πάντες πεφύκασι πνεύματα λειτουργίας,
ἀποστελλόμενα, φησίν, εἰς τὰς διακονίας,
διὰ τοὺς μέλλοντας, ὡς δεῖ, κληροῦσθαι σωτηρίαν
ὡσαύτως καὶ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις,
μὴ δὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων,
ὅτι οἱ Ἄγγελοι αὐτῶν ὁρῶσι καθημέραν
τοῦ οὐρανίου μου Πατρὸς τὸ πρόσωπον, ὡς θέμις,
διὸ καὶ πρῶτον ἔκτισε τὸν κόσμον καὶ τὰ τούτου
ἐν μέσῳ πάντα, δηλαδὴ οἷα ὁρᾷς καὶ ὅσα.
ὁ κόσμος ἔχει τέσσαρα στοιχεῖα τὰ μεγάλα,
ἃ ἐξ ἀρχῆς παρήγαγεν ὁ κτίστης τῶν ἁπάντων.
ἐκ τοῦ μὴ ὄντος πρότερον εἰς τὸ εἶναι συστήσας,

ἀέρα λέγω καὶ τὸ πῦρ, τὴν γῆν, πρὸς δὲ τὸ ὕδωρ,
τὰ δ' ἄλλα πάντα, δέσποινα, τὰ ἐν τῷ μέσῳ τούτων,
οἷα καὶ ὅσα πέφυκε μικρά, μεγάλα πάντες,
θηρία, κτήνη, ἑρπετά, καὶ τῶν φυτῶν τὰ γένη,
καὶ τῶν σπερμάτων πάντων τε καὶ τὰς βοτάνας πάσας,
τὰς ἀφορμὰς οὖν ἔλαβεν ἐκ τούτων τῶν τεσσάρων
καὶ ὡς σοφὸς δημιουργὸς δημιουργεῖ τὰ πάντα,
οὐκ ἐξ οὐκ ὄντων, ἄπαγε, καθώσπερ τὰ στοιχεῖα,
καὶ ὅταν συνετέλεσε τὸν κόσμον ὅλον τοῦτον,
καὶ βασιλεύειν εἰς αὐτὸν ὡς βούλεται καὶ θέλει,
οὐδὲ γὰρ ἦν τὸν ἄρχοντα εἰκὸς ἀναφανῆναι
τῶν ἀρχομένων πρότερον ἀλλ' ἐπ' ἐσχάτων δέγε,
ἑτοιμασθείσης πρότερον τῆς ἀρχῆς δηλονότι,
ἀναδειχθῆναι δ' ὕστερον τὸν βασιλέα τούτων,
καθώσπερ τοίνυν ἀγαθός τις πέλων ἑστιάτωρ,
οὐ γὰρ πρὸ τῆς παρασκευῆς τῶν ἐδωδίμων πάντων
τὸν ἑστιώμενον αὐτοῦ εἰσοικίζεται ἔνδον,
ἀλλ' εὐτρεπὲς τὸ ἄριστον κατασκευάσας ἅπαν,
ἐφέστιον, μετέπειτα ποιεῖ τὸν δαιτυμόνα,
ἀλλά καὶ πόαν πρότερον καὶ ὕστερον τὰ κτήνη
λοιπόν, ἐπείπερ γέγονεν, ὡς καὶ προεῖπον ἄνω,
ἡ κτίσις διὰ τὴν ψυχὴν οὕτω δὴ καὶ τὸ σῶμα,
πρὸς ὑπουργίαν δέδοται καὶ λειτουργίαν ταύτης,
ὡς δ' οἱ πατέρες λέγουσιν οἱ διδάσκαλοι πάντες,
τὸ διατὶ γινόμενον πᾶν, εἴτι οὖν καὶ ἔστι,
πέφυκεν ἀτιμότερον τοῦ δι' ὃ γίνεταί τε,
καθὼς διδάσκει καὶ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις,
πλεῖον οὖν ἔστι τῆς τροφῆς ἡ ψυχή· καὶ εἰκότως
καὶ αὖθις τοῦ ἐνδύματος τὸ σῶμα κρεῖττον ἔστι
οὐ γέγονε γὰρ ἡ ψυχὴ διὰ τὴν βρῶσιν, φίλη,
οὐδὲ τὸ σῶμα αὖθις γε τοῦ ἐνδύματος χάριν
ἀλλὰ μὴν τὰ ἀμφότερα διὰ ψυχὴν καὶ σῶμα
οὐκοῦν, ὡς ἀποδέδεικται διὰ ταύτην, καὶ τοῦτο
φημὶ τὸ σῶμα ὄχημα τῆς ψυχῆς ἀπαρτίζει,
ἀλλ' ἄκουσόν μου δέσποινα καὶ σύνες, ὅπερ λέγω,
ἐπεὶ διπλοῦν ἠθέλησε κατασκευάσαι τοῦτον
ἀπὸ ψυχῆς καὶ σώματος, πρῶτον τὸ σῶμα πλάττει.

ἐκ τῶν τεσσάρων, φίλτατε, στοιχείων τῶν τοῦ κόσμου
θερμοῦ, ψυχροῦ, τε καὶ ξηροῦ καὶ ὑγροῦ τῶν μεγάλων,
ἀέρος λέγω, καὶ πυρὸς καὶ γῆς καὶ τῶν ὑδάτων,
καὶ αἷμα, φλέγμα, καὶ χυμὸν καὶ χολὴν ἀπαρτίζει,
καὶ ἐξ αὐτῶν τὴν ἀφορμήν, ὡς τεχνίτης λαμβάνει,
καὶ σάρκα κατεσκεύασε πρὸς ὑπουργίαν ταύτης,
τὴν δὲ ψυχὴν μετέπειτα ἐνέπνευσεν, ὡς οἶδεν,
καὶ ὅθεν οἶδεν ὁ αὐτὸς καὶ οἵαν οἶδε μόνος,
οὐκ ἐκ στοιχείων ἔχουσαν τὴν ὕπαρξιν, ὡς τἆλλα,
ἀλλ' ἐκ Θεοῦ, ὡς ἔφημεν, καὶ τοῦ ὕπερθεν κόσμου,
ἄϋλον ὅλην, νοεράν, καὶ ἀθάνατον ταύτην,
μετέχουσαν τῆς ἄνωθεν Ἀγγέλων εὐγενείας
καὶ πρὸς ἐκείνην ὁλικῶς ἀεὶ ἐπειγομένην,
ἣ καὶ τῷ χείρονι ἐμοὶ δεθεῖσα σωματίῳ,
ὡς δι' ἀγῶνος πάλης τε τῆς πρὸς τοὺς ἐναντίους,
τῆς ἄνω δόξης καὶ τρυφῆς κληρονομήσει πάντως,
καὶ ἆθλον ἔχει ἀρετῆς τοὺς ἀγῶνας καὶ πόνος
καὶ μὴ τὰ ἐλπιζόμενα μόνον ἢ Θεοῦ δῶρον,
ὡσὰν δὲ καὶ τὸ χεῖρον πως πρὸς ἑαυτὴν ἑλκύσῃ,
καὶ ἄνω θείῃ λύσασα κατὰ μικρὸν καὶ τοῦτο
τοῦ βάρους, τῆς παχύτητος, σκῆνος τὸ καὶ γεῶδες,
παιδαγωγήσει δὲ καλῶς τὴν ὑπηρέτιν ὅλην,
καὶ οἰκειώσει τῷ Θεῷ τὸ ὁμόδουλον ταύτης
τήν δε σάρκα ὑλικήν, καὶ ἐκ τοῦ κάτω κόσμου
τὴν μὲν ψυχήν, ὡς δέσποινα, τὴν σάρκα δ' αὖ ὡς δούλην,
πρὸς ὑπουργίαν τῆς ψυχῆς καὶ λειτουργίαν ταύτης,
ἰδού, κυρία, εἶπόν σοι, πῶς οὐκ ἐκτίσθης πρῶτον,
ὡς ἅτε ἔνδοξος ἰδοὺ καὶ λίαν ὑπερτάτη,
καὶ πῶς οὖσα ἀθάνατος τῷ θνητῷ συνεζεύχθης.

Ψυχή. Πιστὸς ὁ λόγος πέφυκε καὶ πάντα δέχομαί σου,
τὰ πάντα σου πεπίστευκα πλὴν ἑνὸς μόνου τούτου,
ἐξ ὧν ἀρτίως εἴρηκας ψευδής μοι φαίνῃ δούλη,
πρὸ γὰρ μικροῦ ἐδίδαξας σύμφυτα μὲν τὰ δύο
καὶ ἄρτι εἶπας πρότερον γεγενῆσθαι τὴν σάρκα

Σάρξ. Καὶ ἄκουσόν μου, φίλτατε, καὶ πῶς ἐστὶν ὃ λέγω,
καὶ ὥσπερ οὐ διέψευσμαι εἰς τ' ἄλλα οὐδ' εἰς τοῦτο
τῶν προπατόρων, φίλτατε, τοῦ Ἀδὰμ καὶ τῆς Εὔας,

θεότευκτα, θεόπλαστα, τὰ σώματα τὰ τούτων,
ἄνευ σπορᾶς ἐπλάσθησαν καὶ δίχα συνουσίας,
τοῦ μὲν ἀνδρὸς ἐκ τοῦ χοὸς τῆς γυναικὸς δ' ἐκ τούτου
πλευρᾶς ἀνῳκοδόμητο, σύνες τὸ ῥῆμα ὧδε,
ἀκίνητον καὶ ἄψυχον τοῦ Ἀδὰμ τὸ σαρκίον,
καὶ πρῶτον πεπλαστούργηται καὶ ὕστερον ψυχοῦται,
ἐπεὶ δὲ οὐκ ἐφύλαξαν τὴν ἐντολὴν τοῦ Πλάστου,
ἐξ ἐπηρείας ὄφεως καὶ φθόνῳ διαβόλου,
ἀπώλεσαν τὴν ἐξ ἀρχῆς διάπλασιν ἐκείνην
καὶ ταύτην ἐνεδύσαντο τὴν δερματίνην φεῦ μοι !
θνητήν, φθαρτήν τε καὶ ῥευστὴν καὶ πλήρη δυσωδίας,
διὸ καὶ ἐξῳκίσθησαν ἀπὸ τοῦ παραδείσου,
καὶ τὴν κατάραν δέχονται ὡς ἅτε παραβάται,
ἡ μέν τοι Εὔα ἤκουσεν ἐν λύπαις τέξειν τέκ α,
τὸ δὲ τικτόμενον λοιπὸν ἐν μήτρᾳ πάντως ἔστι,
τὸ δ' ἐν αὐτῇ φυόμενον ἄνευ σπορᾶς οὐκ ἔστιν,
ἰδοὺ σπορὰ καὶ σύλληψις ἔκτοτε καὶ εἰς δεῦρο
καὶ συνουσία μυσαρὰ πρὸς τὸ γεννᾶσθαι λέγω,
ἐψυχωμένα σώματα ἀρσενά τε καὶ θήλη,
ὁ δὲ Ἀδὰμ ὢν ἔμψυχος, ἔμψυχον σπείρας σπέρμα
ἐν τῇ μήτρᾳ τῆς προμήτορος αὐτῆς ἐψυχωμένης,
τὸν Κάϊν ἀπεγέννησεν ἐψυχωμένον ὅλον,
καὶ γὰρ ἡ σὰρξ σὺν τῇ ψυχῇ ὁμοῦ περ ἐγεννήθη,
ὁμοίως γοῦν οἱ καθεξῆς ἄνθρωποι καὶ εἰς δεῦρο
ἐψυχωμένος ἄνθρωπος ἔμψυχον σπείρει σπέρμα,
ἐν μήτρᾳ πάντως γυναικός, ὡς πρὸ ὀλίγου ἔφην,
καὶ αὔξονται ἀμφότερα καὶ πληθύνονται ταῦτα,
εἰς γενεὰς καὶ γενεὰς ἄχρι τῆς συντελείας.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ψυχή. Λέλυκας τὸ ἀμφίβολον, οὐκέτι ἐνδοιάζω,
ἀλλά με δίδαξον λοιπόν, θεράπαινα, καὶ τοῦτο,
ἐπείπερ ὡς ἀπέδειξας τὴν μὲν ψυχὴν κυρίαν
τὴν σάρκα τὴν θεράπαιναν καὶ ὑπὸ χεῖρα ταύτης,
τὸ γεγονὸς παράπτωμα τῶν πρωτοπλάστων, λέγω,
ὅπερ κακῶς διέπραξαν ποτὲ ἐν παραδείσῳ

ἄρα καὶ τίς ὁ αἴτιος ἐπὶ τούτῳ τῷ τότε,
τὸ λογικὸν τὸ τῆς ψυχῆς ἢ τὸ ἄλογον σῶμα,
ἤθελον μὲν τοῦτο μαθεῖν τῷ, οἷος ὁ προπταίσας.
Σάρξ. Τὸ ζήτημά σου, δέσποινα, ὑπὲρ ἐμὲ τυγχάνει,
δυσέφικτον, δυσνόητον, ἀκατάληπτον πάντη,
ἀλλ' ὅμως ἀπὸ τῆς Γραφῆς πεῖραν μικρὰν ὡς σχοῦσαν,
ἃ ἔμαθον ἐκεῖνα σοι ἀναγγελῶ, κυρία,
καὶ ἄκουσον, φιλτάτη μου, ἐξ ὧν ζητεῖς ὀλίγα·
ἡ λογικὴ αὕτη ψυχὴ παρὰ θεοῦ ἀρχῆθεν
ὡπλίσθη ὅπλοις δυνατοῖς πρὸς βοήθειαν ταύτης,
καὶ ἄμυναν τοῦ πονηροῦ καὶ καθαίρεσιν τούτου,
δυοῖν τούτοιν, τῷ θυμικῷ, ἐπιθυμητικῷ τε,
καὶ ταῦτα ἅπερ ὥπλιστο εἰς βοήθειαν ταύτης
κακῶς ἐχρήσατο αὐτοῖς ἐν ἐκείνῃ τῇ ὥρᾳ,
ὁπόταν ὁ ἀντίδικος δι' ὄφεως ἐλάλει
τὰ τῆς ἀπάτης ῥήματα καὶ δόλου πεπλησμένα,
θεοὶ γενήσεσθέ, φησιν, εἰ φάγετε τοῦ ξύλου·
ἀκούσασα γὰρ ἡ ψυχὴ τὴν θέωσιν, ἡδύνθη·
καὶ δὴ κακῶς διέκρινε διὰ τοῦ λογικοῦ γε
καὶ ὡς καλὸν ἡ θέωσις λογίζεται αὐτίκα,
ὡσαύτως καὶ τὸ ἕτερον ἐπιθυμητικόν τε,
παρατραπὲν καὶ τοῦτο γε, ἐπιθυμεῖ τοῦ ξύλου,
ἡ ἡδονὴ ἐν πρώτοις μὲν καὶ αὖ κενοδοξία,
ἡ μὲν γὰρ ἔδειξεν αὐτῇ τὸ ξύλον ὡς καλόν γε
καὶ ὡραιότατον τοὐτὶ εἰς βρῶσιν ἔσται φίλη
ἡ δὲ τὴν θέωσιν αὐτὴν ὡς οὖσαν κρείττω πάντων.
τὰ δύο ταῦτα, δέσποινα, ἐπλάνησαν τὴν Εὔαν
καὶ τὸν Ἀδὰμ ἠπάτησαν ὁμοίως ὡς κἀκείνην,
καὶ γλυκανθεῖσα, φεῦ, κακῶς ἐπὶ τῇ κρίσει τούτων
προέδωκε τὸ ἀληθὲς ἀπατηθεῖσα, οἴμοι,
ἀλλ' οὖν γε καὶ τὸ ἕτερον τὸ θυμικόν, φημί δη,
πρεπόντως οὐκ ἐχρήσατο ἀλλ' ἄγαν ἐσφαλμένως,
οὐ γὰρ ὠργίσθη τῷ ἐχθρῷ καὶ ἀνδρείως ἀντέστη,
τοῦ μὴ πεισθῆναι τοῖς αὐτοῦ καὶ ὑπακοῦσαι λόγοις,
ἀλλ' ηὐτομόλησεν εὐθὺς πρὸς τὸ θέλημα τούτου,
τῶν ἀκουσθέντων δηλαδὴ χαρὰ καὶ προσδοκία,
ἅπερ αὐτῆς ἐτύφλωσαν, ψυχή, φημὶ τὸ ὄμμα,

καὶ τῇ ἐλπίδι πέπτωκε τῆς θεώσεως ἄφνω.
καὶ βέβρωκεν, ὃ βέβρωκεν, εἴτι καὶ ἦν τὸ ξύλον,
ἐνταῦθα πρόσχες, δέσποινα, καὶ ἴδε πάθος μέγα,
ὀλέθριον, καὶ χαλεπόν, καὶ δύναμιν ἣν ἔχει,
ἐν οὐρανῷ πῶς ἴσχυσε, φρίξον, κυρία, φρίξον·
ἐκεῖθεν γὰρ κατέρραξε τόν ποτε ἑωσφόρον,
κενοδοξίαν γὰρ φημὶ τὴν γεννήτριαν, φεῦ μοι,
καὶ τιθηνόν, ὡς γέγραπται, τῆς ὑπερηφανίας,
δι' ἧς ἐκεῖνος ἔπεσεν, ἐχλεύασε κἀκείνους,
καὶ σκόπει ὧδε δέσποινα, τὸ σκολιὸν τοῦ πάθους
πῶς τὸν Θεὸν ἀντίμαχον ἔχει ὁ ταύτης δοῦλος
τὸν δὲ ἀντάρτην καὶ σκαιὸν συμμέτοχον καὶ φίλον,
ἐπείπερ ἀντιτάσσεται Θεὸς ὑπερηφάνοις
ὡς καὶ τὸν πρώτιστον αὐτὸν ἀντετάξατο θᾶττον,
Ψυχή. Ἰδοὺ λοιπόν, ὡς εἴρηκας, τὸ σῶμα ἠδικήθη
ἐπὰν τὸ πταῖσμα τῆς ψυχῆς, πῶς ἡ ποινὴ εἰς σῶμα.
τοῦτο γὰρ γέγονε ρευστὸν καὶ παθητὸν αὐτίκα,
φθαρτόν, θνητόν τε, ὡς ὁρᾷς, ηὐτελισμένον ἄγαν,
πολυπαθές τε καὶ σαθρὸν καὶ πολύαλγον μάλα·
ἡ δὲ ψυχὴ διέμεινεν οἷα καὶ ἦν πρὸ τούτου,
ἄϋλος, ὅλη νοερά, καὶ ἀθάνατον πάλιν,
οὐδὲν γὰρ πέπονθεν δεινόν, ὡς ἀξία θανάτου
Σάρξ. Καὶ ἄκουσόν μου, δέσποινα, καὶ σύνες τὰ συμβάντα
ἡ τιμωρία, κάλλιστε, ὡς ἔοικεν ἡ πᾶσα,
οὐχ ἥψατο τοῦ σώματος ἀλλὰ ψυχῆς αὐτῆς γε,
εἰ τάχα φαίνεται αὐτὴ μηδὲν κακὸν παθοῦσα,
καὶ λέξω σοι παράδειγμα κἀκ τούτου πιστωθήσῃ
ὡς ὅταν γάρ τις βασιλεὺς ἀγαθὸς ἕξει δοῦλον,
ἐξ ἀπηνοῦς καὶ σκολιοῦ καὶ πονηροῦ δεσπότου,
πτωχούτζικον, γυμνούτζικον, κατηυτελισμένον,
οἰκτρότατον, ταλαίπωρον, ἀχρεῖον τε διόλου,
ὁλόλεπρον, ὁλόψωρον, καὶ τεταριχευμένον,
ἔκ τε μαστίγων καὶ λιμοῦ καὶ τῆς κακοπαθείας,
καὶ ἐκκαθάρει τὸν αὐτὸν ἀπὸ πάσης ῥυτίδος
ἐνδύσει τοῦτον ἀνθηρὰν καὶ μαλακὴν ἐσθῆτα,
ποιήσῃ δὲ καὶ ἄρχοντα περιφανῆ καὶ μέγαν,
δωρήσεται καὶ χρήματα καὶ κτήματα καὶ πλοῦτον,

καὶ πρῶτον καταστάσειεν ἐπὶ τοῦ παλατίου
ἐκεῖνος δὲ ὁ κάκιστος καὶ ἀχάριστος δοῦλος
θᾶττον ἐπάρῃ πτερνισμὸν κατὰ τοῦ βασιλέως
εἰς βασιλείαν τὴν αὐτοῦ ἐπιβῆναι θελήσας
ὁ δ' ἄναξ ἄρῃ, τούτου γε τὰ χρήματα καὶ πλοῦτον,
ἐκδύσει καὶ τὰ ἄμφια, τὴν ζώνην τε καὶ πάντα
τὰ ἀνθηρὰ ἐνδύματα τὸν ἄθλιον ἐκεῖνον,
καὶ ῥάκιον παμπάλαιον, διερρηγμένον ὅλον,
ηὐτελισμένον, ἄχρηστον, διεφθαρμένον πάντῃ,
ἐν δύσει τὸν ἐπίβουλον καὶ ἔχθιστον ἐκεῖνον
καὶ ἐξορίσει πόρρωθεν τοῦτον τοῦ παλατίου
εἰς ἔρημον, εἰς δύσβατον καὶ ἀοίκητον τόπον,
τοῦ εἶναι τοῦτον εἰς αὐτὸν ἄχρι ζωῆς τοῦ τέλους,
ἐν μετανοίᾳ καὶ κλαυθμῷ καὶ ταπεινοφροσύνῃ
ἢ ἐν ὀργῇ καὶ ἐν θυμῷ καὶ ἄκρᾳ βλασφημίᾳ
καὶ διαρκέσει τὸν αὐτὸν τὸ ῥάκιον ἐκεῖνο,
εἴτε ἑπτὰ εἴτε ὀκτὼ ἢ καὶ ἐννέα ἔτη,
καὶ οὕτως μὲν διαρρυὲν οἰχήσεται εἰς ἅπαν,
ἔκτοτε δὲ περιπατεῖ γυμνὸς ὡς ἐγεννήθη,
ἄχρι τοῦ τέλους ἡ ζωὴ καταλυθῇ βιαίως
ἕως ἂν ὁ βασιλεὺς ὁ εὐεργέτης τούτου,
ἐλέους ἀξιώσειεν χάριν εὐγνωμοσύνης,
ἢ τοῦτον θανατώσειεν διὰ τῆς βλασφημίας ;
ἐρῶ σοι, πανυπέρτατε, ποῦ τὰ τῆς τιμωρίας
καὶ τίς εὐθύνας ἔδωκεν ἐπ' ἐκεῖνο τὸ πταῖσμα,
ἆρ οὖν ὁ δοῦλος ὁ σκαιός, ὡς ὑπεύθυνος πέλων,
ὁ γυμνωθεὶς καὶ στερηθεὶς καὶ τοῦ πλούτου καὶ δόξης,
ὡς αὐτεξούσιός γε ὢν καὶ λογικὸς τυγχάνων,
ἢ τάγε χρήματα αὐτὰ καὶ ὁ πλοῦτος ἐκείνου
ἡ ἄψυχος, ἀκίνητος, καὶ ἀναίσθητος ὕλη,
Ψυχή. Ὡς ἀπεφάνθη, δούλη μου, ὁ ἄνθρωπος τὸ ὅλον,
εἰ τάχα τοῦτον οὐδαμῶς ὁ βασιλεὺς τῷ τότε
οὐκ ἐμαστίγωσε ποσῶς· οὐτ' οὖν ποινὴν προῆψεν.
ἀλλ' οὗτος ἐστὶν ὁ παθὼν τὴν δεινὴν τιμωρίαν.
Σάρξ. Ἐρῶ σοι ἀποκρίθητι, κυρία μου, πρὸς τοῦτο,
τοῦ μέλλοντος ἡ κρίσις γε δικαία ἢ οὐχ οὕτως,
ὅτι ἐξέωσεν αὐτὸν τῶν ἀνακτόρων θᾶττον ;

Ψυχή. Οὐχί, θεράπαινα, οὐχὶ ἀλλὰ δικαία πάνω,
εἰ καὶ γὰρ ἦν χρηστότατος ὁ βασιλεὺς καὶ πρᾶος,
τοὺς ὀφθαλμοὺς ἐξώρυξεν ἐξ αὐτῆς ἂν τοὺς τούτου,
καὶ οὐκ εἰς χρήματα αὐτὰ κατέληξε τὸν χόλον
καὶ τὴν ποινὴν κεχάριστο τῷ ἐπιβούλῳ δούλῳ.
Σάρξ. Καλῶς ἀπελογήσω μοι, κυρία μου, πρὸς τοῦτο
οὕτω μοι νόει, φίλτατε, καὶ εἰς ψυχὴν καὶ σῶμα,
ἐπείπερ οὐκ ἠθέλησε μένειν καθὼς ἐκτίσθη
καὶ εἴσω ὅρων τῶν αὐτῆς οὐκ ἠνείχετο εἶναι
καὶ κόσμον τόνδε, ὃν ὁρᾷς, ἔχειν εἰς κλῆρον ταύτης
καίγε τὴν θέωσιν αὐτὴν ἠβουλήθη ἁρπάσαι
ἰσόθεος, ἰσότιμος, κατ' ἐκεῖνον γενέσθαι
καὶ οἷος ὁ δημιουργὸς καὶ τὸ πλάσμα τοιοῦτον
δικαίαν οὖν καὶ ὁ θεὸς ἐξήνεγκε τὴν ψῆφον
καὶ σῶμα τὸ θεόπλαστον, ὃ ἐξ ἀρχῆς, ἐκείνην
ἐνέδυσε τὸ θαυμαστὸν καὶ κεχαριτωμένον,
ἐξέδυσεν ὡς πταίσασαν μήπως καὶ πάλιν πταίσῃ
εἰ δέ γε θέλεις τοῦ μαθεῖν τὴν φύσιν καὶ τὸ κάλλος,
ἐκείνου μὲν τοῦ σώματος τό, οἷον καὶ πηλίκον,
τοῖς ἄστροις ἁμιλλώμενον ὡς δὲ καὶ τῇ σελήνῃ,
ὅτι γυμνὸν οὐκ ἔχρηζεν ἐσθῆτος τε καὶ σκέπης,
ἀλλ' ὡς ὁ ἥλιος αὐτὸς τῇ ἑαυτοῦ γυμνώσει,
ἐγκαλλωπίζεται νυνί, οὕτω δὴ κ' ἐκεῖνο,
ἠρείθη γὰρ τῇ φυσικῇ εὐπρεπείᾳ κοσμεῖσθαι
καὶ ὡραΐζεσθαι φαιδρῶς τῇ αἴγλῃ τῇ ἐμφύτῳ,
τοῦτο ἐξέδυσεν αὐτὴν καὶ ἐνέδυσεν αὖθις
ἐκ τῆς ἀλόγου φύσεως τὸ παχύ, φεῦ μοι, δέρμα,
τὸ βδελυκτὸν καὶ μιαρὸν καὶ βέβηλον τοῦτό γε
πλὴν οὐκ ἠλλοίωσεν αὐτὸ τῆς χοϊκῆς οὐσίας,
ἀλλὰ μετήμειψεν αὐτοῦ τὴν φύσιν τὴν ἀρχῆθεν
καὶ τῆς Ἐδὲμ ἐξέωσεν αὐτὴν τὸ παραυτίκα,
καὶ διεκώλυσεν αὐτὴν μεταλαβεῖν τοῦ ξύλου
καὶ τοῦ καρποῦ τοῦ τῆς ζωῆς σπλαγχνιζόμενος πάντως·
οὐ γὰρ φθονῶν, μὴ γένοιτο, ζωῆς τῆς ἀθανάτου
ἀλλὰ ἐπέχων κάλλιστα δρόμον τῆς ἁμαρτίας
ὁ γάρ τοι θάνατος αὐτὸς οὐ τιμωρία πέλει,
ἀλλ' ἰατρεία, βέλτιστε, καὶ σωτηρία μᾶλλον,

οἰκονομία, δέσποινα, σοφίας πεπλησμένη·
ἐπέχει γὰρ ὡς τὰ πολλὰ ῥύμην τῆς ἁμαρτίας,
ὁ γὰρ ἀποθανών, φησί, δεδικαίωται ταύτης,
λοιπὸν δουλεύει τῇ ψυχῇ τὸ σωμάτιον τοῦτο
ἢ δέκα ἢ καὶ εἴκοσι ἢ πεντήκοντα ἔτη,
ἢ τὸ πολὺ αὖθις δὶς τὸ πεντηκοντάκις φαίην,
καὶ οὕτω καταλύεται καὶ διαφθείρεταί τε
καὶ εἰς τὰ τέσσαρα αὐτὰ ἀπέρχεται στοιχεῖα,
ἐξ ὧν τὴν σύστασιν ποτὲ παρὰ Θεοῦ καὶ ἔσχεν,
ὡς ἐκ τῆς γῆς αὖθις εἰς γῆν κατὰ τὸ ῥῆμα τοῦτο
αὐτὴ δέ, ὦ κυρία μου, γυμνὴ καταλειφθεῖσα,
μεμονωμένη παντελῶς, οὐκ ἔχουσα τὸ σῶμα,
εὐθέως ἐπανέρχεται εἰς τὰ ἴδια ταύτης,
εἴπερ ἐφύλαξε καλῶς τὸ κατ' εἰκόνα ταύτης,
ἀμόλυντον καὶ καθαρὰν ἐν τῷ παρόντι βίῳ,
ὡς νοερὰ πρὸς νοεροὺς καὶ ἄϋλος ἀΰλους,
τοὺς ταύτης, λέγω, συγγενεῖς, τοὺς ἁγίους ἀγγέλους,
τοὺς φωταυγεῖς καὶ φωτεινοὺς εἰς τὸν ἐπάνω κόσμον,
ἂν καθαρά, πρὸς καθαροὺς συνάπτεται αὐτίκα,
ὡς ἐκ τῶν ἄνω ἄνωθεν καὶ χαρμονῆς πληροῦται,
εἰ δέ γε μεμελάνωται καὶ ἐζόφωται ὅλως,
εἰς πάθη τὰ ὀλέθρια καὶ ἀκάθαρτα αὖθις,
εἰς ζοφεροὺς καὶ σκοτεινοὺς ἀγγέλους συγκληροῦται,
ὡς τά γε τούτων πράξασα θελήματα καὶ ἔργα·
ἀπὸ τῶν πράξεων αὐτῶν αἱ ψυχαὶ γὰρ μορφοῦνται,
καὶ φαίνεται ἑκάστη γε τὸ οἵα καὶ πηλίκη,
τὰ μέντοι ἔργα τοῦ φωτὸς φωτεινὰς λαμπροφόρους
τὰ δὲ τοῦ σκότους μελανὰς καὶ ζοφώδεις ποιοῦσιν·
ἡ γὰρ ψυχή, κυρία μου, σώματι συντραφεῖσα
πρὸς τὰ ὁρώμενα ταυτὶ αἰσθητὰ κεχηνυῖα
οὐδὲν ἀσώματον ὁρᾷν ἰσχύει τὸ παράπαν
ἄχρις οὗ δέδεται τουτὶ τῷ γεώδει σαρκίῳ
ἐπὰν δὲ ἀπεκδύσηται, θεωρεῖ ἀκωλύτως·
ἰδού σοι τὸ παράδειγμα, τέλος ἐνθάδ' εἰλήφει,
εἰδ' οὐ δοκεῖ σοι τὸ λεχθὲν ἁρμοζόντως λελέχθαι,
ὃ εἴπομεν, ὡς δύναμις ὧδέ πως ἐν τῷ λόγῳ,
ἐρεύνησον καὶ τί ἐστὶ παράδειγμα καὶ γνῶθι·

κυρία, τὸ παράδειγμα οὐ κατὰ πάντα ἔχον
τὸ ἴσον καὶ λαμβάνεται· ἐπεὶ οὐκ ἂν καὶ εἴη
παράδειγμα, ὡς ἔφημεν, ἀλλὰ ταὐτότης μᾶλλον.

Ψυχή. Καὶ ποῖον λέγεις ἄνθρωπον, θεράπαινα, εἰπέ μοι
τὸν ἔχοντα ὡς ἐφικτὸν Θεοῦ τὸ κατ' εἰκόνα,
καὶ καθ' ὁμοίωσιν αὐτοῦ· αὐτὸς γὰρ τοῦτο εἶπε
τὸ σῶμα τοῦτο τὸ φθαρτόν, ἢ τὴν ψυχὴν αὐτήν γε,
ὁ Μωϋσῆς τὸν ἄνθρωπον εἴρηκε κατ' εἰκόνα,
τὸν ἐξ ἀρχῆς πρωτόπλαστον τοῦ Θεοῦ γεγονότα
καὶ πῶς καλεῖται ἄνθρωπος δίχα ψυχῆς τὸ σῶμα,
καὶ πάλιν δὲ τὸ λογικὸν τῆς ψυχῆς πῶς κληθείη,
ἀπόντος τε τοῦ σώματος ἄνθρωπος τὸ καθόλου·
φησὶ γὰρ δήπου ὁ Μωσῆς ἐν τῇ Γενέσει οὕτως·
καὶ ἔπλασε τὸν ἄνθρωπον ὁ Θεὸς χοῦν ἐκ γαίας,
ἰδοὺ τὸ σῶμα ἄνθρωπον ἐκάλεσεν ἐνταῦθα,
καὶ οὕτως εἰς τὸ πρόσωπον ἐνεφύσησε τούτου
πνοὴν ζωῆς, ὡς γέγραπται, τὴν λογικὴν καὶ θείαν
καὶ γέγονεν ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν τότε·
τὸ κατ' εἰκόνα, δούλη μου, ἐν τίνι ἀποδῶμεν,
εἰς σάρκα τὴν θεράπαιναν ἢ εἰς ψυχὴν αὐτήν γε;

Σάρξ. Παρέξω σοι, Κυρία μου, ὧδε ῥητὸν τοῦ Παύλου
καὶ γνώσῃ τὸ ζητούμενον ῥᾳδίως ἀπὸ τούτου,
ὅσον ὁ ἔξω ἄνθρωπος ἡμῶν διαφθερεῖται,
τοσοῦτον δὴ ὁ ἔσωθεν ἀνανεοῦται πλέον,
καὶ δύο τοίνυν κέκληκεν ἀνθρώπους ἡνωμένους
τόν τε ἐντὸς καὶ τὸν ἐκτὸς ἀνθρώπους ὀνομάζει
τουτέστι σῶμα καὶ ψυχὴν τοὺς ἀμφοτέρους οὗτος,
ἀλλ' οὖν κυρίως ἄνθρωπος ἡ ψυχὴ λέγεταί τε·
μὴ πρόσεχε, κυρία μου, τοῖς ἔξω τοῦ ἀνθρώπου,
μηδὲ ἀμφίβαλλε ποσῶς τὴν διάπλασιν τούτου·
αὕτη γὰρ ἐστὶ κάλυμμα καὶ ἔνδυμά τε ταύτης,
τὸ κατ' εἰκόνα δὴ ψυχὴ καὶ ὁμοίωσιν πέλει
οὐ κατὰ φύσιν ἀλλὰ μὴν κατὰ χάριν καὶ δῶρον,
μὴ οἴου δή, κυρία μου, ἄνθρωπον λέγεσθαί τε,
τὸ σῶμα τοῦτο τὸ φθαρτὸν καὶ ἄνθρωπον τὸν ἔξω,
ἀλλ' ὅταν τοίνυν τῆς Γραφῆς ἀκούσῃς ἐκφωνούσης,
ποιήσωμεν δὴ ἄνθρωπον κατ' εἰκόνα ἰδίαν,

τὸν ἔσω νόει ἄνθρωπον τὴν τῆς ψυχῆς οὐσίαν,
μὴ τὸν φαινόμενον αὐτὸν ἀλλὰ τὸν κεκρυμμένον,
τουτέστι τὸν ἀόρατον καὶ ἀθάνατον φύσει,
καὶ τό γε ἀληθέστερον ὡς ἔνδον μᾶλλον ὦμεν
κατὰ τὸν ἔσω ἄνθρωπον· ἐγὼ γὰρ μᾶλλον πέλω
τὰ δέ γε ἔξω οὐκ ἐγώ, ἀλλ' ἐμὰ αὖθις νόει,
οὐ γὰρ ἡ χεὶρ *ἐγὼ* λοιπόν, ἢ ὁ ποῦς *ἐγὼ* πάλιν,
ἀλλὰ *ἐγὼ* τὸ λογικὸν τῆς ψυχῆς· καὶ εἰκότως·
ἡ χεὶρ γὰρ αὕτη καὶ ὁ ποῦς καὶ τὰ λοιπά τε μέρη
τοῦ ἀνθρωπείου σώματος ὑπάρχουσι καὶ μέλη,
τὸ μὲν γὰρ σῶμα ὄργανον τυγχάνει ἀναλόγως
καὶ σύνδεσμος καὶ ὄχημα τῆς ψυχῆς τοῦ ἀνθρώπου,
κυρίως δέ γε ἄνθρωπος ἡ ψυχὴ ἐστὶ μᾶλλον
καὶ ἄρχων μὲν ὁ λογισμὸς τῶν παθῶν καὶ δεσπότης
κατά γε οὖν τὸ ἀρχικὸν γίνεσθαι ταύτην ἴσμεν,
καὶ αὖ ἐν τῇ τοῦ λογισμοῦ περιουσίᾳ εἶναι,
διὰ τὸ κυριώτερον μέρος νοός του ταύτης
καὶ τὴν σοφίαν, ἣν Θεὸς ἐδωρήσατο τούτῳ,
μιμεῖται γάρ πως τὸν Θεὸν ὁ νοῦς γε τοῦ ἀνθρώπου,
κἂν ἀκαρεῖ περινοστεῖ τὰ πάντα καὶ συστρέφει,
καὶ τὰ ἑσπέρια ὁμοῦ καὶ τὰ ἑῷα πάλιν,
καὶ νότια καὶ βόρεια καὶ τὰ ὑπὸ τὴν χθόνα,
καὶ τά γε ἐπουράνια τὰ ἄδυτα ἐκεῖνα,
οὐ τῇ οὐσίᾳ τῇ αὐτοῦ μὴ οἴου τοῦτο ὅλως,
τῇ φαντασίῃ μόνῃ δὲ τοῦ λογισμοῦ, κυρία,
μόνος γὰρ οὗτος ὁ Θεός, φύσει καὶ δυνάμει
ἔχει τὸ ἀπερίγραπτον ὑπὲρ ἅπασαν φύσιν·
τὸ κατ' εἰκόνα δέσποινα, τὸ ἀρχικὸν σημαίνει,
ὥσπερ οὐδεὶς ἀνώτερος ἐν οὐρανῷ ὑπάρχει
Θεοῦ τοῦ πάντων ποιητοῦ ὁρατῶν, ἀοράτων,
οὕτως οὐδεὶς ἀνώτερος ἐπὶ τῆς γῆς ἀνθρώπου·
ἀλλ', ὥσπερ ἔχει ὁ Θεὸς πάντων τὴν δεσποτείαν,
οὕτω γοῦν δέδωκε καὶ σοὶ τὴν τῶν ἀλόγων ζώων,
πάντων γὰρ ἄρχομεν ὁμοῦ κτηνῶν τε καὶ θηρίων
καὶ πάντων κυριεύομεν πάντων ἐπιστατοῦμεν
καὶ πετεινῶν καὶ ἑρπετῶν καὶ τῶν ἰχθύων ἅμα,
καὶ ζώων, ὧν περ ἔθετο Θεὸς εἰς κόσμον τόνδε,

τοῦτο οἱ μέν, ὡς δέδεικται, Θεοῦ τὸ κατ᾽ εἰκόνα,
τὸ δέ γε καθ᾽ ὁμοίωσιν ἡμεῖς γε κατορθοῦμεν,
ἐκ προαιρέσεως ἡμῶν καὶ θελήσεως τάχα,
ἐπὶ τὸ ὁμοιωτικὸν ἀναγόμεθα τούτου,
ὁμοίους γίνεσθαι αὐτοῦ δέδωκεν ἐξουσίαν,
τὴν γοῦν τοιαύτην δύναμιν, φημί, καὶ ἐξουσίαν
ἡμῖν ἐνθέμενος λοιπὸν ἀφῆκεν ἐν ἐξουσίᾳ,
ἡμᾶς ἐργάτας ἔσεσθαι τῇ βουλῇ καὶ θελήσει
τῆς πρὸς αὐτόν, κυρία μου, ὁμοιώσεως λέγω,
καὶ ἵνα τέλος ᾖ λοιπὸν τοῦ ἡμετέρου κόπου,
τῆς ἐργασίας ὁ μισθὸς πρόσχες, ψυχή, καὶ νόει,
καὶ ἵνα τάχα σοῦ φανῇ τὸ κατόρθωμα ὅλον
καὶ μὴ ἀλλότριον αὐτό, σοὶ κατέλιπε τοῦτο·
τὸ καθ᾽ ὁμοίωσιν Θεοῦ γενέσθαι, καθὼς εἶπε,
γίνεσθαι τέλειοι, φησίν, ὅτι τέλειος ἔστιν
ὑμῶν ὁ ἐπουράνιος Πατήρ τε καὶ δεσπότης,
ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει εἰς πάντας
καὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει αὖθις οὕτως·
ἐὰν καὶ σύ, κυρία μου, μισοπόνηρος γένῃ,
καὶ ἀμνησίκακος λοιπὸν καὶ ἄκακος καὶ πρᾶος,
φιλάδελφος καὶ συμπαθής, τῷ Θεῷ ὁμοιοῦσαι·
ὥστε τὸ κατ᾽ εἰκόνα μὲν Θεὸς κεχάρισταί σοι,
τοῦ ἔχειν μὲν τὸ λογικὸν καὶ ἀρχικὸν ὡσαύτως,
καὶ τόγε αὐτεξούσιον ἐν ἑαυτῇ, κυρία,
γίνῃ δὲ καθ᾽ ὁμοίωσιν, χρηστότητα εἰ κτήσῃ·
εἰ γὰρ καὶ καθ᾽ ὁμοίωσιν αὐτός σε δὴ ἐποίει,
ποῦ σου ἡ χάρις, δέσποινα ; διατὶ ἐστεφάνου ;
ἡ βασιλεία οὐρανῶν πῶς ἂν ἠνοίγετό σοι ;
καλὸν λοιπὸν τὸ σῴζεσθαι ἐξ ἀγώνων καὶ πόνων,
ὡς ὄφλημα καὶ ἀμοιβὴ καὶ μὴ δῶρον καὶ χάρις·
ὅπερ ἐστὶν ἀγνώμονος καὶ ὀκνηροῦ οἰκέτου.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ψυχή. Καλῶς καὶ ταῦτα εἴρηκας οὐκέτι ἀμφιβάλλω,
πλὴν ἔτι τοῦτο μοι καὶ νῦν ἑρμήνευσον, ὦ δούλη,
τὸ σῶμα τοῦ προπάτορος, εἰπέ μοι, πῶς ἐπλάσθη,

ἄρα φθαρτὸν ἢ ἄφθαρτον, θνητόν γε ἢ οὐχ οὕτως;
Σάρξ. Οὔτε φθαρτὸν οὔτ' ἄφθαρτον, οὔτ' ἀθάνατον πάλιν,
μέσον γὰρ τοῦτο ἔπλασε φθορᾶς καὶ ἀφθαρσίας,
ἵν', εἴπερ ἕλοιτο, ψυχῆς τὰ καλὰ καὶ ἡδέα,
ἀθάνατος γενήσεται ἐκ τῶν οἰκείων ἔργων,
ἅτε τὸ θέλημα Θεοῦ ἐκπληρῶν κατὰ πάντα
καθὼς καὶ ἤδη ἄνωθεν ἐδίδαξεν ὁ λόγος·
ἂν δ' αὖθις τὰ τοῦ σώματος πάθη ἀκολουθήσῃ,
φθαρτός. θνητός, γενήσεται, ὅπερ καὶ πέπονθέ γε·
εἰ γὰρ θνητὸν ἐποίησε Θεὸς ἀρχῆθεν τοῦτον,
οὔκουν ἂν κατεδίκασε θανάτῳ ἁμαρτανόντα,
τοῦ γὰρ θνητοῦ θνητότητα οὐδεὶς καταδικάζει,
ἂν δ' αὖθις γε ἀθάνατον, οὐκ ἂν τροφῆς ἐδεῖτο,
σωματικῆς τε καὶ φθαρτῆς καὶ ἀπολελυμένης,
οὐδ' ἂν γε μετενόησεν, ἐφ' οἷς περ ἐδεδράκει,
οὔτ' αὖθις τὸ ἀθάνατον θνητὸν εὐθὺς ἐποίει·
οὐδὲ γὰρ τοῦτο φαίνεται ἐπὶ τῶν ἁμαρτανόντων
ἀγγέλων τότε δεδρακὼς ὁ Θεὸς καὶ δεσπότης,
ἀλλὰ τὴν φύσιν ἔχουσι τὴν ἐξ ἀρχῆς καὶ πάλιν
ἀθάνατοι διέμειναν πλὴν δέ γε οὐ φωσφόροι·
ἄλλην λοιπὸν ἐκδέχονται τῶν ἐπταισμένων δίκην.
Ψυχή. Εἰς μῆκος τὸν διάλογον παρετείναμεν, δούλη
τουτέστι τὸ φιλόνεικον, ὃ φιλικῶς ἐρρέθη,
οὐκ ἐχθρικῶς, μὴ γένοιτο· εὐνοϊκῶς δὲ μᾶλλον,
λοιπὸν καὶ τὰ ζητήματα εὐθέτως λέλυκάς μοι,
ἀρτίως δέ γε φράσον μοι, ὃ ἐξ ἀρχῆς ἠρόμην,
μήπως καὶ λήθη γένηται ἀμνημονήσω τούτου,
πλὴν πάντα συγγνωμόνει μοι τὰ πρώην λαληθέντα,
Σάρξ. Καὶ τί σου τὸ ἐρώτημα ἐπελαθόμην τούτου,
Ψυχή. Ἠρώτησα, ὦ δούλη μου, ἐν τῇ ἀρχῇ τοῦ λόγου
ὅπῃ ἐπαναπαύονται αἱ ψυχαὶ τῶν δικαίων
πρὸς δὲ καὶ τῶν ἁμαρτωλῶν καὶ τίς ὁ τόπος τούτων
ἄχρι τῆς ἀναστάσεως Χριστοῦ καὶ παρουσίας.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Σάρξ. Ἂν οὖν γε βούλει τοῦ μαθεῖν, ὃ ἐρωτᾷς, κυρία,
πρόσχες μοι ὧδε νουνεχῶς καὶ μαθήσῃ εὖ μάλα,

ὡς αἱ Γραφαὶ διδάσκουσιν, ἐν οὐρανῷ τυγχάνει,
ἔνθα ἐπαναπαύεται πᾶσα ψυχὴ δικαίου,
ἀλλὰ καὶ τοῖς ὀνόμασι πολυσήμαντος πέλει,
καὶ χώρα ζώντων λέγεται ἡ γῆ πραέων πάλιν,
ἑορταζόντων ἦχος τε καὶ σκηνὴ τῶν δικαίων,
τρυφῆς χειμάρρους καὶ τρυφὴ πλήρης ἀθανασίας
καὶ τοῦτο δῆλον φαίνεται ἐκ τῶν ῥημάτων Παύλου,
ὧν ἐν Κορίνθῳ ἔγραψε πρὸς δὲ καὶ ἐν Φιλίπποις,
οἴδαμεν φάσκων πρὸς αὐτοὺς τοῦ σκήνους, ἤγουν αὕτη
οἰκία ἡ ἐπίγειος, εἴ γε καταλυθείη,
οἰκίαν ἄλλην ἔχομεν ἀχειροποίητόν τε
ἐν οὐρανοῖς ἐκ τοῦ Θεοῦ αἰώνιον καὶ κρείττω,
διὸ ἀπὸ τοῦ σώματος ἐκδημοῦντες θαρροῦμεν,
τοῦ ἐκδημῆσαι πρὸς Χριστὸν τοῦτο φιλοτιμία,
καλῶς οὖν ἀνακέκραγεν ὁ Παῦλος μετὰ θάρρους,
ἐπιθυμία μοι ἐστὶν ἐκ τοῦδε ἀναλῦσαι
καὶ σὺν Χριστῷ μου καὶ Θεῷ ἐν οὐρανοῖς συνεῖναι·
καὶ πρὸ τοῦ Παύλου Σολομὼν ἀνεβόα τοιάδε:
Ψυχαὶ δικαίων ἐν χειρὶ τοῦ Θεοῦ καὶ δεσπότου,
ἐν οὐρανοῖς τυγχάνουσι καὶ εἰσὶν ἐν εἰρήνῃ,
πρὸς δὲ καὶ ὁ Δαμασκηνὸς τὰ παρόμοια τούτοις,
ψυχὰς μὲν ἔχετε, φησίν, εἰς χεῖρας Θεοῦ ζῶντος,
εἰς οὐρανοὺς καί γε αὐτὸν ὑμνεῖτε σὺν ἀγγέλοις,
ὅτι ἐκ γῆς μετέστητε εἰς οὐρανοὺς ἐν δόξῃ.
ἔχω καὶ ἄλλους μάρτυρας, κυρία, πιστοτάτους,
ἰσοφωνοῦντας τοῖς τρισὶ τοῖς προλεχθεῖσι μάλα,
Ναζιανζοῦ Γρηγόριον, Βασίλειον τὸν μέγαν
καὶ Νύσσης τε Γρηγόριον, Ἀνδρέαν τοῦ τῆς Κρήτης,
καὶ τὸν χρυσοῦν ἐν ἅπασι τὴν γλῶτταν Ἰωάννην,
καὶ σύμπας ὁ θειότατος χορὸς ὁ τῶν Πατέρων
οἱ πάντες ἐν τοῖς οὐρανοῖς εἶναι ψυχὰς δικαίων
καὶ τόπον καὶ τὸν ἀριθμὸν ἐκπληροῦσιν ἐκεῖνον,
ἀφ' οὗ ἐξέπεσε κακῶς ἀγγελικὴ πληθύς τε
σὺν καὶ τῷ πρώτῳ τῶν αὐτῶν ἀποστάτῃ κακίστῳ·
ἵν' ὅπως ἀναπληρωθῇ ὁ ἄνω λέγω κόσμος,
καθὼς Γρηγόριος αὐτὸς ὁ θεολόγος λέγει:
Ὁπόταν οὖν καὶ πληρωθῇ ὁ ἄνω λέγω κόσμος,

ἐκδέχου τὴν συντέλειαν αἰῶνος τοῦ παρόντος·
οἱ πάντες γοῦν ἀναφανδὸν εἰς τοῦτο μαρτυροῦσιν·
ἐπείπερ οὖν γε κεφαλὴ πάντων ἡμῶν ὑπάρχει
καὶ λέγεται καὶ πρῶτος γε ἐκ τῶν νεκρῶν ἀνέστη,
ἀλλ' οὖν γε καὶ πρωτότοκος, ὡς ἡ Γραφὴ διδάσκει,
καὶ ὁ πρωτότοκος, ψυχή, ἢ καὶ πρωτόγονός τε
πολλῶν καὶ ἄλλων ἀδελφῶν ὑπάρχει πρῶτος οὗτος,
Χριστός, ὁ δεύτερος Ἀδάμ, δι' ἄκραν εὐσπλαγχνίαν,
καὶ πρόδρομος ὑπὲρ ἡμῶν κατὰ τὸν μέγαν Παῦλον,
εἰς οὐρανοὺς ἀνέδραμε πρὸς τὸν αὐτοῦ Πατέρα
καὶ τούτου δὴ κεκάθικεν ἐν δεξιᾷ, κυρία·
ἔνθα γὰρ ἂν ἡ κεφαλὴ μικροῦ γε ὅσον, ὅσον,
ἀκολουθήσει τοιγαροῦν καὶ ὅλον γε τὸ σῶμα,
ὅθι λοιπὸν ἡ κεφαλὴ ἐξ ἀνάγκης καὶ σῶμα,
πλήρωμα γὰρ τῆς κεφαλῆς πέφυκε μὲν τὸ σῶμα
καὶ πλήρωμα τοῦ σώματος ἡ κεφαλὴ τυγχάνει,
οὔτε γὰρ σῶμα δύναται κεφαλῆς εἶναι δίχα
οὔτε δὲ πάλιν κεφαλὴ τοῦ σώματος μὴ ὄντος·
πρὸς τὸ παρὸν ἀνέρχονται πᾶσαι ψυχαὶ καὶ μόναι
τῶν σῳζομένων, δέσποινα, ἁγίων καὶ δικαίων
πρὸς τὴν ἁπάντων κεφαλήν, ὅς ἐστιν ὁ Χριστός μου,
μετὰ δὲ τὴν ἀνάστασιν, καὶ μετὰ σώματός γε.
Βαβαὶ τῆς δόξης τοῦ Χριστοῦ, καὶ τῆς τιμῆς ὡσαύτως,
φιλανθρωπίας τῆς αὐτοῦ, τῶν ἀγαθῶν τε πάντων,
ὧν περ μετέχομεν ὁμοῦ κτισθέντες ἀπαρχῆς τε,
καὶ αὖθις ἐπ' ἐσχάτων δὲ κατὰ χάριν τὴν τούτου·
λοιπόν, ψυχή μου, πίστευσον τούτων τὴν μαρτυρίαν,
ἀληθινήν, βεβαίαν τε, ὑπάρχουσαν εἰς τοῦτο·
καὶ ταῦτα μὲν εἰρήκαμεν περὶ ψυχῶν δικαίων,
τῶν ἀπὸ πάσης χαλεπῆς κακίας καθαρθέντων·
ἂν δὲ καὶ τῶν ἁμαρτωλῶν ψυχὰς μαθεῖν ἐθέλῃς,
καὶ ποῦ ἐγκατακλείονται καὶ εἰσίν, ὦ κυρία,
καὶ περὶ τούτων Γραφικῶς ἀπολογήσομαί σοι,
εἰς τὰ κατώτατα τῆς γῆς τυγχάνουσι, ἂν φαῖεν·
καὶ πρόσχες μοι, καὶ θρήνησον πρὸ τοῦ τέλους ἐνθάδε,
σκιὰν θανάτου ὁ Δαυῒδ καὶ κατώτατον λάκκον,
τὸν Ἅδην οὕτω κέκραγε διὸ καὶ ἀνακράζει :

Ἀνήγαγες, ὦ Κύριε, ἐξ Ἅδου τὴν ψυχήν μου
ἐπὶ πολὺ δ' οὐκ εἴασας ἐκεῖσε διατρίψαι·
περὶ τοῦ Ἅδου καὶ Ἰὼβ ὀδυρόμενος λέγει :
Γῆν σκοτεινὴν καὶ γνοφερὰν καὶ αἰώνιον σκότος,
ζωὴν βροτῶν οὐδὲ ὁρᾶν σκότος γὰρ οὐχ ὑπάρχει,
ὁ Ἅδης τόπος μέν ἐστι κατώτατος τῶν κάτω,
καταχθονίων ζοφερός, κατώδυνος τῇ φύσει,
εἰς ὃν κατῆλθεν ὁ Χριστὸς καὶ τὰς ψυχὰς ἁρπάσας,
ἅσπερ κατεῖχεν ἀπαρχῆς ἀπὸ τοῦ πρωτοπλάστου,
ἐξῆλθεν, ὥσπερ νικητής, εὖγε, Χριστέ μου, εὖγε,
ἀλλὰ τὸ μέλλον ἄκουσον καὶ φρίξον πρὸ τοῦ τέλους,
εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ παρουσίαν,
καὶ τὴν κοινὴν ἀνάστασιν ἐξέρχεται τοῦ Ἅδου·
ἑκάστη γοῦν τὸ ἴδιον ἀπολαμβάνει σῶμα
καὶ αὖθις ἀποστρέφονται πρὸς τὸν Ἅδην, οὐαί μοι !
καθὼς βοᾷ ὁ ψαλμῳδὸς περὶ αὐτῶν τῷ τότε
ἀποστραφήτωσαν, φησίν, ἁμαρτωλοὶ πρὸς Ἅδην,
τὸ γὰρ ἀποστραφήτωσαν δηλοῖ ὅθεν ἐξῆλθον,
ἔκτοτε χαλεπώτερα τῶν προτέρων καὶ χείρω,
σφοδρότερα, δριμύτερα, ἀλγοῦσι καὶ θρηνοῦσι
πενθοῦσι τε καὶ κλαίουσιν ἀνόνητα, κυρία,
ἀπέραντα, αἰώνια, φεῖσαι Χριστέ μου φεῖσαι,
τότε λοιπὸν ἀπέρχῃ μὲν πρὸς τὸ ἴδιον σῶμα,
οὗ πρὸ μικροῦ κεχώρισαι τοῦ πηλίνου σαρκίου,
ὅπως εἰσέλθῃς εἰς αὐτὸ κατὰ τὸ γεγραμμένον,
καὶ βλέπεις τοῦτο βέβηλον, ὅλον ἐρρυπωμένον,
ἐσπιλωμένον, βδελυκτόν, καὶ μιαρὸν εἰς ἅπαν
καὶ οὕτω τοῦτο βλέπουσα ἀποστρέφῃ μισοῦσα,
ἀλλ' ὑπ' ἀγγέλων φοβερῶν μαστιζομένη, οἴμοι !
ἀνηλεῶς, ἀσυμπαθῶς, μετ' αὐστηρότητός τε
εἰσέρχῃ αὖθις εἰς αὐτὸ πάντως μὴ βουλομένη,
ἀλλ' οὐ τοιαῦτα σώματα εἰσὶ καὶ τῶν δικαίων,
ἀλλ' ὡς ἀστράπτων μάργαρος λάμπουσι μετὰ δόξης,
καὶ ὡς ὁ ἥλιος αὐτὸς ἀλλὰ καὶ πλεῖον τούτου,
ἂν δ' ἀπιστῇς μοι ὡς οἰκτρὰν ἀνάστασιν δηλούσῃ
φέρω σοὶ μάρτυρας πιστούς, οἷς τισι μὴ ἀπίστει

Ψυχή. Καὶ τίνες οὗτοι πέλουσι ποίας φυλῆς καὶ ἔθνους

Σάρξ. Ἐν πρώτοις Ἰεζεκιὴλ καὶ Ἡσαΐας ταύτην,
καί γε Δαυῒδ ὁ μελῳδὸς καὶ ὑμνῳδὸς ὁμοίως,
οἱ πρὸ Χριστοῦ ἐξαίρετοι προφῆται καὶ μεγάλοι,
καὶ μετ' αὐτοὺς πάλιν Χριστὸς ἐκ τῶν ἔργων πιστοῦται,
ἀλλ' οὖν γε καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη,
ὡς ἡ Γραφὴ διδάσκει με ἡ τῶν Εὐαγγελίων,
καὶ Παῦλος ὁ διδάσκαλος ὁ θεῖος τε καὶ μέγας,
περὶ τῆς ἀναστάσεως γράφει τοῖς ἐν Κορίνθῳ,
πεσὸν οὖν τοῦτο ἐν τῇ γῇ ἄτιμον τὸ σαρκίον,
ἐν ἀσθενείᾳ καὶ φθορᾷ καὶ ψυχικὸν ἐν τάφῳ
σηπόμενον, λυόμενον, εἰς οὐδὲν χωρῆσαν,
ἐγείρεται δὴ ἄφθαρτον. πνευματικὸν ἐν δόξῃ,
ἀθάνατον, ἀείζωον, καὶ κεχαριτωμένον,
ἐρῶ σοι καὶ παράδειγμα, ὅπερ αὐτὸς εἰρήκει,
ὥσπερ ὁ κόκκος ὁ γυμνὸς ἐν ταῖς τῆς γῆς λαγόσι,
πίπτων τε καὶ σηπόμενος οὐ γυμνὸς ἀναφύει,
οἷος γυμνὸς καὶ ἔπεσε καὶ κόκκος μόνος πάλιν,
ἀλλὰ καὶ λίαν εὐφυῶς ἐνδεδυμένος πέλει,
καλὰ μὲν φύλλα, γόνατα ἀνθέρικας, καὶ τ' ἄλλα
καὶ κόκκους φέρει πολλαπλοῦς, ὡραίους τῇ ὁράσει,
οὕτω μοι νόει κάλλιστα ἀνάστασιν τὴν τότε
ἀνθρώπων πάντων τοιγαροῦν μικρῶν τε καὶ μεγάλων
καὶ σύνες μοι, καὶ θαύμασον, Θεοῦ οἰκονομίαν
τὴν ἀφθαρσίαν λήψεται, εὖ μάλα καὶ ἡ κτίσις
τότε μακρὸς οὔτε κονδὸς ὑπάρχει οὔτε μέλας
οὔτε λευκὸς οὔτε λεπτὸς οὔτε παχὺς τυγχάνει,
οὔτε πυρρὸς οὔτε ξανθὸς οὐ σγοῦρος ἐκεῖ πέλει,
χωλός, κηλλὸς οὐ πέφυκεν, ἀλλ' οὔτε δαιμονῶντις
μονόπους, οὐ μονόφθαλμος, μονόχειρ, οὐ λωβός τε,
κατωφερής τε καὶ κυρτός, τυφλός, μογγός, τραυλός τε,
οὔτε σοφός, οὔτε μωρός, οὐ γέρων, οὐ παιδίον,
οὐ δοῦλος καὶ ἐλεύθερος, οὐ βάρβαρος καὶ Σκύθης,
μὴ οἷου, οἷος ὁ θανών, τοιοῦτος ἀνασταίη,
ἀλλ', οἷος ὁ πρωτόπλαστος ὑπὸ Θεοῦ ἐπλάσθη,
καὶ οἷος ἦν ἐκ τῆς ἀρχῆς πρό γε τοῦ παρακοῦσαι·
ἐκεῖ δ' οὐκ ἔστιν ἄρσενος, οὔτε θηλείας φύσις,
τὸ σχῆμα ἔχουσα ὡς καὶ νῦν μορφὴν καὶ εἰκόνα·

τὸ σῶμα μέντοι τὸ αὐτὸ ὁ χαρακτὴρ δ' ἀλλοῖος,
οὐ παιδογόνα μόρια θηλειῶν καὶ ἀρρένων
πρὸς συνουσίας ἀσελγεῖς, ἄπαγε, καὶ βεβήλους,
ἀλλ' ἄλλη ξένη καὶ καινή, ἣν οἶδε Θεὸς μόνος,
ἀθάνατος, ἀείζωος, καὶ ἄφθαρτος διόλου,
ἀμέτοχος ὑπάρχουσα μερίμνης τε καὶ λύπης,
φροντίδος πάσης καὶ σπουδῆς, τῆς τὸ ζῆν δωρουμένης,
ὑπάρχει γάμος οὐδαμῶς, ἐξότου ἀναστῶμεν,
οὐκ ἐκγαμίζονται ἐκεῖ, οὐκ ὄντος οἴστρου τότε,
φύσις θήλεια οὐδαμῶς, ἀλλ' οὐδ' εὐνούχου πέλει,
ἔρως σωμάτων οὐκ ἔστιν, ἢ λογισμὸς πορνείας,
ἀλλ' οὔτε δαίμονες ἐκεῖ καὶ πόλεμος καὶ μάχη,
ἀλλ' ὥσπερ ἄγγελοι Θεοῦ, πεφύκασιν οἱ πάντες·
Χριστὸς γὰρ τοῦτο εἴρηκε ποτὲ πρὸς Σαδδουκαίους:
οἱ δέ γε μήπω θνήξαντες ἢ τῇ ταφῇ κρυφθέντες
ἀλλ' ἐν τῷ βίῳ στρέφονται μικροί τε καὶ μεγάλοι,
καὶ οὗτοι πάντες ἐν ῥιπῇ ἀλλαγήσονται τότε,
γενήσονται δὲ ἅπαντες ἐν μιᾷ ἡλικίᾳ,
καθά μοι καὶ προλέλεκται πρὸ μικροῦ ἐν τῷ λόγῳ,
ὡς καὶ οἱ ἀνιστάμενοι ἐκ τῶν μνημάτων πάντες,
γυμνοὶ δὲ ἅπαντες ὁμοῦ καὶ τετραχηλισμένοι·
τὸ δὲ γυμνόν, κυρία μου, καὶ τετραχηλισμένον,
ὡς ἐκ μεταφορᾶς τῶν ἱερείων ὧδε νόει,
τῶν εἰς θυσίαν τῷ Θεῷ προσαγομένων πάντων,
ὡς γὰρ ἐκεῖνα τῶν δορῶν ἀφαιρούμενα τότε,
εἰς ἔρευναν τὴν τοῦ παντὸς ὀστέου τε καὶ μέλους,
ἐδείκνυντο τὰ ἔνδοθεν ἐγκεκρυμμένα δῆλα,
οὕτως ἐκεῖ τοῦ καθενὸς αἱ πράξεις φανεροῦνται·
διαφθορὰν δ' ἀκούουσα, οὕτω μοι νόει ταύτην,
οὐ πέφυκεν ἀναίρεσις αὐτῆς δὴ τῆς οὐσίας,
ἀλλ' οὖν γε τῆς θνητότητος δαπάνη τε καὶ λῆξις,
καὶ τῆς φθορᾶς ἀνάλωσις, ὁ θάνατος γὰρ οὗτος
τὸ σῶμα οὐκ ἀπόλλυσιν ἀλλὰ φθορὰν ὀλλύει,
ἡ δὲ οὐσία, βέλτιστε, μένει τε καὶ ὑπάρχει
μετὰ δόξης τε πλείονος ἀνισταμένη τότε,
ἀλλ' οὐκ εἰς πάντας ἔγωγε, δέσποινα, φαίην τοῦτο :
ἡ μὲν ἀνάστασις ἁπλῶς κοινὴ τοῖς πᾶσιν ἔσται

ἡ δὲ ἀνάστασις, ψυχή, ἡ μετὰ δόξης τότε
ἐκείνων μόνον ἔσεται τῶν καλῶς βιωσάντων,
εἰς γὰρ ἀνάστασιν ζωῆς ἐγερθήσονται οὗτοι·
οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς κρίσιν τιμωρίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Ψυχή. Ἀδίστακτος ὁ λόγος σου, τὰ πάντα δέχομαί σου,
τὰ πάντα σου πεπίστευκα, πλὴν ἑνὸς μόνου τοῦδε,
οὗπερ ἀκούω τῆς Γραφῆς ἀναφανδὸν βοώσης,
ὁπόταν τοίνυν ὁ Χριστὸς κατῆλθεν ἐν τῷ Ἅδῃ,
ψυχὰς ἁπάσας ἥρπασεν ἐκεῖσε καθημένας,
ἀπὸ Ἀδὰμ καὶ καθεξῆς ἠλευθέρωσε πάσας,
σὺ δὲ ἀρτίως εἴρηκας εἶναι ψυχὰς ἐκεῖσε
τὰς πάσας τῶν ἁμαρτωλῶν καὶ ἀσεβῶν, ὦ δούλη,
εἰ μὲν ἐξείλετο αὐτὰς ἐκ τῆς γαστρὸς τοῦ Ἅδου,
καὶ ποία χάρις ἔσεται, εἴγε καὶ αὖθις αὗται
ἐκεῖσε, ὡς κατάδικοι, εἰσὶν ὑπὸ τὸν Ἅδην·
λοιπὸν ἀσύμφωνα τὰ σὰ πρὸς τὴν Γραφὴν εὑρίσκω
καὶ ὑποπτεύω ὅτι σὺ οὐκ ἀληθεύεις, δούλη.

Σάρξ. Λοιπόν, κυρία, πρόσχες μοι ὧδε μικρὸν καὶ γνώσῃ,
καὶ ἡ Γραφὴ ἀλήθειαν σὺν αὐτῇ κἀγὼ αὖθις,
καὶ σύνες τὸ λεγόμενον ἐκ παραδείγματός πως·
ὑπόθου εἶναι τύραννον ἀποστάτην, κακοῦργον,
καὶ ἀποδράσαντα ποτὲ ἀπὸ τοῦ βασιλέως,
καὶ ἀπελθόντα πόρρωθεν, εἰς ὃν ἠράσθη τόπον,
ἐκεῖσε πόλιν κτίσαντα ὑψηλὴν καὶ μεγάλην
πεπυργωμένην πάντοθεν, ὀχυρωτάτην λίαν
καὶ μέσον ταύτης ὤρυξε λάκκον βαθύν, καὶ μέγαν
τὸ βάθος ἄχρι καὶ τῆς γῆς τοῦ πυθμένος καὶ πέρα,
τὸ εὖρος πάλιν μέγιστον ὑπὲρ πάντα τὰ πλάτη,
δυσώδη, ζοφερώτατον, ἐσκοτισμένον ὅλον,
καὶ φυλακὰς παντοδαπὰς ἐκεῖ κατασκευάζει,
βρωμώδεις, οἴμοι, τὰς αὐτάς, ζοφώδεις ὑπὲρ λίαν,
καὶ μετὰ ταῦτα, σύνες μοι, τοῦ ἐχθροῦ τὴν μανίαν,
εἰς πᾶσαν γῆν διέδραμε συνέλεξε θηρία,
καὶ ἰοβόλα ἑρπετά, δράκοντάς τε καὶ ὄφεις
σκορπίους, ἔχις, καὶ λοιπὰ ἐκ πάντων κατὰ γένος,

καὶ ταῦτα ἐναπέκλεισεν ἐν τῷ ζοφώδει λάκκῳ,
πρὸς τιμωρίαν δηλαδὴ ἀνθρώπων τῶν ἐκεῖσε,
μελλόντων κατακλείεσθαι βιαίως ὑπ' ἐκείνου
σελήνη, ἄστρα, οὐδαμῶς· οὐχ ἥλιος ἐκεῖσε,
εἰς πόλιν λέγω τοῦ ἐχθροῦ, ἀλλὰ ψηλαφητόν γε,
σκότος καὶ ζόφος πανταχοῦ, ἀφόρητος ἀνάγκη,
πλησίον δὲ τῆς πόλεως, ὁδὸς ἦν λεωφόρος,
δι' ἧς ὁδοῦ διήρχοντο πᾶσαι φυλαὶ καὶ γλῶσσαι,
τοῦ βασιλέως ἅπαντες, ἐχθροὶ καὶ φίλοι ἅμα,
ἑτέρωθι οὐκ ἦν ὁδὸς εἰς ἅπαντα τὸν κόσμον,
λοιπὸν εἰς χεῖρας ἤρχοντο καὶ μὴ θέλοντες τάχα
τοῦ ἀποστάτου καὶ ἐχθροῦ μικροί τε καὶ μεγάλοι·
ἁπάντων οὖν κατίσχυεν, ἁπάντων κατεκράτει,
δυνάμει τάχα τῆς χειρὸς βίᾳ καὶ δυναστείᾳ,
δεσμεύων χεῖρας, πόδας τε, δεινῶς ἐταλαιπώρει,
καὶ κατακλείστους ἅπαντας εἰς τὸν λάκκον ἐποίει,
τὰς φυλακὰς ἐνέπλησε τὰς σκοτεινὰς ἐκείνας·
μὴ φέρων οὖν ὁ βασιλεὺς τὴν ἀδικίαν ταύτην
οὐκ εἴασεν ἐπὶ πολὺ τὸν λαὸν κακουχεῖσθαι,
ἀλλ' ἐξαπέστειλεν ἐκεῖ τὸν Υἱὸν αὐτοῦ φήσας,
πορεύθητι ἐξάρπασον τὸν λαὸν ἡμῶν πάντα,
ἐκ τῶν χειρῶν τοῦ πονηροῦ καὶ ἀποστάτου τάχος,
ὁ δὲ παραγενόμενος κρατήσας τὸν ἀντάρτην
τὰ πάντα τούτου ἔθλασε καὶ ὀστᾶ καὶ τὰ νεῦρα,
ἡμίθνητον ἐποίησεν, ἀνενέργητον τοῦτον,
ἐξώρυξε τοὺς ὀφθαλμοὺς καὶ κόρας τῶν ὀμμάτων,
μοχλοὺς καὶ κλεῖθρα καθελὼν καὶ τὰς πύλας συντρίψας
ἐξείλετο, ὡς νικητὴς τροπαιοῦχος, τοὺς πάντας,
ἐχθροὺς καὶ φίλους ἐν ταὐτῷ ἐκ τῶν καταχθονίων
ἀνήγαγέ τε ἅπαντας ἄνωθεν ἐπ' ἐδάφους
καὶ τῶν δεσμῶν τῶν ἰσχυρῶν λέλυκε τούτους εὖγε,
καὶ εἰς τὴν πόλιν ἔσωθεν περιπατεῖν κελεύει·
καὶ μετὰ ταῦτα, θέα μοι διάκρισιν βελτίστην,
τοὺς φίλους ἐξελέξατο τοὺς τοῦ πατρὸς γνησίους,
καὶ ἄρας τούτους ἄπεισι πρὸς τὸν αὐτοῦ πατέρα
εἰς τὸ τερπνὸν παλάτιον τὸ θαυμαστὸν ἐκεῖνο,
τοῦ εἶναι πάντοτε αὐτοὺς μετὰ τοῦ βασιλέως,

καὶ συνευφραίνεσθαι αὐτῷ ἐκεῖσε αἰωνίως·
τοὺς δὲ ἐχθροὺς καὶ ἀσεβεῖς κατέλιπεν ἐκεῖσε,
ἄχρις ἂν δόξῃ τῷ πατρὶ περὶ αὐτῶν τὸ δέον,
καὶ εἴπῃ τὴν ἀπόφασιν δικαίαν περὶ τούτων,
πρὸς ταῦτα σύ, κυρία μου, καὶ πῶς ὑπολαμβάνεις
ἄρα μετέσχον καὶ αὐτοὶ τινὸς εὐεργεσίας ;
οἱ ἀσεβεῖς τε καὶ ἐχθροὶ φημὶ τοῦ βασιλέως,
ἢ οὐ δοκεῖ σοι χάριτος κἂν ὅλως εἶνε τοῦτο ;
ἐγὼ μὲν τοῦτο ἥγημαι σωτηρίαν μεγίστην,
τὸ γὰρ τὸν τύραννον ἑλεῖν καὶ δῆσαι τὸν ἀντάρτην
δεσμοῖς ἀλύτοις, καὶ αὐτοῦ τοὺς ὀφθαλμοὺς ἐξῶσαι,
ἐκ τοῦ πυθμένος δὲ τῆς γῆς ἀναγαγεῖν ἐκείνους,
καὶ φυλακὰς τὰς ζοφερὰς καὶ τὰ δεσμὰ καὶ πέδας,
ἰοβόλα ἑρπετά, καὶ τὸν δυσώδη βρῶμον,
τούτων ἁπάντων τῶν κακῶν ἐλευθέρους ποιῆσαι,
καὶ βαίνειν ἔνθεν καὶ ἐκεῖ ἀνέτους καταλεῖψαι,
οὐκ ὄντος δεσμοφύλακος οὔτε πικρῶν δημίων,
ὁ γὰρ ἐχθρὸς ἀπόλωλε πανστρατιά, κατὰ κράτος,
ἐμοὶ μεγίστη φαίνεται τοῦτο εὐεργεσία·
εἰ γὰρ καὶ εἶναι ἤκουσας ψυχὰς μὲν ἐν τῷ Ἅδῃ,
ἀλλ' οὐκ εἰσίν, ὡς πρότερον, ἐν ὀδύναις βαρείαις,
οὐδὲ βασάνοις, ἄπαγε, ταῖς πρῴην ἀνηκέστοις,
ἀλλ' ἐν ἀνέσει μερικῇ ἐν μικρᾷ ἀναπαύσει·
συνῆκας πάντως τὸ λεχθέν, ἢ ἀμφιβάλλεις ἔτι ;

Ψυχή. Συνῆκα καὶ νενόηκα καὶ φαίνῃ ἀληθεύειν,
τοὺς πάντας εὐηργέτησε, κατὰ δικαίαν κρίσιν,
τοὺς μὲν ἐχθροὺς ἐλάττονα τοὺς φίλους δὲ μειζόνως,
καὶ χάρις αὕτη ᾄδεται μεγίστη παρὰ πάντων.

Σάρξ. Κυρία, πῶς νενόηκας τὸ ῥηθὲν πρόβλημά μου
θέλω μαθεῖν, εἴγε σαφῶς συνῆκας τὸ λεχθέν σοι.

Ψυχή. Ὡς οἶμαι, τούτου πέφυκεν ἡ λύσις δὴ τοιαύτη,
ὁ ἀποστάτης πέφυκεν ὁ πεσὼν ἑωσφόρος
ἡ πόλις δέ, ἣν ἔκτισεν, ὁ Ἅδης, ὡς εἰκάζω
ὁ λάκκος ὁ βαθύτατος, καὶ φυλακαὶ αἱ τούτου,
θεράπαινα, τυγχάνουσι τοῦ Ἅδου ἡ κοιλία
ἡ λεωφόρος δὲ ὁδός, ὁ βίος οὗτος πέλει,
δι' οὗ καὶ πορευόμεθα μικροὶ μεγάλοι ἅμα,

ἡ τυραννὶς δὲ τοῦ ἐχθροῦ καὶ ἡ λῃστεία τούτου,
ὁ θάνατος, ὡς ἔοικεν, ὅς ἀφαρπάζει πάντας,
καὶ πρὸς τὸν ῞Ἀδην τὸν δεινὸν παραυτίκα ἐκπέμπει,
τὰ δ᾽ ἐν τῷ βάθει ἑρπετὰ καὶ χαλεπὰ θηρία,
ὡς οἶμαι, ἡ ἀφόρητος ὀδύνη ἡ ἐκεῖσε,
ὁ βασιλεὺς δὲ ὁ Θεός, ὁ υἱὸς τούτου πάλιν,
ὁ ῥύστης πέλει ὁ Χριστὸς τοῦ τῶν ἀνθρώπων γένους,
οἱ φίλοι δὲ οἱ δίκαιοι, οἱ δ᾽ ἀσεβεῖς δοκεῖ μοι
καὶ οἱ ἐχθροί, ἐν τῷ αὐτῷ ἁμαρτωλοὺς νομίζω,
τὸ δὲ τερπνὸν παλάτιον καὶ εὐφροσύνη τούτου,
καὶ τὴν χαρὰν τὴν ἄληκτον, οὐρανῶν βασιλείαν.
Σάρξ. Καλῶς, καὶ ἄγαν εὐφυῶς, συνῆκας τὰ λεχθέντα,
κυρία μου, καὶ δέσποινα, καὶ χάρις τῷ Χριστῷ μου,
ἀλλ᾽ ἴσθι τὸ παράδειγμα οὐ κατὰ πάντα ἔχει
τὸ ἴσον καὶ λαμβάνεται, ἐπεὶ οὐκ ἂν καὶ εἴη,
παράδειγμα, ὡς ἔφημεν ἀλλὰ ταὐτότης μᾶλλον,
ἀναπεσὼν κεκοίμηται ἤκουσα, ὥσπερ λέων,
τὸν πατριάρχην λέγοντα περὶ Χριστοῦ, κυρία,
καὶ αὖθις οὖν ἑτέρωθι ἀπαντήσομαι τούτοις,
ὡς ἄρκτος φοβερωτάτη ἀπορουμένη ὅλη,
ἆρ᾽ οὖν προσαρμόσωμεν τὰ τοῖς θηρίοις πάντα
προσόντα τούτοις τῷ Χριστῷ, ἄπαγε, Δέσποινά μου·
ἀλλ᾽ οὖν γε χρὴ τὸ χρήσιμον ἐκλεξαμένους τούτου
εἰς ὅπερ εἴληπται λοιπόν, τὸ λοιπὸν παροπτέον
τὸ φοβερὸν τοῦ λέοντος ἐκληψόμεθα ὧδε
καὶ τὸ βασιλικώτατον· τῆς δὲ ἄρκτου ὁμοίως
μόνον τὸ τιμωρητικόν, οὐκ ἄλλο τι, ὧν ἔχει,
οὕτω καὶ ἐπὶ τῶν λοιπῶν ποιεῖν παραδειγμάτων·
καὶ ἄκουσον, κυρία μου, πρὸς τούτοις ἔτι ὧδε·
ἀνδρὸς ἁγίου καὶ σοφοῦ, Ἰωάννου τοῦ πάνυ,
Δαμασκηνοῦ, τοῦ καὶ μανσούρ, καὶ πιστωθήσῃ πλέον,
οὗτος γὰρ ἀκριβέστερον τὰ ἐκεῖ γεγονότα
ἀναδιδάσκει γε καλῶς ἀναφανδὸν τοῖς πᾶσι·
καὶ σύνες μοι, ἃ εἴρηκεν, ὧδε πως διὰ στίχων.
Οὐ γὰρ ἁπλῶς ἔσωσε πάντας ὁ ζωοδότης Χριστὸς κατελθὼν ἐν τῷ ῞Ἀδῃ· ἀλλ᾽ εἴρηται κἀκεῖ τοὺς πιστεύσαντας οἵτινες εἰσὶ πατέρες καὶ προφῆται, κριταί, βασιλεῖς

σὺν αὐτοῖς καὶ τοπάρχαι, καί τινες ἄλλοι
τοῦ λαοῦ τῶν Ἑβραίων, ἀναρίθμητοι καὶ πρόδηλοι
τοῖς πᾶσιν· ἡμεῖς δὲ ταῦτα ἀντεροῦμεν τοῖς ὧδε·

Ὡς οὔτε δῶρον οὔτε πλοῦτος, ἢ δόξα, οὔτε θαυμαστὸν καὶ παράδοξον τοῦτο τὸ σῶσαι Χριστὸν τοὺς προπεπιστευκότας· ἐπεὶ κριτὴς δίκαιος ὑπάρχει μόνος· καὶ πᾶς τοῦτο πιστεύσας οὐκ ἀπόλλυται· ἔδει γὰρ ἂν οὖν τούτους σωθῆναι πάντως· καὶ τῶν τοῦ Ἅδου δεσμῶν ἀπαλλαγῆναι ὃ καὶ γέγονε τῇ τούτου προμηθείᾳ· τῇ καταβάσει τοῦ Θεοῦ καὶ δεσπότου· οἱ δέ γε χάριν φιλανθρωπίας πάλιν, σωθέντες ὑπάρχουσιν, ὡς οἶμαι, πάντες· ὅσοι τὸν βίον καθαρώτατον εἶχον· καὶ πᾶσαν πρᾶξιν ἀρίστην ἐπετέλουν, ἰσχνῶς βιοῦντες ἐγκρατῶς καὶ σωφρόνως· τὴν δέ γε πίστιν ἀκραιφνῆ τε καὶ θείαν οὐ κατέλαβον, μὴ γυμνασθέντες ὅλως· ἀλλ᾽ ἀδίδακτοι μείναντες τὸ παράπαν· τούτους ὁ πανταμίας δεσπότης πάντας εἵλκυσεν, ἐζώγρησε δικτύοις θείοις· καὶ τούτοις ὑπέκλινε πιστεῦσαι τούτῳ, λάμψας ἐπ᾽ αὐτοὺς τὰς θεϊκὰς ἀκτῖνας, καὶ δείξας αὐτοῖς τὸ φῶς τῆς ἀληθείας, οὐ γὰρ ἠνέσχετο ὁ συμπαθὴς τῇ φύσει εἰς κενὸν τούτων τοὺς κόπους γεγενῆσθαι· ἐκέκτηντο γὰρ ἐργωδέστατον βίον· ἐπίμοχθόν τε καὶ στενὸν ὑπὲρ λόγον, αὐτοκράτορες τῶν παθῶν γεγονότες, καὶ τῶν ἡδονῶν καταπτύσαντες ἅμα· ἀκτησίαν δὲ πᾶσαν ἐξησκηκότες, ἐγκράτειάν τε σὺν ἀγρυπνίᾳ πάλιν καὶ πᾶσαν ἁπλῶς ἀρίστην πολιτείαν· οὐκ εὐσεβῶς μὲν ἀλλ᾽ ὅμως διελθόντες τὴν ἀνώτατον πρόνοιαν, ὡς ἐδόκουν ἄριστα, σεβόμενοι πλὴν ἐσφαλμένως· εἰσὶ δέ τινες, οἵ καὶ τὴν θείαν δόξαν τῆς πανσθενουργοῦ κατέλαβον Τριάδος ἰσχνῶς, ἀμυδρῶς, ἀλλ᾽ ἐδόξασαν ὅμως· ἄλλοι δὲ τὴν σάρκωσιν εἶπον τοῦ λόγου, πάθη τὰ σεπτὰ καὶ τὴν ἔγερσιν τούτου· ἕτεροι δὲ γέννησιν τὴν ἐκ Παρθένου· ὀνομασίαν δὲ ταύτης προειπόντες· Μαρία γάρ φησιν ὄνομα τῇ κόρῃ· αὖθις ἔνιοι προκατέλεξαν πάσας τὰς ὑπερφυεῖς Χριστοῦ θαυματουργίας, τῶν νεκρῶν τε πηρῶν τε καὶ μογγιλάλων λεπρῶν καὶ κωφῶν καὶ τῶν πυρεκτιόντων· ὑδριόντων ἅμα καὶ ξηροχείρων· καὶ τῆς θαλάσσης τὸν περίπατον, ἔνθεν ἄρτων τὴν εὐλόγησιν καὶ τῶν ἰχθύων, μεταβολὴν ὕδατος αὖθις πρὸς οἶνον· αἱμορροούσης καὶ συγκυπτούσης ἄρσην, τὰς ῥώσεις προφήσαντες σὺν ἄλλοις πλείστοις· τούτους ἡ θεία τοῦ λόγου δυναστεία οὐκ ἠνέσχετο παριδεῖν ὀλωλότας, οὐδ᾽ ἀπολέσαι τὰς πράξεις τὰς ἀρίστας· τὸ γὰρ δανεισθὲν αὐτῶν τοῦ χρόνου πέρας, καθάπερ εἰρήκαμεν, οὐκ ἀμαυροῦται, ἀλλὰ φυλαχθὲν ἀποδίδοται πᾶσι, τοῖς καλῶς βιώσασι

μετὰ προσθήκης, οἱ δὲ μὴ βίον ὀρθὸν βεβιωκότες, ἢ σπόρον ἢ καρπὸν μηδόλως κεκτημένοι, ἀλλὰ καὶ βίῳ καὶ λόγῳ καὶ τῇ πίστει εἰς ἅπαν ὑπάρχοντες κατεσφαλμένοι, οὔτε τῆς βροχῆς τῆς θείας οὐρανόθεν χυθείσης αὐτοῖς ἐβλάστησαν καθόλου, οὐ γὰρ ἔφθην εἰπὼν ἔβαλον σπόρον, οὔτε λάμψαντος τοῦ τῆς δόξης ἡλίου, ἐπεπάνθησαν ὡς ἄκαρποι καθόλου· τούτους οὐκ ὀνίνησι Χριστὸς εἰς ἅπαν, οὐ συνήγειρεν, ὡς οἶμαι πεπτωκότας, ὡς ἀναξίους παντελῶς σωτηρίας, οὔτε μὴν ἐπίστευσαν αὐτῷ, δοκεῖ μοι· ἐπήρωσε γὰρ αὐτῶν τὰς διανοίας, καὶ τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς καρδίας ἡ τοῦ σκότους ἔπαρσις, ὁ πρῶτος δράκων, οὐ θεραπευταὶ γεγόνασιν ἐκ πρῴην, ἵνα βλέποντες μὴ βλέπωσιν ὡς θέμις, καὶ συνιόντες μὴ συνήσουσιν ὅλως· οἱ δ' ἄλλοι πάντες οἱ σπόρον ἐσχηκότες, ἐπεπάνθησαν, τοῦ ἡλίου φανέντος, ἐβλάστησάν τε, τῆς βροχῆς γεγονυίας· τούτους ἔσωσεν, ὡς ἡγοῦμαι, Χριστός μου, ὅτε κατῆλθεν ἐν Ἅδῃ, βουλήσει.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ψυχή. Πάντα καλῶς ἐδίδαξας, διδάσκαλε, ὡς οἶμαι,
καὶ ἀληθῆ καὶ βέβαια οὐκ ἀντιλέγω τούτοις,
ἀλλ' ἔχω ἕν τι ζήτημα, μεγίστην ἀπορίαν,
εἰπέ μοι τοῦτο φανερῶς, εἴπερ εἰπεῖν ἰσχύεις,
καὶ πῶς φθαρτὸν ἀπολιπὼν ἄφθαρτον δ' εὑρίσκων
τὸ σῶμα γοῦν τὸ ἴδιον ἕκαστος ἐπιγνοίη·
ἡ μὲν γὰρ ἔλιπε τυφλὸν ψυχὴ τὸ σῶμα ταύτης,
ἡ δὲ κωφὸν καὶ ἄλαλον, φρενόληπτόν τε ἄλλη,
ὁλόλεπρον, ὁλόψωρον, καὶ παρειμένον ἄλλη,
εὐνοῦχον ἄλλη καὶ ἰσχνὸν καὶ τεταριχευμένον
παχὺ μεστὸν καὶ πῖον τε ἄλλη σαρξί γε βρίθον
ἔλιπε σῶμα τὸ αὐτῆς· ἄχθος καὶ βάρος μέγα·
ἑτέρα δὲ ἀγένειον, δασύ τε πάλιν ἄλλη
ἑτέρα πάλιν θηλυκόν, ἄλλη δὲ τοῦτο ἄρρεν,
καὶ μαῦρον ἄλλη μελανόν, λευκὸν δὲ πάλιν ἄλλη,
ἄνευ ποδῶν, ἄνευ χειρῶν, ἀφῆκεν αὖθις ἄλλη,
καὶ βρέφος ἄλλη ἀτελὲς σμικρότατόν τε πάνυ,
καὶ γηραλέον ἄλλη δέ, σεσαθρωμένον πάντη
καὶ μαῦρον ἄλλη ταῖς θριξί, λευκὸν δὲ αὖθις ἄλλη
καὶ τὴν ἀνάστασιν, ὡς φής, καὶ διδάσκεις με, δούλη,

ἄλλον ἐξ ἄλλου γεγονός, ὡς ἔφθασας εἰπεῖν μοι,
καθ' ὁμοιότητα Ἀδάμ, πῶς γνωσθήσεται τότε,
μὴ ἔχον δὲ τὰ σύσσημα καὶ σχήματα ὡς πρῴην;

Σάρξ. Καὶ σύνες ὧδε, δέσποινα, τοῦ πράγματος τοῦ ξένου,
τότε μὴ ζήτει φυσικῆς ἀκολουθίας τάξιν,
ἀλλ' ὑπὲρ φύσιν ἅπαντα καὶ φαντάζου καὶ νόει,
ἐν τῷ δε γὰρ πεφύκασι τῷ βίῳ τὰ σημεῖα
καὶ πάθη καὶ συμπτώματα εἰς μόρια σωμάτων,
ὁμοίως καὶ τὰ σύσσημα, ἅπερ ἀπηριθμήσω·
ἐν δὲ τῷ μέλλοντι οὐδὲν ἐκ τούτων ἐκεῖ πέλει,
ἀλλὰ προνοίᾳ τοῦ Θεοῦ καὶ τῇ θελήσει τούτου,
σημεῖον γε δοθήσεται καὶ γνωρίσουσι πᾶσαι,
μία ἑκάστη τὸ αὐτῆς ἴδιον σῶμα τότε,
ὥσπερ δὴ καὶ τὰ πρόβατα τὰ ἴδια ἀρνία,
καὶ βρέφη ὑπομάζια τοὺς μαστοὺς τῶν μητέρων,
οὐκ ἐξ ἑτέρου οὐδενὸς οὐδ' ἀπὸ θεωρίας,
ἀλλ' ἐξ ὀσφρήσεως αὐτῆς γινώσκουσι καὶ μόνης,
πολλὰ παρόμοια εἰσὶν ἐν τοῖς ἄρνασι τοίνυν,
καὶ χίλια καὶ πλείονα εἶδον ἐγὼ πολλάκις,
ἀνήρχετο, κατήρχετο, πολλάκις καὶ πλειστάκις
ἡ μήτηρ ἐν τοῖς ἀρνάσι τὸ ἑαυτῆς ζητοῦσα,
καὶ πρὸς αὐτὴν ἀφίκοντο πολλὰ ἐκ τῶν ἀρνίων,
τινὸς οὐ παρεδέξατο οὐκ ἔθρεψεν οὐδένα,
ὀσφραινομένη ἅπαντα παρέτρεχε σπουδαίως,
ἄχρις ἂν εὗρεν ἡ αὐτὴ τὸ ἴδιον ἀρνίον,
παρόμοιος ὁ γνωρισμὸς τῶν ψυχῶν καὶ σωμάτων
τῷ τότε γε γενήσεται, προνοίᾳ τοῦ Χριστοῦ μου,
τοῦ μέλλοντος δοθήσεται ὑπ' αὐτοῦ γε σημείου,
ἔγωγε τοῦτο ἀγνοῶ· ἐκεῖνος μόνος οἶδε·
νοερᾶς οὔσης τῆς ψυχῆς κἀκεῖνο νοερόν γε,
οὐκ αἰσθητόν, οὐχ ὑλικόν, οἷα τὰ ὧδε πέλει·
ὁμοίως οὖν καὶ συγγενεῖς καὶ φίλοι πρὸς τοὺς φίλους,
ἀγνῶτές τε γνωρίσουσιν ἀλλήλους, φίλη, τότε,
καθὼς σοι τὸ παράδειγμα ὑπέδειξε, κυρία·
οἰέσθω γάρ τις μηδαμῶς, ὡς ὅτι γε οὐκ ἔστιν
ἑκάστου ἀναγνωρισμὸς πρὸς ἕκαστον τῷ τότε,
τῆς φοβερᾶς συναγωγῆς ἐπ' ἐκείνης καὶ πλήθους·

ναί, ὄντως ἀναγνωριεῖ ἕκαστος τὸν πλησίον,
οὐ σχήμασι τοῦ σώματος, οὐδ' ἀπὸ τῶν συσσήμων
ἀλλ' ὄμματι τῷ τῆς ψυχῆς διορατικωτάτῳ,
καθὰ δὴ καὶ προέφημεν πρὸ μικροῦ ἐν τῷ λόγῳ.

Ψυχή. Καὶ πόθεν τοῦτο γνώριμον ἀπαιτῶ σε, παιδίσκη,
τοῦ παραστῆσαι μάρτυρας καὶ πιστώσασθαι τοῦτο
εἰς σὲ γάρ, ὡς δούλην, ἀπιστῶ καὶ διστάζω, οἷς λέγεις,

Σάρξ. Λοιπόν, κυρία, ἄκουσον ἐν πρώτοις τοῦ Χριστοῦ μου
ἀναφανδὸν διδάσκοντος ἐν τοῖς Εὐαγγελίοις
ἐγνώρισεν ὁ πλούσιος τὸν Λάζαρον ἐκεῖνον
ἐν κόλποις τοῖς τοῦ Ἀβραὰμ καθήμενον ἐν μέσῳ,
ὡσαύτως καὶ τὸν Ἀβραὰμ τὸν μέγαν πατριάρχην·
καὶ αὖθις δὲ ἑτέρωθι φησὶ πρὸς Ἰουδαίους·
τὸν Ἀβραὰμ γὰρ ὄψεσθε καὶ Ἰσαὰκ τῷ τότε,
καὶ Ἰακὼβ καὶ ἅπαντας ὁμοίως τοὺς προφήτας
ἐν βασιλείᾳ τοῦ Θεοῦ· ὑμᾶς δὲ ἔξω ταύτης
ἐκβαλλομένους πόρρωθεν· καὶ μή τις ὑπολάβῃ
καὶ εἴπῃ παραβολικῶς ἐρρέθη τὸ τοιοῦτον,
καὶ τὸν σκοπὸν ἀπρόσδεκτον ὑπάρχειν ἐπὶ τούτοις·
αἱ θεῖαι γὰρ παραβολαὶ τοῦ Σωτῆρος, φιλότης,
εἰσὶν εἰκόνες ἀληθεῖς πραγμάτων ἐσομένων,
ἐνδεχομένων ἀπλανῶν, καὶ ἀποδεδειγμένων.

Ψυχή. Πιστότατος καὶ κάλλιστος ὁ μάρτυς οὗτος ἐστιν·
ἔχεις πρὸς τοῦτον ἕτερον καὶ ἄλλον συμφωνοῦντα;
καὶ συνῳδὰ φθεγγόμενον ἐπὶ τοῖς εἰρημένοις;

Σάρξ. Ἔχω κυρία μου πολλοὺς ἀλλ' οὐ δύναμαι πάντων
ἀρτίως φέρειν τὰ ῥητά, ὀκνῶ τοῦ γράφειν ταῦτα·
ὅμως καὶ τρεῖς καὶ τέσσαρας καὶ πέντε παραστήσω,
καὶ τὸ ῥητὸν τοῦ καθενὸς ἐνθάδε ἀναγράψω·
ὁ Ἰωάννης, ὁ Χρυσοῦς τὴν γλῶτταν, τάδε φάσκει.
οὐ μόνον γὰρ τοὺς ἐνταυθοῖ γνωρίμους γνωριοῦμεν,
ἀλλὰ καὶ οὓς μηδέποτε κατείδομεν εἰς θέαν,
τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας
προπάτορας, πατέρας τε καὶ πάππους ἐπὶ πάππους,
προφήτας, ἀποστόλους τε καὶ μάρτυρας Κυρίου·
τούτους ἰδοῦσα γνωριεῖς κατ' ἄνδρα καὶ κατ' εἶδος
ἐπὶ τῆς πανηγύρεως ἐκείνης τῆς μεγάλης.
καὶ αὖθις τὰ παρόμοια Βασίλειος ὁ μέγας,

διαλεγόμενος, φησί, πρὸς πλεονέκτας οὕτως·
οὐλήψῃ σου πρὸ ὀφθαλμῶν τοῦ Χριστοῦ σου τὸ βῆμα,
ὁπόταν σὲ κυκλώσωσι παραστάντες ἀθρόως
οἱ ἔγγιστα, οἱ πόρρωθεν, μικροί τε καὶ μεγάλοι,
ἠδικημένοι παρὰ σοῦ καταβοήσουσί σου·
ὅπου γὰρ ἂν τὸν ὀφθαλμὸν τῷ τότε περιάγῃς
θεάσῃ πάντως ἐναργῶς τῶν κακῶν τὰς εἰκόνας·
ἐντεῦθεν μὲν τοὺς ὀρφανοὺς ἐκεῖθεν δὲ τὰς χήρας·
ἑτέρωθι τοὺς πένητας, οὓς ἠδίκησας πάντας,
ἀλλά γε καὶ τοὺς γείτονας, οὓς παρώργιζες ὧδε·
πρὸς τούτοις ὁ Γρηγόριος ὁ θεολόγος ἔφη :
τότε, φησί, Καισάριον ὄψομαι λαμπροφόρον
κατ᾿ ὄναρ, οἷος ὤφθης μοι, ἀδελφῶν, φίλτατέ μοι·
Ἐφραὶμ δὲ ὁ θαυμάσιος οὗτος διδάσκει λέγων:
τότε, φησί, τοὺς ἑαυτῶν γονεῖς κατακρινοῦσιν,
ὡς ἔργα τάχα τὰ χρήματα μὴ διαπραξαμένους·
καὶ τοὺς γνωρίμους βλέπουσιν ἐν τῇ ὥρᾳ ἐκείνῃ
καὶ ὅταν τοίνυν ἐξ αὐτῶν ἴδωσι τινας, φεῦ μοι !
τοῖς δεξιοῖς γε μέρεσι καταταχθέντας τότε
θρηνοῦσι μὲν τὸν χωρισμόν, τὴν διάζευξιν τούτων.
ὁ δέ γε Ἀθανάσιὸς ὁ περίβλεπτος ἄγαν
τῆς Ἐκκλησίας πρόμαχος καὶ θεμέλιος ταύτης,
καὶ τοῦτο ὁ Θεὸς φησὶ τοῖς γε δικαίοις πᾶσι
κεχάρισται τὸν γνωρισμὸν τῆς κοινῆς καὶ καθόλου,
ψυχή μου, ἀναστάσεως τὸ συνεῖναι ἀλλήλοις
ἀγάλλεσθαι καὶ ἥδεσθαι εἰς αἰῶνα αἰῶνος·
ἐστέρηνται δ᾿ ἁμαρτωλοὶ παραμυθίας ταύτης,
οὐκ ἔχουσι τὸν γνωρισμὸν πρὸς ἀλλήλους τῷ τότε,
ἐξότου ἡ διαίρεσις ἐκ τῶν δικαίων ἔσται·
καθὼς αἱ πράξεις ἁπασῶν ἀνακεκαλυμμέναι,
οὕτω φησὶν τὰ πρόσωπα γνώριμα πᾶσιν εἶεν,
ἄχρις ὁ πάντων ἔσχατος χωρισμὸς πέρας λάβοι
καὶ ἕκαστος πεμφθήσεται εἰς τόπον τὸν οἰκεῖον
οἱ δίκαιοι μετὰ Θεοῦ ὁμοίως καὶ ἀλλήλων,
οἱ δέ γε γοῦν ἁμαρτωλοὶ ἐν τοῖς ἐκτόποις φεῦ μοι !
εἰ γὰρ καὶ συναμφότεροι ἀλλ᾿ ὅμως ἀγνωρίστως
καθὰ γάρ μοι προείρηται ἀπεστέρηνται πάντῃ

παραμυθίας τοιγαροῦν καὶ χάριτος τοιαύτης·
εἰμὴ γὰρ εὔδηλοι εἰσὶ τοῖς πᾶσιν οὗτοι τότε,
αἰσχύνη ποία ἔσεται τοῖς ὑπευθύνοις λέγε;
τότε γὰρ ἔσται χαλεπὴ αἰσχύνη καὶ μεγίστη,
ὁπόταν τις καὶ γνωριεῖ καὶ γνωρίζηται πάλιν·
ἅπας γὰρ αἰσχυνόμενος, ἐγνωκότας αἰδεῖται
ἀγνώστους δέ γε οὐδαμῶς· τυγχάνοντι ἀγνώστῳ
αἰσχύνη οὐ γενήσεται τῷ γε κατεγνωσμένῳ·
τοῦτο γὰρ ἀναμφίβολον καὶ ἀναντίρρητόν τε,
ὡς ἀριδήλως ἅπαντες ἀλλήλους γνωριοῦμεν·
ἐδέξω μου τοὺς μάρτυρας οὓς σοὶ παρέσχον πάντας
ἢ ἔτι πάλιν ὡς ἐμοί· ἠπίστησας καὶ τούτοις;

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Ψυχή. Οὐχί, θεράπαινα, οὐχί, οὐδόλως ἀμφιβάλω
ὅτι μου ἄγαν εὐφυῶς τὴν ἀπορίαν ταύτην
ἡρμήνευσας καὶ λέλυκας καὶ ἐπευχαριστῶ σοι·
πιστὴ γὰρ καὶ παναληθὴς τυγχάνει καὶ βεβαία
ἡ μαρτυρία τῶν πολλῶν ἀπὸ Χριστοῦ μανθάνω·
ἀρτίως δ' ἔχω ἕτερον ζήτημά τι καὶ ξένον
καὶ ἔχω τοῦτο ἐφετῶς διδαχθῆναι, παιδίσκη·
προέφης γάρ μοι ἄνωθεν ἐν τῷ λόγῳ, ὡς οἶμαι,
ὡς ὅτι ἀλλαγήσονται ἐν γοῦν τῇ ἀναστάσει·
ὁ οὐρανός τε καὶ ἡ γῆ εἰς πλάσιν θειοτέραν,
ὁμοίως καὶ τὰ σώματα τοῦ καθενὸς ἀνθρώπου
εἰς ἀφθαρσίαν καὶ αὐτὰ ἀλλαγήσονται τότε·
ἆρα ἐγώ, θεράπαινα, αὐτὴ ἔσομαι πάλιν
καθὼς ἀρτίως πέφυκα οὕτως ἔσομαι τότε;
τὸ τριμερὲς ἀχώριστον ἐσχηκυῖα κἀκεῖσε,
λογιστικὸν καὶ θυμικὸν καὶ ἐπιθυμητικόν τε;
ἆρα καὶ τότε ἐπ' αὐτῆς τῆς ταὐτότητος μείνω;
καὶ τριμερὴς συνέσομαι μετὰ σοῦ εἰς αἰῶνας;
καὶ αὖθις τὸ καθέκαστον ἐνεργεῖ τὰ οἰκεῖα;
ἐπιθυμίαν τε φημὶ καὶ τὸν θυμὸν ὡσαύτως;
εἰ μὲν καὶ τότε τὰ αὐτὰ ἐν ἐμοὶ καθορῶνται,
ἀθλία μοι καὶ οἴκτιστος ἡ ἀνάστασις ἔσται,

ὅτι καὶ πάλιν ἐμπαθὴς καὶ πάλιν βορβορώδης
καὶ πάλιν βέβηλος ἐγὼ ἔσομαι διὰ ταῦτα,
εἰ δὲ οὐκ ἔσται μετ' ἐμοῦ τὰ δύο ταῦτα μέρη
ἄρτιος πῶς γοῦν ἔσομαι ἀφαιρουμένη ταῦτα ;
τὸ γάρ τοι πάντες ἐλλειπές, ἄρτιον οὐ τυγχάνει·
καί, εἰ διχῇ τμηθήσομαι, οὐκ ἐγὼ εἰμὶ ὅλη,
ἀλλ' ἄλλη τις ἀτέλεστος καὶ ἐλλιπής, ὡς οἶσθα,
πλὴν ἀλλὰ πῶς τὸ ἄτμητον γενήσεται τμητόν γε ;
καὶ μέρη εἰς διάφορα μερισθήσεται τότε ;
εἰ γάρ, ὡς καὶ προείρηκας, δι' ἐμὲ πᾶς ὁ κόσμος
ἐκτίσθη τε καὶ γέγονεν ὁ ὁρώμενος οὗτος,
εἴπερ αὐτὸς καὶ κρείττονα μεταμειφθείη γε πλάσιν
καὶ φύσιν εἰς βελτίονα καὶ θειοτέραν τότε
φαιδρότερος, λαμπρότερος, μορφούμενος τῷ ὄντι
τοῦ κτίστου καὶ δημιουργοῦ τῇ βουλῇ καὶ θελήσει,
λοιπὸν ἐγώ, θεράπαινα, μεγάλως ἀδικοῦμαι,
εἴγε καὶ τότε ἔσομαι, οἵα καὶ νῦν ὑπάρχω,
καὶ αὔξησιν οὐ δέξομαι καὶ τιμηθῶ μειζόνως
καθὼς καὐτὴ θεράπαινα, ὡς εἶπας, δοξασθήσῃ
φθορᾶς γὰρ καὶ θνητότητος ἔσῃ, τῷ τότε, ξένη
καὶ ἄφθαρτος, ἀθάνατος, ἀείζωος γενήσῃ,
εἰ σάρκα γοῦν τὴν δούλην σε ὑπερφυῶς τιμήσει,
ὁ πλάστης, ὡς ὑπέσχετο, καὶ Θεὸς καὶ δεσπότης,
τήν γε δέσποιναν αὐτὴν (1) ἄτιμον καταλίποι ;
κάτω τὰ ἄνω ἔσονται, ὥσπερ τὰ κάτω ἄνω,
ἀναπλασθείσης γὰρ αὐτῆς ἀνάπλασιν τὴν ξένην
οὐ χρὴ τὴν δέσποιναν ἐμὲ οὕτως παρορασθῆναι,
ἀλλὰ τὴν ὄντως θαυμαστὴν ἀλλοίωσιν βελτίστην,
ἀλλοιωθῆναι δεῖ κἀμέ, βουλήσει τοῦ δεσπότου,
οἷα βασίλισσαν παντὸς τοῦ τῇδε κόσμου οὖσαν,
μεταμειφθείην καὶ αὐτὴ ὡς πάντων ὑπερτάτη,
ἐπείπερ μέλλει νεουργεῖν τὰ ἄψυχα στοιχεῖα
ναὶ μήν γε καὶ ἀναίσθητα καὶ ὑπουργά μου, δούλη,
μᾶλλον ἐμὲ ὡς λογικὴν αἰσθητικήν τε ἔδει·
εἰπὲ πρὸς ταῦτα, δούλη μου, καὶ τί με δεῖ ἐλπίζειν

(1) Ἐν ἄλλοις «τὴν δέ γε δέσποινα ἐμέ».

Σάρξ. Κυρία μου, καὶ δέσποινα, εἰς βάθος νοημάτων,
εἰς πέλαγος ἀπέραντον, ἀπέρριψάς με ἄρτι
δυσέφικτον, δυσνόητον, τὸ ζήτημά σου πέλει,
ἄλλον τινα ἐρώτησον τῶν ἐλλογίμων τοῦτο
ἐμὲ δὲ συγγνωμόνησον, ὡς ἄγροικον εἰς ἅπαν.

Ψυχή. Παρ' ἄλλου μὲν οὐ βούλομαι τοῦτο μαθεῖν, παιδίσκη,
σοῦ γὰρ παρούσης ἔγγιστα οὐ δεῖ περιϊέναι
καὶ ἐρωτῶν ἀνέλπιστα καὶ κοπιῶν εἰς μάτην,
εἰ δ' ἀπειθῆσαι βούλει μοι τραφῆναι, μὴ προσδόκα,
οὔτε βροτοῦ οὔτε ποτοῦ μεταλαβεῖν ἐάσω,
ἀλλ' οὐδ' ὁ κύων βέβρωκεν, ὡς οἶσθα, τὴν σκυτάλην.

Σάρξ. Καὶ πρόσχες ὧδε, δέσποινα, καὶ σύνες μου τοῖς λόγοις,
πάντως καὶ πρώην εἶπον σοι ὁμοίως δὲ καὶ ἄρτι,
τὸν κόσμον γὰρ ὁρατὸν καὶ νοητὸν ὡσαύτως
καὶ τὰ φαινόμενα ταυτί, ὅσα καὶ οἷα πέλει,
ὁ κτίστης καὶ δημιουργὸς διὰ σὲ παρεισῆξε
καὶ πάλιν ταῦτα διὰ σὲ νεουργήσει τῷ τότε,
πρὸς εὐαρέστησιν τὴν σὴν καὶ τιμήν τε καὶ δόξαν
καὶ εὐφροσύνην καὶ χαρὰν καὶ τερπνὴν θυμηδίαν
ἀναπλασθείσης γὰρ κἀμοῦ σὸν τὸ καύχημα ἔσται
ἡ γὰρ τιμὴ καὶ δόξα μου σὴ γενήσεται τότε,
καθὼς ἡ ἀτιμία μου σή γὲ καὶ ἄρτι πέλει,
τούτων γὰρ πάντων οὐδενὸς χρήζει Θεὸς τῶν τῇδε
οὔτε ἡλίου τῆς αὐγῆς οὔτ' οὐρανοῦ τοῦ κάλλους
οὔτε τῆς γῆς εὐπρέπειαν καὶ εἰσφορὰν παμπλείστην
ἀνενδεὴς γὰρ πάντων ὢν, τούτων οὐδόλως χρήζει,
σοὶ γοῦν κεχάρισται αὐτὰ καὶ νῦν καὶ εἰς τὸ μέλλον
λοιπόν, ἐπεὶ τὰ περὶ σὲ οὕτω δοξάσει τότε,
πόθεν γε μᾶλλον σε ψυχή, τὴν καὶ δέσποιναν τούτων,
ἀφαιρουμένων ἀπὸ σοῦ τῶν δύο μερῶν τούτων,
ἐπιθυμίας καὶ θυμοῦ τῶν συντρόφων σου λέγω,
συναφαιροῦνται ἅπαντα ῥιζόθεν παραυτίκα
τὰ ἐξ αὐτῶν τικτόμενα καὶ φυόμενα πάθη,
εἰ πάθη ὅλως λέγειν χρὴ εἴτε καὶ μή, κυρία,
καὶ ὀνομάζειν τὰ αὐτά, ὅπερ οὐκ ἔστιν οὕτως,
ἀλλ', ἔστιν ὅτε, τὰ αὐτὰ καὶ ἀρετὰς καλεῖσθαι
ὅτε καλῶς ὁ λογισμὸς ἡνιοχεῖ ταὐτάγε,

τὴν χρῆσιν τούτων τὴν καλὴν ἀρετὴν φαμὲν εἶναι,
τὴν δ' ἐσφαλμένην αὖθις τε κακίαν ἐκτελεῖσθαι,
τῷ τότε χόλος οὐκ ὀργὴ οὔτε θυμὸς παρῇ σοι,
οὐδέ γε κότος ὁπωσοῦν οὐδὲ μνησικακία
οὐ φόβος οὐ δειλία τε ἀλλ' οὔτ' ἀνδρείας χρεία
ζῆλος καὶ φθόνος οὐδαμοῦ· ἀπὸ σοῦ πόρρω ταῦτα,
ἐπιθυμία ἄλογος καὶ ἡδονὴ ὡσαύτως,
μητέρες τούτων πάντων γαρ τὰ προλεχθέντα δύο
ἀλλ' οὔτε οἴησις ἐν σοὶ οὔτε κενοδοξία
ἀλλ' οὔτε πίστις καὶ ἐλπίς, συναπέλθῃ γὰρ τούτοις·
ὡσαύτως μνήμη παύσεται οὐχ ἕξεις χρείαν ταύτης
τ' πέντε ταῦτα ἔκγονα τοῦ λογικοῦ τυγχάνει·
οὐ μέντοι γε τοῦ θυμικοῦ οὐδὲ ἐπιθυμίας·
ταῦτα γὰρ πάντα εἴχεται ἀπὸ σοῦ, ὡς προεῖπον,
τῶν ὀρεκτῶν τὸ ἔσχατον ἐξ ὅτου τις καὶ φθάσει
οὐχ ἕξει χρείαν οὐδενὸς τῶν προρρηθέντων ὅλως,
τὸν παλαιὸν γὰρ ἄνθρωπον ἐκδυσαμένη ὅλον
συνεκδυθείσῃ καὶ τ' αὐτοῦ αἴσχητε καὶ τὰ ῥύπη,
καὶ πρὸς ζωὴν τὴν ἀληθῆ καὶ πάλιν ἀναδράμῃς,
ἀγάπη μόνη σοι παρῇ, τῷ τότε, οὐδὲν ἄλλο,
ἐξ ὧνπερ ἔχομεν ὁμοῦ εἴτε ἰδίως ἄρτι·
οὐδὲ γὰρ ταῦτα φαίνεται σοὶ συνουσιωμένα,
οὐ γὰρ εἰσὶ τῆς λογικῆς φύσεως ταῦτα οὔκουν·
τῆς δὲ ἀλόγου ἴδια μᾶλλον δὲ καθορᾶται·
ἀλλὰ τὸν δόλιον ὁρῶν ἐχθρὸν καὶ μανιώδη,
καὶ πόλεμον, τὸν ὡς πρὸς σέ, ᾤκτειρέ σε ὁ κτίστης
καὶ ὥπλισεν, ἐνέδυσε πρὸς ἄμυναν τὴν τούτου,
τὰ δύο ταῦτα, δέσποινα, μήπως γυμνὴν εὑρίσκων
τιτρώσκῃ τε καὶ πλήττῃ σε, ὁσάκις γ' ἂν ἐθέλῃ·
πολέμου δέ, κυρία μου, ἐκεῖσε μηδὲν ὄντος,
ἀλλ' οὖν εἰρήνης σταθερᾶς, τίς ἡ χρεία τῶν ὅπλων,
οἱ γὰρ ἐχθροὶ ὀλοῦνται σου πανστρατὶ κατὰ κράτος,
ἐνθάδε γὰρ ἐστὶ τὸ πᾶν τῆς πάλης καὶ τῆς νίκης,
ἐκεῖ δὲ τούτων παύσεται τὸ κράτος καὶ τὸ θράσος
καὶ οὓς ἐνταῦθα δέδοικας καταγελάσῃ τότε,
εἰς τοῦ πυρὸς τὴν γέενναν ὁρῶσα βεβλημένους,
σὺ δ' ἕξεις τότε ἀμιγὲς καὶ ἰδιάζον ἅπαν,

τὸ λογικόν, κυρία μου, διανοητικόν τε,
μονοειδῆ τε καὶ ἁπλῆν θεοείκελον, δείξει·
τὸ κατ' εἰκόνα καθαρὸν τὸ πρῴην, ὥσπερ πρῴην,
οἷον ἀρχῆθεν ἔλαβες καὶ πάλιν ἀπολήψῃ
τὸ θεϊκὸν ἐμφύσημα ἤ τι τοῦτο νοεῖται,
εὐγενεστέρα γὰρ αὐτή, ἐνδοξοτέρα δ' αὖθις,
ὑπὲρ τὰς πάσας στρατιὰς φημὶ τὰς τῶν Ἀγγέλων
ὀφθήσῃ τότε, ὦ, ψυχή, ξένον καὶ τὸ ἀκοῦσαι,
φρικτότερον παράδοξον καὶ τὸ ἰδέσθαι μᾶλλον,
τὸ κατ' εἰκόνα γοῦν τινος γενόμενον, κυρία,
ἔχει πρὸς τὸ ἀρχέτυπον τὴν δι' ἁπάντων πάντως,
μενοῦν γε, ὡραιότητα τοῦ πρωτοτύπου ὅλην,
νοερὰν δὴ τοῦ νοεροῦ καὶ ἀσωμάτου αὖθις
ἀσώματον, παμφίλτατε, κατὰ πάντα ὁμοίως,
ὥσπερ ἐξηλλαγμένον δὴ ὄγκου παντὸς ἐκεῖνο,
καὶ πᾶσαν διαπέφευγε διαστηματικήν τε,
τοιγαροῦν, καταμέτρησιν ὁμοίως ὡς ἐκεῖνο,
κατὰ δὲ τὴν τῆς φύσεως ἰδιότητά μέντοι,
ἄλλο τι παρ' ἐκείνῳ γε, φημί, τῷ ἀρχετύπῳ,
νοοῦμεν κατὰ τὴν μορφὴν καὶ φύσιν καὶ οὐσίαν,
ἐκεῖνο ἐστίν, ἄκτιστον δὲ τοῦτο ἴσμεν,
οὐκέτι γὰρ ἂν ἡ εἰκών, εἰ δι' ἁπάντων ἔστι.
ταὐτὸν ἐκείνῳ δέσποινα· ἀλλ' ἐν οἷς καθορᾶται
ἐν τῇ ἀκτίστῳ φύσει γε· ἐκεῖνο, βέλτιστέ μοι,
ἐν τοις αὐτοῖς οὖν ἡ κτιστὴ φύσις δείκνυσι τοῦτο·
καὶ εἴπερ τοῦτο ἀληθές, ὡς ἀληθὲς καὶ ἔστιν·
ἆρα καὶ τί θελήσειας μείζονα ταύτης δόξαν,
ἢ ἄλλο τι ἐπιθυμεῖς κρεῖττον τούτου γενέσθαι,
συνῆκας ἄρτι δέσποινα καλῶς τὰ εἰρημένα
πεπίστευκας καὶ δέδεξαι ὡς ἀληθῆ ταῦτα γε ;
ἢ ὡς ψευδῆ σοι φαίνονται τὰ εἰρημένα πάντα
καὶ λῆρος ταῦτα σοὶ δοκεῖ ; ἐγὼ μέντοι οὐκ οἶμαι·
εἰπὲ πρὸς ταῦτα. δέσποινα, καὶ πῶς λελόγισταί σοι.

Ψυχή. Οὐχὶ θεράπαινα οὐχί, ἀλλ' ἡδέως, προθύμως,
ἀσμένως, γεγηθότως τε καὶ ἀσπασίως ταῦτα,
καὶ δέδεγμαι καὶ δέξομαι τὰ εἰρημένα γάρ σου
χαρμονικῶς, ὡς ὅτι μου τὸ ἄπορον ἐλύθη,

παιδίσκη μου, ὁ ἀπιστῶν ὅλως τὸ δόγμα τοῦτο
χριστιανὸς οὐ πέφυκεν, οὔτ' ὀρθόδοξος οὗτος
οὐδὲ μερίδα ὁπωσοῦν μετὰ Χριστοῦ μου ἕξει,
καὶ βασιλείας τῆς αὐτοῦ οὐ μεθέξει τῷ τότε,
ἀλλ' ἔστιν ὅλος ἄπιστος καὶ Σαδδουκαίου χείρων,
ἐγὼ δέ, χάριτι Χριστοῦ, πιστεύω ταῦτα οὕτως
καὶ εἶναι καὶ γενήσεσθαι καθὼς ἐδίδαξάς με,
οὐκ ἀπιστῶ τοῖς λόγοις σου, μὴ γένοιτό μοι τοῦτο,
πλὴν περὶ τούτου, τοῦτό σοι ἀντιβολῶ καὶ ἔτι,
ἵν' ὅπως φέρῃς Γραφικὴν μαρτυρίαν εἰς τοῦτο
καί, εἴπερ φαίη καὶ αὐτὴ τὸ δόγμα συνῳδά σοι,
τῷ τότε, μᾶλλον, ἔσεται βεβαιότερον τοῦτο·
ἀκράδαντον, ἑδραῖον τε, καλῶς ἐρηρεισμένον,
ἀλλ' οὖν τὰς λέξεις τῆς Γραφῆς μὴ μεταμείψῃ ὅλως,
καὶ διὰ στίχων φράσῃς μοι τὴν δύναμιν τὴν τούτων,
ἀλλ' οὖν γε αὗται, ὡς εἰσίν, οὕτω μοι φράσον ταῦτα.
Σάρξ. Καὶ ἄκουσον, κυρία μου, ὧδε μικρὸν καὶ πρόσχες
ἀνὴρ σοφός τις, ἅγιος, εὐγενής τε κατ' ἄμφω,
ἄλλον τινα ὑπέρσοφον τὴν ἐν Χριστῷ σοφίαν
ἤρετο ὄντως τὸν αὐτόν, περὶ ὧν συζητεῖς νῦν
τὸ τριμερὲς καὶ πῶς ἐστὶ τῆς ψυχῆς μαθεῖν θέλων
καὶ ἄρτι πρόσχες ἀκριβῶς τὴν τούτου πεῦσιν ὧδε.

Ἐρώτησις ἐκ τῶν Μακρινείων

Νοερὰν φασὶν εἶναι οὐσίαν τὴν ψυχήν, καὶ ὀργανικῷ σώματι ζωτικὴν δύναμιν πρὸς τὴν τῶν αἰσθήσεων ἰδιότητα ἐμποιεῖν· οὐ γὰρ μόνον περὶ τὴν ἐπιστημονικήν τε καὶ θεωρητικὴν διάνοιαν ἐνεργὸς ἐστὶν ἡμῶν ἡ ψυχὴ ἐν τῷ νοερῷ τῆς οὐσίας τὸ τοιοῦτον ἐργαζομένη· οὐδὲ τὰ αἰσθητήρια μόνα πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν οἰκονομεῖ, ἀλλὰ πολλὴ μὲν κατ' ἐπιθυμίαν, πολλὴ δὲ κατὰ θυμὸν κίνησις ἐνθεωρεῖται τῇ φύσει· ἑκατέρου δὲ τούτων γενικῶς ἡμῖν ἐνυπάρχοντος εἰς πολλάς τε καὶ ποικίλας διαφορὰς ὁρῶμεν προϊοῦσαν, ταῖς ἐνεργείαις ἀμφοτέρων. τὴν κίνησιν· πολλὰ μὲν γὰρ ἐστὶν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται· πολλὰ δὲ πάλιν ἀπὸ τῆς θυμοειδοῦς κινήσεως φύεται· καὶ οὐδὲν τούτου σῶμα ἐστί· τὸ δ' ἀσώματον νοεροῦ πάντως· νοερόν τι χρῆμα τὴν ψυχὴν ὁ ὁρισμὸς ἀπε-

φήνατο· ὥστε, δυοῖν ἀτόποιν, τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν τοῦ τοῦ λόγου. ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν ἡμῖν εἶναι ψυχὰς καὶ πλῆθος ψυχῶν ἀντὶ μιᾶς καθορᾶσθαι, ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψυχὴν οἴεσθαι· τὸ γὰρ νοερὸν ἐπίσης πᾶσιν ἐφαρμοζόμενον ἢ πάντα ψυχὰς ἀποδείξει ταῦτα· ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει.

Ἀπόκρισις

Πολλοῖς καὶ ἄλλοις ἤδη ἐζητημένον τὸν λόγον τοῦτον ἀκολούθως καὶ αὐτὸς ἐπεζήτησας· ὅτι ποτὲ χρὴ ταῦτα νομίζειν εἶναι, τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδές, εἴτε συνουσιωμένα τῇ ψυχῇ καὶ παρὰ τὴν πρώτην εὐθὺς κατασκευὴν συνυπάρχοντα, εἴτε τι ἄλλο παρ᾽ αὐτὴν εἶναι καὶ ὕστερον ἡμῖν ἐπιγενόμενα· τὸ μὲν γὰρ ἐνορᾶσθαι τῇ ψυχῇ ταῦτα, παρὰ πάντων ἐπίσης ὡμολόγηται· τὸ δὲ ὅτι χρὴ περὶ αὐτῶν οἴεσθαι, οὔπω δι᾽ ἀκριβείας εὗρεν ὁ λόγος, ὥστε βεβαίαν τὴν περὶ τούτων ἔχειν ὑπόληψιν, ἀλλ᾽ ἔτι διαφόροις οἱ πολλοὶ καὶ πεπλασμέναις δόξαις ἐπιδιστάζουσι ταῖς περὶ τούτων· ἡμεῖς δὲ παρόντες τὴν ἔξω φιλοσοφίαν, ποικίλην οὖσαν, μάρτυρα τὴν θεόπνευστον Γραφὴν ποιησώμεθα, ἢ μηδὲν ψυχῆς ἐξαίρετον νομίζειν εἶναι νομοθετεῖ, ὃ μὴ καὶ τῆς θείας ἐστὶ φύσεως ἴδιον· ὡς γὰρ ὁμοίωμα Θεοῦ τὴν ψυχὴν εἶναι οὕτω πᾶν ἀλλότριον ἐστὶ Θεοῦ ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψυχῆς ἀπεφήνατο· οὐδὲ γὰρ ἂν ἐν τοῖς παρηλλαγμένοις διασωθείη τὸ ὅμοιον· οὐκοῦν, ἐπειδὴ τοιοῦτον οὐδὲν τῇ θείᾳ συνθεωρεῖται φύσει, οὐδὲ τῇ ψυχῇ συνουσιῶσθαι ταῦτα καταλόγου ἄν τις ὑπονοήσειεν· τί οὖν ἐστὶν ὅ φαμέν· τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν εἶναι καὶ παρὰ τῶν ἔξω τοῦ λόγου τοῦ καθ᾽ ἡμᾶς μεμαρτύρηται· οὐκ ἂν οὕτω τοῦ ὁρισμοῦ τὴν φύσιν ἡμῶν ὑπογράφοντος· εἴπερ ἑώρα θυμόν τε καὶ ἐπιθυμίαν καὶ τὰ ἐξ αὐτῶν φυόμενα, συνουσιωμένα τῇ φύσει· οὐδὲ γὰρ ἐπ᾽ ἄλλου τινὸς ὅρου αὕτη ἀποδοίη τοῦ ὑποκειμένου τὸ κοινὸν ἀντὶ τοῦ ἰδίου λέγων, ἐπεὶ οὖν τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδὲς κατὰ τὸ ἴσον καὶ ἐπὶ τῆς ἀλόγου τε καὶ λογικῆς φύσεως καθορᾶται, οὐκ ἄν τις εὐλόγως ἐκ τοῦ κοινοῦ χαρακτηρίζει τὸ ἴδιον· ὃ δὲ πρὸς τῆς φύσεως ὑπογραφὴν περιττόν ἐστι καὶ ἀπόβλητον· πῶς ἔνεστιν ὡς μέρος τῆς φύσεως ἐπ᾽ ἀνατροπῇ τοῦ ὅρου τὴν ἰσχὺν ἔχειν· πᾶς γὰρ ὁ ὁρισμὸς τῆς οὐσίας πρὸς τὸ ἴδιον τοῦ ὑποκειμένου βλέ-

πει· ὅτι δ' ἂν ἔξω τοῦ ἰδιάζοντος ᾖ, ὡς ἀλλότριον παρορᾶται τοῦ ὅρου· ἀλλὰ μὴν ἡ κατὰ θυμόν τε καὶ ἐπιθυμίαν ἐνέργεια κοινὴ πάσης εἶναι τῆς ἀλόγου ὁμολογεῖται φύσεως· πᾶν δὲ τὸ κοινὸν οὐ ταὐτὸν ἐστὶ τῷ ἰδιάζοντι· ἀνάγκη ἐντούτοις εἶναι τοῦτο λογίζεσθαι, ἐν οἷς καὶ ἐξαίρετον ἡ ἀνθρωπίνη χαρακτηρίζεται φύσις, ἀλλ' ὥσπερ τὸ αἰσθητικόν τε καὶ θρεπτικὸν καὶ τὸ αὐξητικὸν ἐν ἡμῖν, τὶς εἰδὼς οὐκ ἀναλύει διὰ τούτων τὸν ἀποδοθέντα περὶ ψυχῆς ὅρον· οὐ γὰρ ἐπειδὴ τοῦτο ἐστὶν ἐν τῇ ψυχῇ ἐκεῖνο οὐκ ἔστιν, οὕτω καὶ τὰ περὶ θυμὸν καὶ τὴν ἐπιθυμίαν κατανοήσεις τῆς φύσεως ἡμῶν κινήματα οὐκ ἔτ' ἂν εὐλόγως τῷ ὅρῳ μάχοιτο ὡς ἐλλιπῶς ἐνδειξαμένῳ τὴν φύσιν· δῆλον οὖν ὅτι τῶν ἔξωθι ἐπιθεωρουμένων ἐστὶ ταῦτα· πάθη τῆς φύσεως ὄντα καὶ οὐκ οὐσία· ἡ μὲν γὰρ ἐστίν, ὅπερ ἐστί, θυμὸν δέ, ζέσιν εἶναι τοῦ περικαρδίου αἵματος τοῖς πολλοῖς δοκεῖ· ἑτέρῳ δὲ ὄρεξιν τοῦ ἀντιλυπῆσαι τὸν προκατάρξαντα ὡς δ' ἂν ἡμεῖς ὑπολαμβάνομεν, θυμὸς ἐστὶν ὁρμὴ τοῦ κακῶσαι τὸν παροξύναντα· ὧν οὐδὲν τῷ περὶ ψυχῆς ὅρῳ συμβαίνει· κἂν τὴν ἐπιθυμίαν ἐφ' ἑαυτὴν ὁρισώμεθα, ἔφεσιν λέξομεν τοῦ ἐνδέοντος ἢ πόθου τῆς καθ' ἡδονὴν ἀπολαύσεως ἢ λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ὄντι καταθυμίῳ· ἢ τινὰ πρὸς τὸ ἡδὺ σχέσιν, οὗ μὴ πάρεστιν ἡ ἀπόλαυσις· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τὴν μὲν ἐπιθυμίαν ἐνδείκνυται τοῦ δὲ ὁρισμοῦ τοῦ περὶ ψυχῆς οὐ προσάπτεται, ἀλλὰ καὶ ὅσα ἄλλα περὶ τὴν ψυχὴν καθορᾶται τὰ ἐξ ἀντιθέτου ἀλλήλοις ὁρώμενα, οἷον δειλίαν καὶ θράσος, λύπην καὶ ἡδονήν, φθόνον, καὶ καταφρόνησιν καὶ ὅσα τοιαῦτα, ὧν ἕκαστον συγγενῶς μὲν ἔχειν δοκεῖ πρὸς τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδές; ἰδιάζοντι δὲ ὅρῳ τὴν ἰδίαν ὑπογράφει φύσιν ἅπερ πάντα καὶ περὶ τὴν ψυχὴν ἔστι καὶ ψυχὴ οὐκ ἔστιν ἀλλ' οἷον μυρμηκίῳ τινες τοῦ διανοητικοῦ μέρους τῆς ψυχῆς ἐκφυόμεναι· ἃ μέρη μὲν αὐτῆς εἶναι διὰ τὸ προσπεφυκέναι νομίζεται· οὐ μὴν ἐκεῖνο εἶναι, ὅπερ ἐστιν ἡ ψυχὴ κατ' οὐσίαν· φαμὲν γὰρ τῆς ψυχῆς τὴν μὲν θεωρητικήν τε καί, διακριτικὴν καὶ τῶν ὄντων ἐποπτικὴν δύναμιν οἰκείαν εἶναι κατὰ φύσιν αὐτῆς καὶ τῆς θεοειδοῦς χάριτος διὰ τούτων σῴζειν ἐν ἑαυτῇ τὴν εἰκόνα. Ἐπεὶ καὶ τὸ θεῖον ὅτι ποτὲ κατὰ φύσιν ἐστὶν ἐν τούτοις εἶναι ὁ λογισμὸς στοχάζεται, ἐν τῷ ἐφορᾶν τε τὰ πάντα καὶ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος· ὅσα δὲ τῆς ψυχῆς ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιρρεπῶς κατὰ τὴν ἰδίαν ἔχοντα φύσιν, ὧν ἡ ποιὰ χρῆσις ἢ πρὸς τὸ καλὸν ἢ πρὸς τοὐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμὸν ἢ τὸν φόβον ἢ

εἴ τι τὸ τοιοῦτον τῶν ἐν τῇ ψυχῇ κινημάτων ἐστίν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν ταῦτα ἔξωθεν ἐπιγεγενῆσθαι αὐτῇ λογιζόμεθα διὰ τὸ τῷ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρηθῆναι χαρακτῆρα· ἃ οὐχὶ πάντες ἐπὶ κακῷ τινι τῇ ἀνθρωπίνῃ συνεκληρώθη ζωῇ· ἢ γὰρ ἂν ὁ δημιουργὸς τῶν κακῶν τὴν αἰτίαν ἔχῃ, εἰ ἐκεῖθεν αἱ τῶν πλημμελημάτων ἀνάγκαι συγκαταβεβλημέναι ἦσαν τῇ φύσει· ἀλλὰ τῇ ποιᾷ χρήσει τῆς προαιρέσεως ἢ ἀρετῆς ἢ κακίας ὄργανα τὰ τοιαῦτα τῆς ψυχῆς κινήματα γίνεται, καθάπερ ὁ σίδηρος κατὰ γνώμην τοῦ τεχνίτου τυπτόμενος, πρὸς ὅπερ ἂν ἐθέλῃ τοῦ τεχνιτεύοντος ἡ ἐνθύμησις, πρὸς τοῦτο καὶ σχηματίζεται· ἢ ξίφος ἤ τι γεωργικὸν ἐργαλεῖον γινόμενος τοῦ μὲν φόβον τὸν ὑπήκοον ἐμποιοῦντος τοῦ δὲ θυμοῦ τὸ ἀνδρεῖον, τῆς δειλίας δὲ τὴν ἀσφάλειαν, τῆς δὲ ἐπιθυμητικῆς ὁρμῆς, τὴν θείαν τε καὶ ἀκήρατον ἡδονὴν ἡμῖν προξενούσης· εἰ δὲ ἀποβάλλοι τὰς ἡνίας ὁ λόγος καὶ οἷον τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπιν ὑπ᾽ αὐτοῦ σύροιτο ἐκεῖ ἀπαγόμενος, ὅπου περ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ· οἷονδὴ καὶ ἐν τοῖς ἀλόγοις ἐστὶν ἰδεῖν ἐπειδὴ οὐκ ἐπιστατεῖ ὁ λογισμὸς τῆς φυσικῶς αὐτοῖς ἐγκειμένης κινήσεως ἀλλ᾽ ὅταν μὲν αὐτοῖς πρὸς τὸ κρεῖττον ἡ κίνησις ᾖ, ἐπαίνων γίνεσθαι ὕλην ταῦτα· ὡς τῷ Δανιὴλ τὴν ἐπιθυμίαν καὶ τῷ Φινεὲς τὸν θυμὸν καὶ τῷ καλῶς πενθοῦντι τὴν λύπην· εἰ δὲ πρὸς τὸ χεῖρον ἡ ῥοπὴ γένηται, τότε εἰς πάθος αἱ ὁρμαὶ καταστρέφονται· καὶ γίνονται καὶ ὀνομάζονται· τὸ δὲ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιον ἐστὶ τοῦ θεοειδοῦς τῆς ψυχῆς. Ἐπεὶ καὶ τὸ θεῖον ἐν τούτοις καταλαμβάνομεν· εἰ τοίνυν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειε τῷ καλῷ πάντως ἔσται· καλὸν δὲ τῇ ἑαυτοῦ φύσει τὸ θεῖον πρὸς ὃ, διὰ τῆς καθαρότητος, τὴν συνάφειαν ἕξει τῷ οἰκείῳ συναπτομένη· εἰ οὖν τοῦτο γένοιτο οὐκέτι ἐστὶ χρεία τῆς κατ᾽ ἐπιθυμίαν κινήσεως ἢ πρὸς τὸ καλὸν ἡμῖν ἡγεμονεύσει· ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτὸς ἔσται, εἰ δὲ ἐν φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις· ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ ἔωλον τὴν ἐπιθυμίαν ἐργάζεται· ἅτε μηδενὸς ἔχουσα ἐνδεῶς τῶν πρὸς τὸ ἀγαθὸν νοουμένων· αὐτὴ τῶν ἀγαθῶν οὖσα τὸ πλήρωμα· οὐδὲ κατὰ μετοχὴν καλοῦ τινος ἐν τῷ καλῷ γινομένη· ἀλλ᾽ αὐτὴ οὖσα ἡ τοῦ καλοῦ φύσις· ὅτι ποτὲ καὶ εἶναι τὸ καλὸν ὁ νοῦς ὑποτίθεται, οὔτε τὴν ἐλπιστικὴν κίνησιν ἐν ἑαυτῇ δέχεται· πρὸς γὰρ τὸ παρὸν ἡ ἐλπὶς ἐνεργεῖται μόνον· ὃ δὲ ἔχει τις, τί καὶ ἐλπί-

ζει, φησιν ὁ Ἀπόστολος· ἀλλ' οὔτε τῆς μνημονευτικῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων ἐπιστήμων ἐνδεὴς ἐστί. Τὸ γὰρ βλεπόμενον τοῦ μνημονευθῆναι οὐκ ἐπιδέεται· ἐπειδὴ οὖν παντὸς ἀγαθοῦ ἐπέκεινα ἡ θεία φύσις, τὸ δ' ἀγαθὸν ἀγαθῷ φίλον, πάντως διὰ τοῦτο ἐν ἑαυτῇ βλέπουσα καὶ ὃ ἔχει θέλει, καὶ ὃ θέλει ἔχει, οὐδὲν τὴν ἔξωθεν εἰς ἑαυτὴν δεχομένη, ἔξω δὲ αὐτῆς οὐδὲν ὅ,τι μὴ ἡ κακία μόνη, ἥτις κἂν παράδοξον εἰπεῖν ᾖ, ἐν τῷ μὴ εἶναι, τὸ εἶναι ἔχει· οὐ γὰρ ἄλλο τί ἐστί κακίας γέννεσις, εἰμὴ ἡ τοῦ ὄντος στέρησις· τὸ δὲ κυρίως ὄν, ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν· ἐπειδὰν οὖν καὶ ἡ ψυχὴ πάντα τὰ ποικίλα τῆς φύσεως ἀπεσκευασμένη κινήματα θεοειδὴς γένηται· καὶ ὑπερβᾶσα τὴν ἐπιθυμίαν ἐν ἐκείνῳ ᾖ, πρὸς ὃ ὑπὸ τῆς ἐπιθυμίας τέως ἐπήρετο· οὐκέτι τινὰ σχολὴν δίδωσιν ἐν ἑαυτῇ οὔτε τῇ ἐλπίδι οὔτε τῇ μνήμῃ· τὸ μὲν γὰρ ἐλπιζόμενον ἔχει· τῇ δὲ περὶ τὴν ἀπόλαυσιν ἀσχολίᾳ τῶν ἀγαθῶν τὴν μνήμην ἐκκρούει τῆς διαννοίας· καὶ οὕτως τὴν ὑπερέχουσαν μιμεῖται ζωήν, τοῖς ἰδιώμασι τῆς θείας φύσεως ἐμμορφωθεῖσα· ὡς μηδὲν ὑπολειφθῆναι τῶν ἄλλων αὐτῇ πάντων, πλὴν τῆς ἀγαπητικῆς διαθέσεως φυσικῶς τῷ καλῷ προσφυομένης· τοῦτο γὰρ ἐστὶν ἡ ἀγάπη, ἡ πρὸς τὸ καταθύμιον ἐνδιάθετος σχέσις· ὅταν οὖν ἁπλῆ καὶ μονοειδής, καὶ ἀκριβῶς θεοείκελος ἡ ψυχὴ γενομένη, εὕρῃ τὸ ἀληθῶς ἁπλοῦν τε καὶ ἄϋλον ἀγαθὸν ἐκεῖνο τὸ μόνον ἀγαπητὸν καὶ ἐράσμιον, προσφύεταί τε αὐτῷ καὶ συνανακιρνᾶται διὸ τῆς ἀγαπητικῆς κινήσεώς τε καὶ ἐνεργείας πρὸς τὸ ἂν (ὂν) καταλαμβανόμενόν τε καὶ εὑρισκόμενον ἑαυτὴν μορφοῦσα· καὶ τοῦτο γινομένη διὰ τῆς τοῦ ἀγαθοῦ ὁμοιότητος, ὅπερ ἡ τοῦ μετεχομένου φύσις ἐστίν· ἐπιθυμίας δὲ ἐν ἐκείνῳ μὴ οὔσης, διὰ τὸ μηδέ τινος τῶν ἀγαθῶν ἔνδειαν ἐν ἑαυτῷ εἶναι, ἀκόλουθον ἂν εἴη καὶ τὴν ψυχὴν ἐν τῷ ἀνενδεεῖ γινομένην ἐκβαλεῖν ἀφ' ἑαυτῆς καὶ τὴν ἐπιθυμητικὴν κίνησίν τε καὶ διάθεσιν· τοῦ δὲ τοιούτου δόγματος καὶ θεῖος Ἀπόστολος ἡμῖν καθηγήσατο· πάντων τῶν νῦν ἐν ἡμῖν καὶ κρείττονι θαυμαζομένων, παῦλάν τινα καὶ καταστολὴν προαγγείλας, μόνης τῆς ἀγάπης οὐχ εὗρε τὸν ὅρον· προφητεῖαι γὰρ φησὶ καταργηθήσονται, καὶ γνώσεις παύσονται· ἡ δὲ ἀγάπη οὐδέποτε ἐκπίπτει, ὅπερ ἴσον ἐστὶ τῷ ἀεὶ ὡσαύτως ἔχειν· ἀλλὰ πίστιν καὶ συμπαραμεμενηκέναι τῇ ἀγάπῃ λέγων, πάλιν καὶ τούτων αὐτὴν ὑπερτίθησιν εἰκότως· ἡ γὰρ ἐλπὶς μέχρις ἐκείνου κινεῖται, ἕως ἂν μὴ παρῇ ἡ τῶν ἐλπιζομένων ἀπόλαυσις, καὶ ἡ πίστις ὡσαύτως ἔρεισμα τῆς τῶν ἐλπιζομένων ἀδηλίας γίνεται· οὕτω γὰρ καὶ αὐτὴν ὡρίσατο λέγων·

ἡ δὲ πίστις ἐλπιζομένων ὑπόστασις· ἐπειδ' ἂν δὲ ἔλθῃ τὸ ἐλπιζόμενον, τῶν ἄλλων ἠρεμούντων πάντων, ἡ κατὰ τὴν ἀγάπην ἐνέργεια μένει τὸ διαδεχόμενον αὐτὴν οὐχ εὑρίσκουσα· διὸ καὶ προτερεύει τῶν τε κατ' ἀρετὴν κατορθουμένων ἁπάντων, καὶ τῶν τοῦ νόμου παραγγελμάτων· εἰ οὖν ἐπὶ τοῦτο ποτὲ τὸ τέλος φθάσειεν ἡ ψυχή, ἀνενδεῶς ἕξει τῶν ἄλλων· ἅτε δὴ τοῦ πληρώματος περιδεδραγμένη τῶν ὄντων· τῆς γὰρ ἐν τῷ παρόντι ζωῆς ποικίλως τε καὶ πολυειδῶς ἡμῖν ἐνεργούσης πολλὰ μὲν ἐστίν, ὧν χρήζομεν καὶ μετέχομεν, οἷον χρόνου, ἀέρος, καὶ τόπου, βρώσεως τε καὶ πόσεως, καὶ σκευασμάτων καὶ ἡλίου καὶ λύχνου καὶ ἄλλων πρὸς τὴν χρείαν τοῦ βίου πολλῶν· ἡ δὲ προσδοκωμένη μακαριότης τούτων μὲν οὐδενὸς ἐστὶν ἐπιδεῶς πάντα δὲ ἡμῖν καὶ ἀντὶ πάντων ἡ θεία φύσις γενήσεται πρὸς πᾶσαν χρείαν τῆς ζωῆς ἐκείνης τῆς μελλούσης ἑαυτὴν ἁρμοδίως ἐπιμερίζουσα καὶ τοῦτο δῆλον ἐκ τῶν θείων λογίων τοῦ Πνεύματος· ὅτι καὶ τόπος γίνεται ὁ Θεὸς τοῖς ἀξίοις καὶ οἶκος καὶ ἔνδυμα καὶ τροφὴ καὶ πόσις καὶ φῶς καὶ πλοῦτος καὶ βασιλεία καὶ πᾶν νόημά τε καὶ ὄνομα, πρὸς τὴν τῶν ἀγαθῶν ἡμῖν ζωὴν συντελοῦν.

Σάρξ. Ἰδού σοι τὸ ἐπίταγμα πεπλήρωκα, κυρία,
καὶ προσαγήοχα λοιπὸν Γραφικὴν μαρτυρίαν
ὡς εἶπας, ὡς ἐπέταξας, καθὼς καὶ ᾔτησάς με
καὶ οὔτε λέξιν ἤμειψα μεταφράσας ποσῶς γε,
ἀλλ', ἴσθι, κέκμηκα πολλὰ ἐπιμελῶς ζητοῦσα,
καὶ τὰ βιβλία ψηλαφῶν ἐμπόνως ἀνηρευνῶν,
ἵν' ὅπως εὕρω, ὡς ὁρᾷς, τήνδε τὴν μαρτυρίαν·
εἰπὲ πρὸς ταῦτα, δέσποινα, καὶ πῶς ἐδέξω ταύτην
μή τι ἐγὼ ἀσύμφωνα εἴρηκα παρὰ ταῦτα ;

Ψυχή. Οὐχί, θεράπαινα, οὐχί, μὴ οἴου τοῦτο ὅλως,
εἰσὶ καὶ μάλα ἐμφερῆ καὶ ἀδελφὰ εἰς πάντα,
καὶ ἄρτι πέλει βέβαιον ἄρτι ἐρηρεισμένον
τὸ δόγμα σου, ὡς δέδεικται, καὶ πάγιον εἰς ἅπαν,
καὶ ἀναντίρρητον τουτὶ πρὸς λαὸν ἀπειθοῦντα·
ἀλλ' οὗτος ὁ φιλόπονος, ὅστις δ' ἂν καὶ ὑπάρχῃ,
ἐπὰν τοιοῦτον ζήτημα ὑψηλόντε καὶ μέγα
ἐζήτησε πρὸς τὸ μαθεῖν, τὸ τριμερὲς δὴ λέγω,
τὸ τῆς ψυχῆς καὶ πῶς ἐστὶ καὶ ἐδιδάχθη τοῦτο
ὑπολαμβάνω ὅτι περ ἤρετό τι καὶ ἄλλο,

ἐκεῖνον τὸν ὑπέρσοφον, Γραφικόν τι πρὸς τούτῳ·
εἰπὲ κἀκεῖνο, δούλη μου, εἰπέ, μὴ ἀποκρύψῃς,
μεγάλως μὲ ὠφέλησας ἐπὶ τοῖς προλεχθεῖσιν,
εἰδ' οὐ θελήσεις τοῦτο γε εἰπεῖν μοι, ὦ παιδίσκη,
τὸ κρίμα ἅπαν ἔσεται ἐπὶ τὴν κεφαλήν σου.

Σάρξ. Πολλὰ μὲν ἤρετο αὐτοῦ περὶ ψυχῆς, κυρία,
ἐπωφελῆ παρόμοια καὶ ἄγαν ἀναγκαῖα,
ἀλλὰ παρείσθωσαν αὐτά, ἓν δέ σοι μόνον εἴπω,
ὅπερ γε ἤρετο αὐτὸν ἔσχατον πάντων τότε
πρὸς τὸ τῆς ἀναστάσεως δόγμα μαθεῖν θελήσας
καὶ πρόσχες ὧδέ μοι καλῶς τὴν πεῦσιν τούτου ἄρτι,
οὐ παραλλάξω σοι ῥητὸν ὅλως μικρὸν ἢ μέγα
ἔχει δ' ἡ λέξις τουτωνὶ ἐν προοιμίοις οὕτως,
μαθεῖν εἴ γε θελήσειας τὸ οἷοι καὶ πηλίκοι
μέλλομεν πάντες ἄνθρωποι ἀναστῆναι τῷ τότε,
εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ παρουσίαν
τὴν ἐνταυθοῖ, προσεκτικῶς ἀνάγνωθι καὶ γνοίῃς.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Ἐρώτησις ἐκ τῶν Μακρινείων.

Τῷ γὰρ ἔσεσθαι ποτὲ τὴν ἀνάστασιν καὶ τὸ ὑπαχθῆναι τῇ ἀδεκάστῳ κρίσει τὸν ἄνθρωπον, διά τε τῶν Γραφικῶν ἀποδείξεων καὶ τῶν ἤδη προεξητασμένων οἱ πολλοὶ τῶν ἀκουόντων συνθήσονται. Ὑπόλοιπον ἂν εἴη σκοπεῖν, εἰ πρὸς τὸ νῦν ὄν καὶ τὸ ἐλπιζόμενον ἔσται· ὅπερ εἰ οὕτως εἴη, φευκτὴν εἶπον τοῖς ἀνθρώποις τὴν ἐλπίδα τῆς ἀναστάσεως εἶναι· εἰ γὰρ οἷα γίνεται λήγοντα τοῦ ζῆν τὰ ἀνθρώπινα σώματα τοιαῦτα τῇ ζωῇ πάλιν ἀποκαθίσταται, ἆρα τίς ἀτέλεστος συμφορὰ διὰ τῆς ἀναστάσεως ἐλπίζεται· τί γὰρ ἐλεεινότερον γένοιτο θέαμα ὅταν ἐν ἐσχάτῳ γήρᾳ κατερρικνωθέντα τὰ σώματα μεταποιηθῇ πρὸς τὸ εἰδεχθές τε καὶ ἄμορφον, τῆς σαρκὸς αὐτῆς ἀναλωθείσης τῷ χρόνῳ· ῥυσσοῦ δὲ τοῖς ὀστέοις περιεσκληκότος τοῦ δέρματος τῶν τε δὴ νεύρων συνεσπασμένων διὰ τὸ μηκέτι τῇ φυσικῇ ἰκμάδι ὑποπιαίνεσθαι, καὶ διὰ τοῦτο παντὸς συνελκομένου τοῦ σώματος, ἄτονόν τε καὶ ἐλεεινὸν θέαμα γίνεται· τῆς μὲν κεφαλῆς ἐπὶ τὸ γόνυ συγκεκλιμένης, τῆς δὲ χειρὸς ἔνθεν καὶ ἔνθεν, πρὸς μὲν τὴν κατὰ φύσιν

ἐνέργειαν ἀπρακτούσης, ἐν τρόμῳ δὲ κατὰ τὸ ἀκούσιον ἀεὶ κραδαινομένης· οἷα δὲ πάλιν τῶν ταῖς χρονίαις νόσοις ἐκτετηκότων τὰ σώματα, ἃ τόσῳ διαφέρει τῶν γυμνωθέντων ὀστέων, ὅσῳ ἐπικεκαλύφθαι δοκεῖν λεπτῷ καὶ ἐνδεδαπανημένῳ ἤδη τῷ δέρματι· οἷα δὲ κάτω τῶν ἐν ταῖς ὑδερικαῖς ἀρρωστίαις ἐξῳδηκότων· τῶν δὲ τῇ ἱερᾷ νόσῳ κεκρατημένων τὴν ἀσχήμονα λώβην τίς ἂν ὑπ' ὄψιν ἀγάγοι λόγος· ὡς κατ' ὀλίγον αὐτοῖς πάντα τὰ μέλη τὰ ὀργανικά τε καὶ αἰσθητήρια προϊοῦσα ἡ σηπεδὼν ἐπιβόσκεται· τῶν δὲ ἐν σεισμοῖς ἢ πολέμοις ἢ ἐξ ἑτέρας τινος αἰτίας ἠκρωτηριασμένων, καὶ πρὸ τοῦ θανάτου χρόνον τινα, τῇ συμφορᾷ ταύτῃ, ἐπιβιούντων· ἢ τῶν ἀπὸ γενέσεως λώβῃ τινί, συναποτελεσθέντων ἐνδιαστρόφοις τοῖς μέλεσι τί ἂν τις λέγοι ; περὶ δὲ τῶν ἀρτιγενῶν νηπίων τῶν τε ἐκτιθεμένων καὶ τῶν καταπνιγομένων καὶ τῶν κατὰ τὸ αὐτόματον ἀπολλυμένων τί ἐστὶ λογίσασθαι, εἰ τοιαῦτα πάλιν πρὸς τὴν ζωὴν ἐπανάγοιτο ; ἆρα ἐναπομείνῃ τῇ νηπιότητι ; καὶ τί ἀθλιώτερον· ἀλλ' ἐπὶ τὸ μέτρον ἥξει τῆς ἡλικίας ; καὶ ποίῳ γάλακτι ; πάλιν ἡ φύσις αὐτὰ τιθηνήσεται ; ὥστε εἰ μὲν διὰ πάντων ταὐτοῦ ἡμῖν τὸ σῶμα πάλιν ἐπιβιώσεται, συμφορὰ ἐστὶ τὸ προσδοκώμενον· εἰ δὲ μὴ ταὐτὸν ἄλλος τις ὁ ἐγειρόμενος ἔσται παρὰ τὸν κείμενον· εἰ γὰρ πέπτωκε μὲν τὸ παιδίον ἀνίσταται δὲ τέλειος, ἢ τὸ ἔμπαλιν· πῶς ἐστὶν εἰπεῖν αὐτὸν ἀνορθῶσθαι τὸν κείμενον, ἐν τῇ τῆς ἡλικίας διαφορᾷ τοῦ πεπτωκότος ὑπηλλαγμένου ὄντος ; καὶ ἀντὶ τοῦ πρεσβυτέρου τὸν ἀκμαῖον τις ὁρῶν ἕτερον ἀνθ' ἑτέρου οἰήσεται· καὶ ἀντὶ τοῦ λελωβημένου τὸν ἄρτιον, καὶ ἀντὶ τοῦ ἐκτετηκότος τὸν εὔσαρκον καὶ τἄλλα πάντα ὡσαύτως ἵνα μὴ τὰ καθέκαστον τις διεξιὼν ὄχλον ἐπεισάγοι τῷ λόγῳ· εἰμὴ τοιοῦτον ἀναβιῷ τὸ σῶμα πάλιν οἷον ἦν ὅτε τῇ γῇ κατεμίγνυτο, οὐ τὸ τεθνηκὸς ἀναστήσεται, τί οὖν πρὸς ἐμὲ ἡ ἀνάστασις, εἰ ἀντ' ἐμοῦ ἄλλος ἀναβιώσεται ; πῶς γὰρ ἂν ἐπιγνοίην αὐτὸς ἐμαυτὸν οὐ βλέπων ἐν ἐμαυτῷ ἐμαυτόν, οὐ γὰρ εἴην ἀληθῶς ἐγώ, εἰμὴ δι' ἁπάντων εἴην ὁ αὐτὸς ἐμαυτῷ· καθάπερ γὰρ ἐπὶ τὸν παρόντα βίον, εἴτινος ἔχοιμι διὰ μνήμης τὸν χαρακτῆρα, ὑποκείσθω δὲ κατὰ τὸν λόγον ψελλὸς ὁ τοιοῦτος εἶναι· προχειλής, ὑπόσημος, λευκόχρους, γλαυκόμματος, ἐν πολιᾷ τῇ τριχί, καὶ ρυσσῷ τῷ σώματι, εἶτα ζητῶν τὸν τοιοῦτον ἐντύχοιμι νέῳ, κομήτῃ, γρυπῷ, μελανόχροϊ, κατὰ λοιπὰ πάντα τοῦ κατὰ τὴν μορφὴν χαρακτῆρος ἑτέρως ἔχοντι, ἆρα τοῦτον ἰδὼν ἐκεῖνον οἰήσομαι ; μᾶλλον δέ, εἰ χρὴ ταῖς ἐλάττοσι τῶν ἐνστάσεων ἐνδιατρίβειν τῶν

ἰσχυροτέρων ἀφέμενον, τίς οὐκ οἶδεν ὅτι ῥοῇ τινὶ προσέοικεν ἡ ἀνθρωπίνη φύσις· ἀπὸ γεννέσεως εἰς θάνατον διά τινος κινήσεως προϊοῦσα· τότε τῆς κινήσεως λήγουσα ὅταν καὶ τοῦ εἶναι παύσηται· ἡ δὲ κίνησις αὕτη, οὐ τοπική τις ἐστὶ μετάστασις· οὐ γὰρ ἐκβαίνει ἑαυτὴν ἡ φύσις, ἀλλὰ δι' ἀλλοιώσεως ἔχει τὴν πρόοδον· ἡ δὲ ἀλλοίωσις, ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένει· πῶς γὰρ ἂν ἐν ταὐτότητι φυλαχθείη τὸ ἀλλοιούμενον· ἀλλ' ὥσπερ τὸ ἐπὶ τῆς θρυαλλίδος πῦρ τὸ μὲν δοκεῖν ἀεὶ τὸ αὐτὸ φαίνεται τὸ γὰρ συνεχὲς τῆς κινήσεως ἀδιάσπαστον ἑαυτῷ καὶ ἡνωμένον πρὸς ἑαυτὸ δείκνυσιν, τῇ δὲ ἀληθείᾳ πάντοτε αὐτὸ διαδεχόμενον ἑαυτό, οὐδέποτε τὸ αὐτὸ μένει· ἡ γὰρ ἐξελκυσθεῖσα διὰ τῆς θερμότητος ἰκμὰς ὁμοῦ τε καὶ ἐξεφλογώθη καὶ εἰς λιγνὺν ἐκκαυθεῖσα μετεποιήθη· καὶ ἀεὶ τῇ ἀλλοιωτικῇ δυνάμει ἡ τῆς φλογὸς κίνησις ἐνεργεῖται εἰς λιγνὺν δι' ἑαυτῆς ἀλλοιοῦσα τὸ ὑποκείμενον· ὥσπερ τοίνυν δὶς κατὰ ταύτην τῆς φλογὸς θίγοντα οὐκ ἔστι τῆς αὐτῆς τὸ δὶς ἅψασθαι· τὸ γὰρ ὀξὺ τῆς ἀλλοιώσεως οὐκ ἀναμένει τὸν ἐκ δευτέρου πάλιν ἐπιθιγγάνοντα, κἂν ὡς τάχιστα τοῦτο ποιῇ, ἀλλ' ἀεὶ κινεῖται καὶ πρόσφατος ἐστὶν ἡ φλὸξ πάντοτε γεννωμένη καὶ ἀεὶ ἑαυτὴν διαδεχομένη καὶ οὐδέποτε ἐπὶ τὸ αὐτὸ μένουσα· τοιοῦτόν τι καὶ περὶ τὴν τοῦ σώματος ἡμῶν φύσιν ἐστί· τὸ γὰρ ἐπίρρυτον τῆς φύσεως ἡμῶν καὶ ἀπόρρυτον, διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενόν τε καὶ κινούμενον, τότε ἵσταται ὅταν τῆς ζωῆς ἀπολήξῃ· ἕως δ' ἂν ἐν τῷ ζῆν ᾖ, στάσιν οὐκ ἔχει· ἢ γὰρ πληροῦται ἢ διαπνεῖται ἢ δι' ἑκατέρων πάντως εἰσαεὶ διεξάγεται· εἰ τοίνυν οὐδὲ τεχθείς τις ζῶν ὁ αὐτὸς ἐστίν, ἀλλ' ἕτερος τῇ ὑπαλλαγῇ γίνεται, ὅταν ἐπαναγάγῃ πάλιν τὸ σῶμα ἡμῶν πρὸς τὸ ζῆν ἡ ἀνάστασις δῆμος τις ἀνθρώπων πάντως ὁ εἷς γενήσεται· ὡς ἂν μηδὲν ἐλλείπῃ τοῦ ἀντισταμένου· τὸ βρέφος τὸ νήπιον ὁ παῖς τὸ μειράκιον ὁ νεανίσκος ὁ πρέσβυς καὶ τὰ διαμέσου πάντα· σωφροσύνης δὲ καὶ ἀκολασίας διὰ σαρκὸς ἐνεργουμένης τῶν τε ὑπομενόντων ὑπὲρ τῆς εὐσεβείας τὰ ἀλγεινὰ τῶν κολάσεων τῶν τε αὖ μαλακιζομένων πρὸς ταῦτα διὰ τῆς σωματικῆς αἰσθήσεως ἑκάτερον τούτων ἐπιδεικνυμένων πῶς ἐστὶν περὶ τὴν κρίσιν σωθῆναι τε δίκαιον· ἢ τοῦ αὐτοῦ νῦν μὲν πεπλημμεληκότος αὖθις δὲ διὰ μεταμελείας ἑαυτὸν ἐκκαθάραντος· κἂν οὕτω τύχοι πάλιν ἐπὶ τὸ πλημμελὲς ὀλισθήσαντος, ὑπαμειφθέντος δὲ κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως καὶ τοῦ μεμολυσμένου καὶ τοῦ ἀμολύντου σώματος καὶ μηδετέρου τούτων

εἰς τὸ διηνεκὲς ἐξαρκέσαντος ποῖον τῷ ἐκολάστῳ σῶμα συγκολασθήσεται· τὸ ῥικνωθὲν ἐν τῷ γήρᾳ πρὸς τῷ θανάτῳ; ἀλλ' ἕτερον ἦν τοῦτο παρὰ τὴν ἁμαρτίαν κατεργασάμενον· ἀλλ' ὅπε κατεμολύνθη τῷ πάθει; καὶ ποῦ ὁ πρεσβύτης; ἢ γὰρ οὐκ ἀναστήσεται οὗτος καὶ οὐκ ἐνεργὸς ἡ ἀνάστασις· ἢ οὗτος ἐγερθήσεται κα διαφεύξεται τὴν δίκην ὑποκείμενος· εἴπω τι καὶ ἄλλο τῶν προφερομένων ἡμῖν παρὰ τῶν οὐ δεδεγμένων τὸν λόγον· οὐδὲν φασὶν ἄπρακτον τῶν ἐν τῷ σώματι μορίων ἡ φύσις ἐποίησε· τὰ μὲν γὰρ τὴ τοῦ ζῆν αἰτίαν καὶ δύναμιν ἐν ἡμῖν ἔχει, ὧν ἄνευ συστῆναι τὴν διὰ σαρκὸς ζωὴν οὐκ ἐνδέχεται, οἷον καρδία, ἧπαρ, ἐγκέφαλος, πνεύμων γαστὴρ καὶ τὰ λοιπὰ πάντα σπλάγχνα, τὰ μὲν τῇ αἰσθητικῇ κινήσει ἀποκεκλήρωται, τὰ δὲ τῆς πρακτικῆς ἐργασίας εἰσίν, ἄλλα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπιτηδείων ἔχει· εἰ μὲν οὖν ἐν τοῖς ἑαυτοῦ ἡμῖν ὁ μετὰ ταῦτα βίος ἔσται, πρὸς οὐδὲν ἡ μετάστασις γίνεται εἰ δὲ ἀληθὴς ὁ λόγος, ὥσπερ οὖν ἐστὶν ἀληθής, ὁ μήτε γάμον ἐμπολιτεύεσθαι τῷ μετὰ τὴν ἀνάστασιν βίῳ διοριζόμενος, μήτε διὰ βρώσεως καὶ πόσεως τὴν τότε διακρατεῖσθαι ζωήν, τίς ἔσται χρῆσις τῶν μερῶν τοῦ σώματος· οὐκέτι τῶν δι' ἃ νῦν ἐστὶ τὰ μέλη κατὰ τὴν ζωὴν ἐκείνην ἐλπιζομένων· εἰ γὰρ τοῦ γάμου χάριν τὰ πρὸς τὸν γάμον ἐστίν, ὅταν ἐκεῖνο μὴ ᾖ, οὐδὲν τῶν πρὸς ἐκεῖνο δεόμεθα· οὕτω καὶ πρὸς τὸ ἔργον αἱ χεῖρες, καὶ πρὸς τὸν δρόμον οἱ πόδες καὶ πρὸς τὴν παραδοχὴν τῶν σιτίων τὸ στόμα, καὶ οἱ ὀδόντες πρὸς τὴν τῆς τροφῆς ὑπηρεσίαν, καὶ πρὸς τὴν πέψιν τὰ σπλάγχνα καὶ πρὸς τὴν ἀποβολὴν τῶν ἀχρειωθέντων οἱ ἐξοδικοὶ τῶν πόρων. Ὅταν οὖν ἐκεῖνα μὴ ᾖ, τὰ δ' ἐκεῖνα γινόμενα πῶς; ὑπὲρ τίνος ἔσται; ὡς ἂν ἀνάγκη εἶναι· εἰ μὲν μὴ εἴη περὶ τὸ σῶμα τὰ πρὸς οὐδὲν τῶν πρὸς τὴν ζωὴν ἐκείνην συνεργεῖν μέλλοντα, μηδὲν εἶναι τῶν νῦν συμπληρούντων ἡμῖν τὸ σῶμα· ἐν ἀλλήλοις γὰρ ἡ ζωή· καὶ οὐκ ἔτ' ἄν τις ὁ τοιοῦτον ἀνάστασιν ὀνομάσειε· τῶν γε καθ' ἕκαστον μελῶν διὰ τὴν ἐκείνῃ τῇ ζωῇ ἀχρηστίαν, οὐ συνανισταμένων τῷ σώματι· εἰ δὲ δι' ἁπάντων ἔσται τούτων ἐνεργὸς ἡ ἀνάστασις, μάταια ἡμῖν καὶ ἀνόητα πρὸς τὴν ζωὴν ἐκείνην δημιουργήσει ὁ ἐνεργῶν τὴν ἀνάστασιν· ἀλλὰ μὴν καὶ εἶναι πιστεύειν χρὴ τὴν ἀνάστασιν καὶ μὴ ματαίαν εἶναι· οὐκοῦν προσεκτέον τῷ λόγῳ ἂν ἡμῖν δι' ἁπάντων ἐν τῷ δόγματι τὸ εἰκὸς διασῴζοιτο. Καὶ ταῦτα μὲν ὁ ἐρωτῶν ὁ δὲ περὶ τούτου ἀπόλογος οὗτος.

Ἀπόκρισις.

Οὐκ ἀγεννῶς, κατὰ τὴν λεγομένην ῥητορικήν, τῶν τῆς ἀναστάσεως δογμάτων κατεπεχείρησας· πιθανῶς τε ἀνασκευαστικοῖς τῶν όγων ἐν κύκλῳ παραδραμὼν τὴν ἀλήθειαν·ὥστε τοῖς μὴ λίαν ἐπεσκεμμένους τὸ τῆς ἀληθείας μυστήριον παθεῖν ἄν τι κατὰ τὸ εἰκὸς ρὸς τὸν λόγον·καὶ οἰηθῆναι μὴ ἔξω τοῦ δέοντος ἐπῆχθαι τοῖς εἰρημένοις τὴν ἐπαπόρησιν· ἔχει δὲ οὐχ οὕτω φησὶν ἡ ἀλήθεια, κἂν ἀδυνάτως ἔχομεν ἐκ τῶν ὁμοίων ἀντιρρητορεύσειν τῷ λόγῳ· ἀλλ' ὁ μὲν ἀληθὴς περὶ τούτων λόγος ἐν τοῖς ἀποκρύφοις τῆς σοφίας θησαυροῖς τεταμίευται, τότε εἰς τοὐμφανὲς ἥξειν, ὅταν ἔργῳ τὸ τῆς ἀναστάσεως διδαχθῶμεν μυστήριον· ὅτε οὐκ ἔτι δεήσει ῥημάτων ἡμῖν πρὸς τὴν τῶν ἐλπιζομένων φανέρωσιν· ἀλλ' ὥσπερ ἐν νυκτὶ πολλῶν κινουμένων τοῖς διαγρυπνοῦσι λόγων περὶ τοῦ ἡλίου λαμπηδόνος οἷα ἐστίν, ἀργὴν ποιεῖ τὴν τοῦ λόγου ὑπογραφὴν προφανεῖσα μόνον τῆς ἀκτῖνος ἡ χάρις, οὕτω πάντα λογισμὸν στοχαστικῶς τῆς μελλούσης καταστάσεως ἐφαπτόμενον, ἀντ' οὐδενὸς ἀποδείκνυσιν ὅταν γένηται ἡμῖν ἐν τῇ πείρᾳ τὸ προσδοκώμενον. Ἐπεὶ δὲ χρὴ μὴ παντάπασιν ἀνεξετάστους ἐαθῆναι τὰς ἐπενεχθείσας ἡμῖν ἐνστάσεις, οὕτω τὸν περὶ τούτων λόγον διαληψόμεθα. Νοῆσαι χρὴ πρῶτον τίς ὁ σκοπὸς τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος· καὶ ὅτου χάριν παρὰ τῆς ἁγίας Γραφῆς εἴρηται καὶ πιστεύεται· οὐκοῦν ὡς ἄν τις ὅρῳ τινι τὸ τοιοῦτον περιλαβὼν ὑπογράψειεν, οὕτως ἐνεργοῦμεν ὅτι ἀνάστασις ἐστὶν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασις· ἀλλ' ἐν τῇ πρώτῃ ζωῇ, ἧς αὐτὸς γέγονε δημιουργὸς ὁ Θεός· οὔτε γῆρας ἦν, ὡς εἰκός, οὔτε νηπιότης οὔτε τὰ κατὰ τὰς πολυτρόπους ἀρρωστίας πάθη· οὔτε τι ἄλλο τῆς σωματικῆς ταλαιπωρίας μηδέν· οὔτε γὰρ εἰκὸς ἦν τοιαῦτα δημιουργεῖν τὸν Θεόν· ἀλλὰ θεῖόν τι χρῆμα ἦν ἡ ἀνθρωπίνη φύσις· πρὶν ἐν ὁρμῇ γενέσθαι τοῦ κακοῦ τὸ ἀνθρώπινον. Ταῦτα γὰρ πάντα τῇ εἰσόδῳ τῆς κακίας ἡμῖν συνεισέβαλεν. Οὐκοῦν οὐδεμίαν ἀνάγκην ἕξει ὁ ἄνευ κακίας βίος ἐν τοῖς διὰ ταύτης συμβεβηκόσι εἶναι· ὡς γὰρ ἀκολουθεῖ τῷ διὰ κρυμμοῦ ὁδοιποροῦντι τὸ ψύχεσθαι τὸ σῶμα, ἢ τῷ διὰ θερμῆς ἀκτῖνος πορευομένῳ τὸ μελαίνεσθαι τὴν ἐπιφάνειαν· εἰ δὲ ἐκτὸς ἑκατέρων τούτων γένηται, συναπηλλάγη πάντως καὶ τοῦ μελασμοῦ καὶ τῆς ψύξεως· καί οὐκ ἄν τις εὐλόγως ἐπιζητείη τὸ ἔκ τινος αἰτίας ἐπισυμβαῖνον τῆς αἰτίας οὐκ οὔσης· οὕτως ἡ φύσις ἡμῶν ἐμπαθὴς

γενομένη τοῖς ἀναγκαίως ἐπακολουθοῦσι τῇ παθητικῇ ζωῇ συνηνέχθη· πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα, οὐκέτι τοῖς ἐπακολουθήμασι τῆς κακίας συνενεχθήσεται· ἐπεὶ οὖν ὅσα ἐκ τῆς ἀλόγου ζωῆς τῇ ἀνθρωπίνῃ κατεμίχθη φύσει, οὐ πρότερον ἦν ἐν ἡμῖν, πρὶν εἰ πάθος διὰ κακίας πεσεῖν τὸ ἀνθρώπινον, ἀναγκαίως καταλιπόντες τὸ πάθος καὶ πάντα ὅσα μετ' αὐτοῦ καθορᾶται συγκαταλείψομεν· ὥστε οὐκ ἄν τις εὐλόγως ἐν τῷ βίῳ ἐκείνῳ τὰ ἐκ τοῦ πάθους ἡμῖν ἐπισυμβεβηκότα ζητήσειεν· ὡς γάρ, εἴ τις ῥωγαλέον περὶ ἑαυτὸν ἔχων χιτῶνα, γυμνωθείη τοῦ περιβλήματος, οὐκ ἔτ' ἂν τὴν τοῦ ἀπορριφθέντος αἰσχημοσύνην ἐφ' ἑαυτοῦ βλέπει· οὕτω καὶ ἡμῶν ἀποδυσαμένων τὸν νεκρὸν ἐκεῖνον καὶ εἰδεχθῆ χιτῶνα, τῶν ἐκ τῶν ἀλόγων δερμάτων ἡμῖν ἐπιβληθέντα.Δέρμα δὲ ἀκούων τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ· ὃ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν· καὶ πάντα ὅσα τοῦ ἀλόγου δέρματος περὶ ἡμᾶς εἶ, ἐν τῇ ἀπεκδύσει τοῦ χιτῶνος, συναποβαλλόμεθα. Ἀπὸ δέ γε ἀλόγου δέρματος ἡ μῖξις, ἡ σύλληψις, ὁ τόκος, ὁ ῥύπος, ἡ θηλή, ἡ τροφή, ἡ ἐκποίησις, ἡ κατ' ὀλίγον ἐπὶ τὸ τέλειον αὔξησις, ἡ ἀκμή, τὸ γῆρας, ἡ νόσος, ὁ θάνατος. Εἰ οὖν ἐκεῖνα περὶ ἡμᾶς οὐκ ἔσται, πῶς ἡμῖν τὰ ἐξ ἐκείνων ὑπολειφθήσεται; ὥστε μάταιον ἄλλης τινος καταστάσεως ἐπὶ τὴν μέλλουσαν ζωὴν ἐλπιζομένης· διὰ τῶν μηδὲν αὐτῇ κοινωνούντων ἐνίστασθαι πρὸς τὸ δόγμα τῆς Ἀναστάσεως· τί γὰρ κοινὸν ἔχει ῥικνότης καὶ πολυσαρκία καὶ τηκεδὼν καὶ πληθώρα καί, εἴ τι ἄλλο τῇ ῥευστῇ φύσει τῶν σωμάτων ἐπισυμβαίνει, πρὸς τὴν ζωὴν ἐκείνην, ἥτις τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται. Ἓν ζητεῖ μόνον ὁ τῆς Ἀναστάσεως λόγος τὸ φῦναι διὰ γεννήσεως ἄνθρωπον μᾶλλον δέ, καθὼς φησὶ τὸ Εὐαγγέλιον, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον· τὸ δὲ μακρόβιον ἢ ὠκύμορον ἢ τὸν τοῦ θανάτου τρόπον εἰ τοιῶσδε κ'ἑτέρως συμβέβηκε μάταιον τῷ τῆς Ἀναστάσεως λόγῳ συνεξετάζειν· ὅπως γὰρ τοῦτο δῶμεν καθ' ὑπόθεσιν ἔχειν ἐν τῷ ὁμοίῳ πάντως ἐστίν, οὔτε δυσκολίας οὔτε ῥαστώνης ἐκ τῆς τοιαύτης διαφορᾶς περὶ τὴν Ἀνάστασιν οὔσης. τὸ γὰρ τοῦ ζῆν ἀρξάμενον, ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως, ἐν τῇ ἀναστάσει διορθωθείσης· τὸ δὲ *ὅπως* ἢ *πότε* διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀνάστασιν· πρὸς ἕτερον γὰρ σκοπὸν βλέπει ἡ περὶ τούτου σκέψις· οἷον καθ' ἡδονήν τις ἐβίω ἢ ἀνιώμενος κατ' ἀρετὴν ἢ κακίαν· ἢ ἐπαινετὸς ἢ ὑπαίτιος ἐλεεινῶς ἢ μακαρίως παρῆλθε

τὸν χρόνον· ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα, ἐκ τοῦ μέτρου τῆς ζωῆς καὶ ἐκ τοῦ εἴδους τοῦ κατὰ τὸν βίον εὑρίσκεται· καὶ ὡς πρὸς τὴν κρίσιν τῶν βεβιωμένων ἀναγκαῖον ἂν εἴη τῷ κριτῇ, πάθος καὶ λώβην καὶ γῆρας καὶ νόσον καὶ ἀκμὴν καὶ νεότητα καὶ πλοῦτον καὶ πενίαν διερευνᾶσθαι ὅπως τις δι' ἑκάστου τούτων γινόμενος εὖ ἢ κακῶς τὸν συγκληθέντα βίον παρέδραμε· καί, εἰ πολλῶν ἐγένετο δεκτὸς καλῶν ἢ κακῶν ἐν μακρῷ τῷ χρόνῳ, ἢ οὐδὲ τὴν ἀρχὴν ὅλως ἑκατέρου τούτων ἐφήψατο ἐν ἀτελεῖ τῇ ἡλικίᾳ τοῦ ζῆν παυσάμενος. Ὅταν δὲ πρὸς τὴν πρώτην κατασκευὴν τοῦ ἀνθρώπου δι' ἀναστάσεως ὁ Θεὸς ἐπανάγῃ τὴν φύσιν, ἀργὸν ἂν εἴη τὸ τοιαῦτα λέγειν, καὶ τὸ διὰ τῶν τοιούτων ἐνστάσεων οἴεσθαι τὴν δύναμιν τοῦ Θεοῦ πρὸς τὸν σκοπὸν ἐμποδίζεσθαι· σκοπὸς δ' αὐτῷ καὶ τὸ τελειωθέντος ἤδη διὰ τῶν καθ' ἕκαστον ἀνθρώπων παντὸς τῆς φύσεως ἡμῶν πληρώματος· τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κεκαθαρμένων· τῶν δὲ μετὰ ταῦτα τῷ αἰωνίῳ πυρὶ καταδικασθέντων τῶν δὲ ἐπίσης καὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ τὴν πεῖραν περὶ τὸν τῇδε βίον ἀγνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ καλῶν, ἅπερ φησὶν ἡ Γραφή, μήτε ὀφθαλμὸν ἰδεῖν μήτε ἀκοὴν δέξασθαι, μήτε λογισμοῖς ἐφικτὰ γενέσθαι· τὸ γὰρ ἀγαθὸν τὸ ὑπὲρ ὀφθαλμὸν καὶ ἀκοὴν καὶ καρδίαν, αὐτὸ ἂν εἴη τὸ τοῦ παντὸς ὑπερκείμενον· ἡ δὲ τοῦ κατ' ἀρετὴν ἢ κακίαν βίου διαφορά, ἐν τῷ νῦν καιρῷ κατὰ τοῦτο δειχθήσεται μάλιστα· ἐν τῷ θᾶττον ἢ σχολαιότερον μετασχεῖν τῆς ἐλπιζομένης μακαριότητος· τῷ γὰρ μέτρῳ τῆς ἐγγεναμένης ἑκάστῳ κακίας ἀναλογήσει πάντως καὶ ἡ τῆς ἰατρείας παράτασις· ἰατρεία δ' ἂν εἴη ψυχῆς τὸ ἀπὸ κακίας καθάρσιον. Τοῦτο δ' ἄνευ ἀλγεινῆς διαθέσεως κατορθωθῆναι, οὐχ οἷόν τε, καθὼς ἐν τοῖς προλαβοῦσιν ἐξήτασται· μᾶλλον δ' ἄν τις ἐπιγνοίη τῶν ἐνστάσεων τὸ περιττὸν καὶ ἀνοίκειον εἰς τὸ βάθος τῆς ἀποστολικῆς διακύψας σοφίας· τοῖς γὰρ Κορινθίοις, τὸ περὶ τούτου σαφηνίζων μυστήριον, τάχα τὰ αὐτὰ προτεινόντων αὐτῷ κἀκείνων, ἃ παρὰ τῶν νῦν κατεπιχειρούντων τοῦ δόγματος ἐπ' ἀνατροπῇ τῶν πεπιστευμένων προφέρεται, τῷ ἰδίῳ ἀξιώματι τῷ τῆς ἀμαθίας αὐτῶν ἐπικόπτων θράσος· οὑτωσὶ λέγει· ἐρεῖς οὖν μοι πῶς ἐγείρονται οἱ νεκροί· ποίῳ δὲ σώματι ἔρχονται· ἄφρον, φησί, σύ, ὃ σπείρεις, οὐ ζωοποιεῖται, ἐὰν μὴ ἀποθάνῃ, καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι, σίτου ἤ ἄλλου τινος τῶν σπερμάτων· ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ καθὼς ἠθέλησεν, ἐνταῦθα γὰρ

ἐπιστομίζειν μοι δοκεῖ τοὺς ἀγνοοῦντας τὰ οἰκεῖα μέτρα τῆς φύσεως, καὶ πρὸς τὴν ἑαυτῶν ἰσχὺν τὴν θείαν ἐξετάζοντες δύναμιν καὶ οἰομένους τοσοῦτον εἶναι δυνατὴν τῷ Θεῷ ὅσον χωρεῖ ἡ ἀνθρωπίνη κατάληψις· τὸ δ' ὑπὲρ ὑμῶν ὂν κατὰ Θεοῦ παριέναι τὴν δύναμιν· ὁ γὰρ ἐρωτήσας τὸν Ἀπόστολον, τὸ πῶς ἐγείρονται οἱ νεκροί, ὡς ἀμήχανον ὄν, τό, ἐσκευασμένων τῶν τοῦ σώματος στοιχείων, εἰς συνδρομὴν πάλιν ἐλθεῖν, ἀποφαίνεται· καὶ ὡς, τούτου μὴ δυναμένου, ἄλλου δὲ σώματος πρὸς τὴν συνδρομὴν τῶν στοιχείων οὐχ ὑπολειπομένου τοῦτο φησί, κατὰ τοὺς δεινοὺς τῶν διαλεγομένων συμπεράνας, διά τινος ἀκολουθίας, ἅπερ ὑπέθετο εἰς σῶμα ἐστὶ συνδρομὴ στοιχείων, τούτων δὲ ἀμήχανον ἐστιν ἐκ δευτέρου ἡ σύνοδος, ποίῳ χρήσονται σώματι οἱ ἀνιστάμενοι. Τοῦτο τοίνυν τὸ δοκοῦν διά τινος τεχνικῆς σοφίας αὐτοῖς συμπεπλέχθαι ἀφροσύνην ὠνόμασεν· τῶν μὴ κατιδόντων ἐν τῇ λοιπῇ κρίσει τὸ ὑπερέχον τῆς θείας δυνάμεως· καταλιπὼν γὰρ τὰ ὑψηλότερα τῶν τοῦ Θεοῦ θαυμάτων, δι' ὧν ἦν εἰς ἀπορίαν ἀγαγεῖν τὸν ἀκούοντα, οἷόν τι τὸ οὐράνιον σῶμα καὶ πόθεν, τί δὲ τὸ ἡλιακὸν ἐστίν, ἢ τὸ σεληναῖον, ἢ τὸ ἐν τοῖς ἄστροις φαινόμενον, ὁ αἰθήρ, ὁ ἀήρ, τὸ ὕδωρ, ἡ γῆ, ἀλλ' ἐκ τῶν συντρόφων ἡμῖν καὶ κοινοτέρων ἐλέγχει τῶν ἐνισταμένων τὸ ἀνεπίσκεπτον· οὐδ' ἡ γεωργία σε, φησί, διδάσκει ὅτι μάταιος ἐστὶν ὁ πρὸς τὸ ἑαυτοῦ μέτρον τῆς θείας δυνάμεως στοχαζόμενος τὸ ὑπερέχον πόθεν τοῖς σπέρμασι τὰ περιφυόμενα σώματα· τί δὲ καθηγεῖται τῆς βλάστης αὐτῶν ; οὐχὶ θάνατος ; εἶπερ θάνατος ἐστὶν ἡ τοῦ συνεστηκότος διάλυσις· τὸ γὰρ σπέρμα οὐκ ἂν ἔλθοι εἰς ἔκφυσιν μὴ διαλυθὲν ἐν τῇ βόλῳ καὶ γενόμενον ἀραιὸν καὶ πολύπορον ὥστε καταμιχθῆναι πρὸς τὴν παρακειμένην ἰκμάδα τῇ ποιότητι, καὶ οὕτως εἰς ῥίζαν καὶ βλάστην, καὶ μηδὲν τούτοις μεῖναι, ἀλλὰ μεταβαλεῖν εἰς καλάμην τοῖς διαμέσου γόνασιν οἷον τισι συνδέσμοις ὑπεζωσμένην πρὸς τὸ δύνασθαι φέρειν ἐν ὀρθίῳ τῷ σχήματι τὸν στάχυν, τῷ καρπῷ βαρυνόμενον· ποῦ τοίνυν ταῦτα περὶ τὸν σῖτον ἦν πρὸ τῆς ἐν τῇ βόλῳ αὐτοῦ διαλύσεως, ἀλλὰ μὴν ἐκεῖθεν τοῦτο ἐστίν· εἰ γὰρ μὴ ἐκεῖνο πρότερον ἦν, οὐδ' ἂν ὁ στάχυς ἐγένετο· ὥσπερ τοίνυν τὸ κατὰ τὸν στάχυν σῶμα ἐκ τοῦ σπέρματος φύεται, τῆς θείας δυνάμεως ἐξ αὐτοῦ ἐκείνου τοῦτο φιλοτεχνούσης, καὶ οὔτε δι' ὅλων ταὐτὸν ἐστὶ τῷ σπέρματι, οὔτε παντάπασιν ἕτερον, οὕτω φησὶ καὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἤδη σοι διὰ τῶν ἐν τοῖς σπέρμασι θαυματοποιουμένων προερμηνεύεται, ὡς τῆς θείας δυνάμεως ἐν τῷ

περιόντι τῆς ἐξουσίας, μὴ μόνον ἐκεῖνο τὸ διαλυθέν σοι πάλιν ἀποδιδούσης ἀλλά σοι καὶ ἕτερα μεγάλα τε καὶ καλὰ προστιθείσης· δι' ὧν σοι πρὸς τὸ μεγαλοπρεπέστερον ἡ φύσις κατασκευάζεται, σπείρεται γὰρ φησὶν ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ὡς γὰρ καταλιπὼν ὁ μετὰ τὸ διαλυθῆναι ἐν τῷ βόλῳ σῖτος τὴν ἐν τῷ ποσῷ βραχύτητα καὶ τὴν ἐν τῷ ποιῷ τοῦ σχήματος αὐτοῦ ἰδιότητα ἑαυτὸν οὐκ ἀφῆκεν, ἀλλ' ἐν αὐτῷ μένων στάχυς γίνεται, πάμπολυ διαφέρων αὐτὸς ἑαυτοῦ, μεγέθει καὶ κάλλει καὶ ποικιλίᾳ καὶ σχήματι, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἀναφυεῖσα τῷ θανάτῳ πάντα τὰ περὶ ἑαυτὴν ἰδιώματα, ὅσα διὰ τῆς ἐμπαθοῦς διαθέσεως ἐκτήσατο, τὴν ἀτιμίαν λέγω, τὴν φθορὰν, τὴν ἀσθένειαν, τὴν κατὰ τὰς ἡλικίας διαφοράν, ἑαυτὴν οὐκ ἀφίησιν, ἀλλ' ὥσπερ εἰς στάχυν τινὰ πρὸς τὴν ἀφθαρσίαν μεθίσταται, καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν καὶ τὴν ἐν παντὶ τελειότητα καὶ τὸ μηκέτι τὴν ζωὴν αὐτῆς οἰκονομεῖσθαι τοῖς φυσικοῖς ἰδιώμασιν, ἀλλ' εἰς πνευματικήν τινα καὶ ἀπαθῆ μεταβῆναι κατάστασιν· αὕτη γὰρ ἐστὶν ἡ τοῦ ψυχικοῦ σώματος ἰδιότης, τὸ ἀεὶ διά τινος εἰσροῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστὶν ἀλλοιοῦσθαι καὶ μεταβάλλειν εἰς ἕτερον· ἃ γὰρ νῦν οὐκ ἐν ἀνθρώποις μόνον ὁρῶμεν καλά, ἀλλὰ καὶ ἐν φυτοῖς καὶ βοσκήμασιν, οὐδὲν ἐν τῷ τότε βίῳ ὑπολειφθήσεται· δοκεῖ δέ μοι καὶ δι' ἁπάντων συναγορεύειν ὁ ἀποστολικὸς λόγος, τῇ καθ' ἡμᾶς ὑπολήψει τῆς ἀναστάσεως καὶ τοῦτο δείκνυσιν, ὅπερ ὁ ἡμέτερος ὁρισμὸς περιέχει λέγων· μηδὲν εἶναι τὴν ἀνάστασιν ἕτερον ἢ τὴν εἰς ἀρχαῖον τῆς φύσεως ἀποκατάστασιν· ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ κοσμογενείᾳ τοῦτο παρὰ τῆς Γραφῆς μεμαθήκαμεν ὅτι πρῶτον ἐβλάστησεν ἡ γῆ βοτάνην χόρτου, καθὼς ὁ λόγος φησίν· εἶτα ἐκ τῆς βλάστης τὸ σπέρμα ἐγένετο, οὗπερ ἐπὶ τὴν γῆν καταρρυέντος, τὸ αὐτὸ πάλιν εἶδος τοῦ ἐξ αὐτῆς φυέντος ἀνέδραμε· φησὶ δὴ τοῦτο ὁ θεῖος Ἀπόστολος καὶ ἐπὶ τῆς ἀναστάσεως γενέσθαι· οὐ μόνον δὲ τοῦτο παρ' αὐτοῦ διδασκόμεθα ἐπὶ τὸ μεγαλοπρεπέστατον μεθίστασθαι τὸ ἀνθρώπινον ἀλλ' ὅτι τὸ ἐλπιζόμενον οὐδὲν ἕτερον ἐστίν, ἤ, ὅπερ ἐν πρώτοις ἦν· ἐπειδὴ γὰρ τὸ κατ' ἀρχὰς οὐχὶ ὁ στάχυς ἀπὸ τοῦ σπέρματος ἀλλ' ἐκεῖθεν τὸ σπέρμα καὶ μετὰ ταῦτα δὲ οὗτος τὸ σπέρματι περιφύεται καθὰ ἡ τοῦ ὑποδείγματος ἀκολουθία σαφῶς ἐπιδείκνυσιν, ἀνάγκη τὸ πᾶσαν διὰ τῆς ἀναστάσεως ἀναβλαστήσουσαν ἡμῖν μακαριότητα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανιέναι χάριν· στάχυς γὰρ ὄντες τὸ

κατ' ἀρχὰς τρόπον τινὰ καὶ ἡμεῖς, ἐπειδὴ τῷ καύσωνι τῆς κακίας κατεξηράνθημεν, ὑπολαβοῦσα ἡμᾶς ἡ γῆ, διὰ τοῦ θανάτου λυθέντας, πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναστάσεως στάχυν ἀναδείξει· τὸν γυμνὸν τοῦτον κόκκον τοῦ σώματος εὐμεγέθη τε καὶ ἀμφιλαφῆ καὶ ὄρθιον καὶ εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον, ἀντὶ καλάμης ἢ ἀνθερίκων τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρισμάτων ὡραϊζόμενον· δεῖ γάρ, φησί, τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν· καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· ἡ δὲ ἀφθαρσία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ δύναμις, ἡ διὰ τῆς θείας φύσεως εἶναι ὁμολογεῖται· ἅπερ πρότερον περὶ τὸν κατ' εἰκόνα γενόμενον ἦν καὶ αὖθις ἐλπίζεται· ὁ γὰρ πρῶτος στάχυς, ὁ πρῶτος ἄνθρωπος ἦν ὁ Ἀδάμ· ἀλλ' ἐπειδὴ τῇ τῆς κακίας εἰσόδῳ εἰς πλῆθος ἡ φύσις κατεμερίσθη καθὼς γίνεται ὁ καρπὸς ἐν τῷ στάχυϊ, οὕτως οἱ καθέκαστον γυμνωθέντες τοῦ κατὰ τὸν στάχυν ἐκεῖνον εἴδους καὶ τῇ γῇ καταμιχθέντες, πάλιν ἐν τῇ ἀναστάσει κατὰ τὸ ἀρχέγονον κάλλος ἀναφυόμεθα· καὶ ἀντὶ ἑνὸς τοῦ πρώτου στάχυος οἱ ἄπειροι τῶν ληίνων γενόμενοι· ὁ δὲ κατ' ἀρετὴν βίος ἐν τούτῳ πρὸς τὴν κακίαν τὸ διάφορον ἔχει, ὅτι οἱ μὲν ἐνταῦθα παρὰ τὸν βίον δι' ἀρετῆς ἑαυτοὺς γεωργήσαντες, εὐθὺς ἐν τελείῳ τῷ στάχυϊ φύονται· οἷς δὲ διὰ κακίας ἐξίτηλός τε καὶ ἀνεμόφθορος γέγονε περὶ τὸν βίον τοῦτον ἡ ἐν τῷ ψυχικῷ σπέρματι δύναμις, καθάπερ τὰ λεγόμενα κεράσβολα, οἱ τῶν τοιούτων ἐπιστήμονες λέγουσι γίνεσθαι· οὗτοι, κἂν φυῶσι διὰ τῆς ἀναστάσεως, πολλὴν ἀποτομίαν παρὰ τῷ κριτῇ ἕξουσιν, ἅτε δὴ οὐκ ἰσχύοντες ἀναδραμεῖν ἐπὶ τὸ εἶδος τοῦ στάχυος, καὶ γενέσθαι ἐκεῖνο ὅπερ ἦμεν πρὸ τῆς ἐπὶ τὴν γῆν καταπτώσεως· ἡ δὲ θεραπεία τοῦ ἐπιστατοῦντος τῶν γεννημάτων, ἡ τῶν ζιζανίων τε καὶ τῶν ἀκανθῶν ἐστὶ συλλογὴ τῶν συναφυέντων τῷ σπέρματι· πάσης τῆς ὑποτρεφούσης τὴν ῥίζαν δυνάμεως πρὸς τὸ νόθον μεταρρυείσης· δι' ὧν ἄτροφόν τε καὶ ἀτελεσφόρρητον τὸ γνήσιον ἔμεινε σπέρμα τῇ παρὰ φύσιν βλάστῃ συμπεπνιγμένον· ἐπειδὰν οὖν ἐνταῦθα πᾶν ὅσον νόθον τε καὶ ἀλλότριον ἐκτακῇ τοῦ τροφίμου καὶ εἰς ἀφανισμὸν ἔλθῃ, διὰ μετανοίας, τοῦ θείου καὶ ἀΰλου πυρὸς τὸ παρὰ φύσιν ἐκδαπανήσαντος· τότ' εὐτροφήσει ἡ φύσις καὶ εἰς καρπὸν ἁδρυνθήσεται, διὰ τῆς τοιαύτης ἐπιμελείας τε καὶ σπουδῆς, ἀντιμετρουμένης τῷ πόνῳ τῆς προαιρέσεως, τὸ κοινὸν εἶδος τὸ ἐξ ἀρχῆς ἡμῖν θεόθεν ἐπιβληθὲν ἀπολαβοῦσα· μακάριοι δέ, οἷς εὐθὺς τὸ τέλειον κάλλος τῶν ἀσταχύων συνανατελεῖ τοῖς φυομένοις διὰ τῆς ἀναστάσεως. Ταῦτα δὲ

φαμέν, οὐχ ὡς σωματικῆς τινος διαφορᾶς ἐν τοῖς κατ' ἀρετὴν ἢ κακίαν βεβιωκόσιν ἐν τῇ ἀναστάσει φανησομένης· ὥστε τὸν μὲν ἀτελῆ κατὰ τὸ σῶμα νομίζειν, τὸν δὲ τέλειον ἔχειν οἴεσθαι· ἀλλ' ὥσπερ κατὰ τὸν βίον ὁ δεσμώτης τε καὶ ὁ ἄνετος ἔχουσι μὲν ἀμφότεροι παραπλησίως τὰ σώματα, πολλὴ δὲ μεταξὺ ἀμφοτέρων ἡ καθ' ἡδονήν τε καὶ λύπην διαφορά· οὕτως, οἶμαι χρῆναι τῶν ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ μετὰ ταῦτα χρόνῳ λογίζεσθαι τὸ διάφορον· ἡ γὰρ τελείωσις τῶν ἐκ τῆς σπορᾶς ἀναφυομένων σπερμάτων ἐν ἀφθαρσίᾳ τε καὶ δόξῃ καὶ τιμῇ καὶ δυνάμει παρὰ τοῦ Ἀποστόλου γενέσθαι λέγεται· ἡ δὲ τῶν τοιούτων ἐλάττωσις οὐ σωματικήν τινα τοῦ φυέντος διασημαίνει κολόβωσιν, ἀλλ' ἑκάστου τῶν κατὰ τὸ ἀγαθὸν νοουμένων στέρησίν τε καὶ ἀλλοτρίωσιν· ἐπεὶ οὖν ἕν τι χρὴ εἶναι πάντως περὶ ἡμᾶς τῶν κατὰ ἀντίθεσιν νοουμένων ἢ ἀγαθῶν ἢ κακῶν δηλονότι τὸ ἐν τῷ ἀγαθῷ τινα λέγειν μὴ εἶναι, ἀπόδειξις γίνεται· τοῦ ἐν τῷ κακῷ πάντως εἶναι· ἀλλὰ μὴν περὶ τὴν κακίαν οὐ τιμή, οὐ δόξα, οὐκ ἀφθαρσία, ἀνάγκη πᾶσα, περὶ οὓς μὴ ᾖ ταῦτα, τούτοις τὰ ἐξ ἀντιθέτου νοούμενα παρεῖναι μὴ ἀμφιβάλλειν, ἀσθένειαν, ἀτιμίαν, φθοράν, καὶ ὅσα τοῦ τοιούτου γένους ἐστίν· ἅπερ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις· ὅτι δυσαπάλλακτα γίνεται τῆς ψυχῆς τὰ ἐκ κακίας πάθη· δι' ὅλης αὐτῆς ἀνακραθέντα καὶ συμφυέντα καὶ ἓν πρὸς ἐκείνην γενόμενα· τῶν οὖν τοιούτων τῇ προσηκούσῃ ἐπιμελείᾳ ἐκκαθαρθέντων τε διὰ μετανοίας ἐνταῦθα καὶ ἁγνισθέντων ὡς ἐφικτὸν ἕκαστον τῶν πρὸς τὸ κρεῖτον νοουμένων ἀντεισελεύσεται ἡ ἀφθαρσία, ἡ ζωή, καὶ ἡ τιμή, ἡ χάρις, ἡ δόξα, ἡ δύναμις καὶ εἴτι ἄλλο τοιοῦτον αὐτῷ τε τῷ Θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν καὶ τῇ εἰκόνι αὐτοῦ ἥτις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

Σάρξ. Ἰδοὺ τὴν πεῦσιν ἤκουσας συνάμα καὶ τὴν λύσιν,
τῶν σοφωτάτων δὴ ἀνδρῶν ἐκείνων καὶ ἁγίων,
περὶ τῆς ἀναστάσεως τοῦ δόγματος, κυρία·
λοιπὸν εἰπὲ τὰ δόξαντα ἐπὶ τοῖς εἰρημένοις.

Ψυχά. Καὶ λέξω σοι, θεράπαινα, τὸ ἀληθές, ὡς ἔχειν,
πολλῶν πολλάκις ἤκουσα πλεῖστα δὲ καὶ ἀνέγνων
περὶ τοῦ δόγματος τουτὶ ἄχρι δὲ καὶ τῆς δεῦρο, (;)
τοιαῦτα δὲ οὔτ' ἤκουσα οὔθ' εὗρον γεγραμμένα.
ἡ μέντοι πεῦσις κάλλιστος ναὶ μήντε καὶ ἡ φράσις·
οὗτοι δὲ τίνες, φράσον μοι, ποίας φυλῆς καὶ γένους
οἱ ταῦτα ῥητορεύσαντες καὶ ἐκφράσαντες οὕτως ;

Σάρξ. Τὸ τίνες μὲν οὐ λέγω σοι· ἀλλ' εἰ θέλεις τοῦ γνῶναι,
καθὼς κἀγὼ ἐζήτησα ἐπιμελῶς καὶ εὗρον,
ζητήσασα πάντως καὶ αὐτὴ ἐμπόνως καὶ εὑρήσεις,
καὶ τὰ ὀνόματα αὐτῶν καὶ γένος καὶ πατρίδα
καὶ τῶν ἑξῆς γε τὰ ἑξῆς ὁποῖα καὶ ὁπόσα
οὐ θέλω εἶναί σε νωθρὰν καὶ ἀναπεπτωκυῖαν,
ζητητικὴν δὲ μάλιστα καὶ φιλόπονον πάνυ,
καὶ ὅταν μέλλῃς τοῦ μαθεῖν Γραφικόν τι καὶ θεῖον,
ἐρεύνα δὴ καὶ μάνθανε τὸ ζητούμενον ἅπαν,
ἐμὲ δὲ πάρες, κέκμηκα, ἵν' ὅπως ἀναψύξω,
καὶ δόξαν ἀναπέμψοιμι Κυρίῳ τῷ Θεῷ μου·
οὐδὲν ἄλλο μεμάθηκα πλὴν τοῦ Τριάδα σέβειν,
Πατέρα, σύνθρονον Υἱόν, συναΐδιον Πνεῦμα,
τρία ταῖς ὑποστάσεσι προσώποις δῆλον ὅτι
ἓν δὲ τῇ φύσει καὶ μορφῇ οὖσαν καὶ τῇ οὐσίᾳ,
ἄπειρον, ἀκατάληπτον, ἀμέριστόν τε πάντῃ
τῶν πάντων τε παντέφορον καὶ συνεκτικωτάτην,
καὶ πᾶν φιλοῦσαν ἀγαθόν, πᾶν δὲ κακὸν μισοῦσαν,
ἢ καὶ τὰ πάντα διοικεῖ, τρόποις ἀνερευνήτοις,
ταύτην δοξάζω καὶ ὑμνῶ νῦν καὶ εἰς τοὺς αἰῶνας.

(Τέλος τοῦ δευτέρου λόγου).

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

Τάδε ἔνεστιν ἐν τῷ τρίτῳ λόγῳ

α΄) Ὅτι ὁ νοῦς χωρὶς τοῦ σώματος πολλὰ ἐκτελεῖ· τὸ δὲ σῶμα καὶ μετὰ ψυχῆς, ἄνευ τοῦ νοὸς οὐδέν τι,

β΄) Ὅτι ἡ δικαία ψυχὴ λυθεῖσα τοῦ σώματος ὑμνεῖ ἐνδιαθέτῳ λόγῳ τὸν Κύριον μετ᾽ Ἀγγέλων καὶ τῶν τῇδε δεινῶν οὐ μέμνηται· ἡ δὲ ἁμαρτωλὸς μέμνηται μέν, πλὴν οὐ πασῶν οὐδὲ πάντων.

γ΄) Ὅτι οἱ Ἄγγελοι οὐχ ὡς δι᾽ ὀργάνου σωματικοῦ τινος ὑμνοῦσι τὸν Κύριον.

δ΄) Ὅτι ἐν τῷ μέλλοντι μειζόνως δοξάζονται οἱ ἅγιοι ὑπὲρ τοὺς Ἀγγέλους.

ε΄) Ἆρα ποταπὴ ἔσται ἡ καινὴ κτίσις ἐν τῷ μέλλοντι ἣν προσδοκῶμεν καί, εἰ ἐν αὐτῇ ἔσται, καὶ ὁ τότε παράδεισος, τὸ τοῦ Ἀδὰμ ἐνδιαίτημα.

ϛ΄) Περὶ συντελείας καὶ τοῦ Ἀντιχρίστου.

Στίχοι τοῦ γ΄. λόγου Ϡμ΄. ἤτοι 940.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ψυχή. Θεράπαινα, προείρηκας, ἐν τῷ δευτέρῳ λόγῳ,
οὐδὲν ἀρτίως ἡ ψυχὴ μικρὸν ἢ μέγα πράττει,
οὔτε καλὸν οὔτε κακὸν τοῦ σώματος ἀπόντος·
ἆρ᾽ οὖν ὡσαύτως καὶ ὁ νοῦς τῇ ψυχῇ γε ἐπίσης
οὐδ᾽ οὗτος ἄνευ σώματος ἐκτελεῖ τι καθόλου ;

Σάρξ. Ὁ νοῦς ἐκτὸς τοῦ σώματος ἐκτελεῖ πολλὰ τοίνυν
καὶ ἀγαθὰ καὶ πονηρά· οὐχ οὕτως δὲ τὸ σῶμα·
ἐκτὸς γὰρ τοῦτο τοῦ νοὸς οὐδὲν ὅλως τι πράττει,
ἢ ἐκτελέσαι δύναται, ἀμήχανον γὰρ τοῦτο.

Ψυχή. Καὶ πῶς τυγχάνει τοῦτο γε τὸ λεχθὲν οὐ συνῆκα :

Σάρξ. Πάντα τὰ ἁμαρτήματα ὅσα εἰσὶ καὶ οἷα,
δι᾽ ὧν γε καὶ χραινόμεθα καθ᾽ ἑκάστην ἡμέραν,
εἴτε δι᾽ ἔργων πράττομεν, εἴτε καὶ διὰ λόγου,
εἴτε κατὰ διάνοιαν· τρισσῶς γὰρ καὶ ἐν τούτοις

τὰ μέντοι διὰ πράξεως ἢ λόγου τελεσθέντα
μετὰ τοῦ σώματος ὁ νοῦς ἐργάζεται καὶ πράττει,
τὰ δὲ κατὰ διάνοιαν ὁ νοῦς μεμονωμένως.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ψυχή. Ἡ δὲ ψυχή, θεράπαινα, τοῦ σώματος λυθεῖσα
ἆρα χωρὶς τῶν τούτου γε μελῶν τε καὶ μορίων
καὶ τῶν ὀργάνων τῶν αὐτοῦ ἐκτελεῖ τι καθόλου ;
Σάρξ. Ναί· ἡ ψυχή, κυρία μου, τοῦ σώματος λυθεῖσα
καὶ ἀνελθοῦσα ἄνωθεν εἰς τὸν ἐπάνω κόσμον,
ἐνδιαθέτῳ λόγῳ τε ὑμνεῖ πως καὶ δοξάζει,
ἄνευ αὐτοῦ τὸν Κύριον σὺν τοῖς Ἀγγέλοις αὕτη,
ἄχρι τῆς ἀναστάσεως τούτου γε ἀπολαύει·
ἀλλ' ἡ δικαία οὕτω μὲν καὶ ἡ κεκαθαρμένη·
ἡ δὲ ὑπεύθυνος, ὡς σύ, καὶ κατεσπιλωμένη,
οὐχ οὕτως, ἀλλὰ μέμνηται καὶ τόπου καὶ προσώπου,
δι' οὗ κακῶς ἐρρύπωσε ἐνθάδε, οἴμοι, οἴμοι·
ἀναλογίζεται ταὐτὶ περασμένα πάντα
καὶ οὐ δεδύνηται ποσῶς ἐκλαθέσθαι τούτων,
καὶ ἡ ἐνθύμησις αὐτῶν βάσανος δριμυτάτη
χαλεπωτάτη τε αὐτῇ γίνεται, φεῦ μοι, τότε·
μεγίστη ὄντως καὶ δεινὴ τιμωρία ὑπάρχει,
καθὼς δοκεῖ τοῖς ἅπασι Πατράσι θεοφόροις.
εἰ μὲν ἀναλογίζεται, κυρία, κολασθῆναι
λοιπὸν ἀναμιμνήσκεται καὶ τοῦ δι' ἣν αἰτίαν·
εἰ δ' οὐδαμῶς τὸ δεύτερον οὐδὲ τὸ πρῶτον πάντως,
ἂν δὲ τὸ πρῶτον ἀληθές, τὸ δεύτερον καὶ πάνυ.
Ψυχή. Καὶ πῶς, φησὶν ὁ ψαλμῳδός, τὸ ἐναντίον τούτου
ὅτι ἀπόλλυνται ἐκεῖ διαλογισμοὶ πάντες,
ἡνίκα ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ σκήνους ;
Σάρξ. Τὰς ἐν τῷ βίῳ τούτῳ γε σημαίνει ὁ προφήτης
μερίμνας τε βιωτικὰς καὶ φροντίδας, κυρία,
περί τε γοῦν οἰκοδομῆς καί γε τῆς γεωργίας,
περὶ φροντίδος τέκνων τε καὶ γυναικὸς καὶ δούλων,
καὶ τετραπόδων τούτων τε τὴν μέριμναν ἐμφαίνει·
τούτων ἁπάντων οὐδαμῶς μνημονεύει τῷ τότε,

μεθ᾽ ὃ λυθῇ τοῦ σώματος οὔμενουν, δέσποινά μου·
τὰ δέ γε ὅσα εἴργασται κατὰ πάθος ἐνθάδε,
καὶ ἡδονὴν ἐπέραστον, μέμνηται πάντων τότε.

Ψυχή. Τὸ δ᾽ ἕτερον, θεράπαινα, ῥῆμα τὸ τοῦ προφήτου,
ὅπερ ἐστὶ παρόμοιον τοῦ ἤδη προρρηθέντος,
ἄνθρωπος, λέγον, πέφυκεν ὡς χόρτος καὶ ὡς ἄνθος,
οὕτω πως ἐξανθήσουσιν αἱ τούτου γε ἡμέραι,
ὅτι διῆλθεν ἐν αὐτῷ πνεῦμα καὶ οὐχ ὑπάρξει,
οὐδ᾽ ἐπιγνώσεται ποσῶς τὸν τόπον τούτου ἔτι·
πῶς νοητέον τοῦτό γε; πῶς οὖν καὶ ἐκληπτέον;

Σάρξ. Περὶ τοῦ ἔξω, δέσποινα, ἀνθρώπου, τοῦτο νόει,
χόρτῳ παρεικαζόμεθα καθὼς καὶ Ἡσαΐας
καὶ οὗτος, πᾶσα σάρξ, φησί, καὶ πᾶσα δόξα μέντοι
παντὸς ἀνθρώπου χοϊκοῦ, ὡς ἄνθος χόρτου πέλει,
ἀνέτειλεν ὁ ἥλιος καὶ ἐξήρανε τοῦτον,
τὸ ἄνθος δὲ ἐξέπεσε καὶ ἠφάνισται ὅλον,
τὸ σῶμα χόρτον εἴρηκε, τὴν δὲ ψυχὴν ὡς πνεῦμα,
ταύτης παρούσης ἐν αὐτῷ, ζωοποιεῖται τοῦτο,
καὶ πράττει μὲν καὶ ἐνεργεῖ τὰ ἴδια τῇ φύσει,
ἐκστάσης δέ γε τῆς ψυχῆς τὸ σῶμα ἀχρειοῦται,
ὡς μηδ᾽ ἐκγινώσκεσθαι τοὺς πρώην χαρακτῆρας
καὶ λέγειν τοῦτο πέφυκε τοῦ δεῖνος μὲν τὸ σῶμα,
ἐκεῖνο δέ, κυρία μου, τοῦ δεῖνος καὶ τοῦ δεῖνος,
οὐδὲν διενηνόχαμεν χόρτου μέντοι καὶ ἄνθους,
ἐν ἦρι τοῦτο τέθηλε, μετὰ βραχὺ δ᾽ οὐκ ἔστι,
ταῦτα γὰρ οἶδα ἀπὸ πολλῶν καὶ τοῦ χρυσοῦ τὸ στόμα.

Ψυχή. Καὶ πῶς ἐστίν, ὃ εἴρηκας περὶ ψυχῶν, παιδίσκη;
τὴν καθαρὰν καὶ ἄρρυπον ἐκστᾶσαν τοῦ σαρκίου
αἰνεῖν, ὑμνεῖν καὶ εὐλογεῖν, ἐνδιαθέτῳ λόγῳ,
καὶ μὴ μεμνῆσθαι εἴρηκας τῶν ἐνθένδε σφαλμάτων;
τὴν δὲ ρυπῶσαν μὲν κακῶς καὶ βεδορβορωμένην
μεμνῆσθαι εἶπας τὴν αὐτὴν καὶ τόπου καὶ προσώπου,
καὶ πάντων, ὧνπερ ἔπραξεν αἰσχουργιῶν ἐνθάδε;
αἱ δύο πάντως ἄϋλοι καὶ νοεραὶ τῇ φύσει,
ἡ μὲν ρυπῶσα μέμνηται, ἡ καθαρὰ δ᾽ οὐ μέντοι;
καί τοι γε ἔδει καὶ αὐτὴν μεμνῆσθαι τῶν ἐνθάδε·
εἰ δὲ οὐκ ἔξεστιν αὐτῇ, λοιπὸν οὐδὲ τῇ ἄλλῃ.

Σάρξ. Καὶ ἄρτι σύνες, ὧδέ μοι, τὸ ἀπορούμενόν σοι,
ἡ καθαρὰ συνάπτεται μετὰ Ἀγγέλων ἄνω,
καθώς περ σοι προέφημεν ἐν τῷ δευτέρῳ λόγῳ·
ἰδοῦσα αὕτη τὰ ἐκεῖ οὐκ ἔχω πως ἐκφράσαι
τὴν ἀνεκλάλητον χαρὰν καὶ τὸ κάλλος ἐκεῖνο,
τῆς μελῳδίας τὸν τερπνὸν ἦχον ἑορταζόντων,
ἀγάλλεται καὶ τέρπεται ὑπὸ τῆς θυμηδίας
ἄλλη ἐξ ἄλλου γίνεται ἔνθους ὡς γενομένη,
ἐπιλανθάνεται εὐθὺς πάντων δεινῶν τῶν τῇδε,
ὑπὲρ ὧν δ' εὔχεται ψυχῶν τούτων καὶ μνημονεύει
καὶ δέησιν πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ποιεῖται·
ἡ δὲ ῥυπῶσα, ὥσπερ σύ, ψυχή μου παναθλία,
σώματος ὅτε χωρισθῇ, αὐτίκα πρὸς τὸν Ἅδην
ἀπέρχεται ὡς εἶπον σοι, καὶ πρῴην, ὦ κυρία,
ἐκεῖ εὑρίσκει κάκωσιν ἐκεῖ εὑρίσκει πόνους,
ἐκεῖ σε, φεῦ μοι, πέφυκε θλίψις τε καὶ ὀδύνη,
καὶ λύπη τε καὶ στεναγμὸς ἀφόρητος ἀνάγκη,
λοιπὸν ἀναλογίζεται, δι' ὧν ἐκεῖ κατῆλθεν,
ἢ πάντως ὡς ὑπεύθυνος ὑφέξει καὶ τὰς δίκας,
καὶ μέμνηται, ὡς ἔφημεν, καὶ ποῦ κατερρυπώθη
καὶ τόπων καὶ προσώπων τε, ὡς ἤδη φθάσας εἶπον,
καὶ λέξω σοι παράδειγμα καὶ γνώσῃ τὸ λεχθέν μοι,
κρατήσας τις, κυρία μου, κακοῦργον ἀνδροφόνον
καὶ ᾑμαγμένας ἔχοντα τὰς χεῖρας καὶ χιτῶνας,
προσφάτως ἤδη τὰς αὐτὰς μολύναντα τῷ φόνῳ,
μέλλων αὐτὸν ἀναγαγεῖν εἰς τὸ τῆς φούλκας ξύλον,
οὐκ οἶδε τοίνυν ὁ αὐτὸς τὸ δι' οὗ γε καὶ μέλλει
τεθνήξεσθαι καὶ θάνατον ἐπονείδιστον δοῦναι;
φονίους χεῖρας τὰς αὐτοῦ ὁρῶν καθημαγμένας
(τὸ συνειδὸς γὰρ ἔνδοθεν ἐλέγχει κἂν μὴ θέλῃ)
λοιπὸν ἀναμιμνήσκεται καὶ τόπου καὶ προσώπου,
δι' οὗ αὐτὰς κατέχρανε κατεμόλυνέ τε·
οὕτω μοι νόει, δέσποινα, ἐπὶ ψυχῆς ῥυπώσης·
ὅτι τῶν τῇδε μέμνηται κακῶν, ὧνπερ εἰργάκει.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ψυχή. Εἰπέ μοι, ὦ θεράπαινα, βραχὺ περὶ Ἀγγέλων,
ὡς ἡ Γραφὴ διδάσκει με ἄϋλοι πεφυκότες
ἀσώματοι καὶ νοεροὶ καὶ πυραυγεῖς τῇ φύσει
στόμα καὶ γλῶσσα παρ' αὐτοῖς ὡς οὐκ ἔστιν ὦ δούλη
πῶς εὐλογοῦσιν τὸν Θεὸν ἀπαύστως καὶ αἰνοῦσιν ;
Σάρξ. Ἐπεὶ ἁπλοῖ πεφύκασι τῇ φύσει καὶ οὐσίᾳ
ὡς ἔμαθον ἐκ τῆς Γραφῆς δεδημιουργημένοι,
ἀκαταπαύστοις οὖν φωναῖς κέχρηνται καὶ ὑμνοῦσιν
οὐχ ὥς τινι σωματικῷ φθεγγόμενοι ὀργάνῳ,
ἀλλ' ἀντὶ ἤχου δή τινος τὴν ἀεικινησίαν,
ἐκείνην μόνην ἔχοντες, ὡς ἦχον, μελουργοῦσι·
τὸ ἀϋλῶδες γὰρ αὐτῶν τῆς φύσεως, κυρία,
τυγχάνει λίαν φιλῳδὸν καὶ εὔηχον εἰς ἅπαν·
λοιπὸν εἰς ἄπαυστον αὐτοὺς προτρέπεται τὸν ὕμνον
καὶ γίνεται, ὡς ἔφαμεν, βοὴ παντερπνοτάτη,
πλὴν νοερῶς καὶ νοητῶς καὶ ἀσωμάτως, λέγω,
οὐκ ἀκοῆς δεόμενοι, οὐ γλώσσης τὸ παράπαν,
ἀλλ' ἄνευ τοῦ προφορικοῦ λόγου μεταδιδόντες
τὰ ἴδια νοήματα καὶ βουλεύματ' ἀλλήλοις,
ἐνδιαθέτῳ λόγῳ δὲ μόνῳ, ἀναβοῶσι
τὸ ἀλληλούϊα τρανῶς τὸ ἅγιος ὁμοίως·
εὐλογημένη πέφυκεν ἡ δόξα τοῦ Κυρίου·
ἐκ τοῦ ἁγίου τόνου γε αὐτοῦ εἰς τοὺς αἰῶνας·
ταῦτα τὰ τρία ῥήματα, τούτων ὁ ὕμνος πέλει.
Ψυχή. Καὶ πόθεν τοῦτο φανερὸν καὶ πόθεν τοῦτο δῆλον ;
Σάρξ. Φησὶ γὰρ Διονύσιος ὁ ἀρεοπαγίτης,
ἐξ ὧν μεμυσταγώγηται παρὰ τοῦ θείου Παύλου,
ὅτε εἰς τρίτον οὐρανὸν ἐπάρθη παραδόξως,
καὶ ἤκουσεν ἄρρητα ῥήματα καὶ ἀπεκαλύφθη ξένα
μυστήρια, ἅτινα μερικῶς ἐξηγήσατο Διονυσίῳ,
τῷ τούτου μαθητῇ· αὐτὸς δ' αὖθις τῇ ἐκκλησίᾳ
καὶ φησί : Πᾶσαι αἱ οὐράνιαι οὐσίαι ἐννέα εἰσί, καὶ κοινῷ ὀνόματι ἄγγελοι λέγονται πάντες· διαφέρουσι δὲ τῇ ἀξίᾳ, τῇ τάξει, καὶ τῇ στάσει· καὶ τρεῖς τριαδικοὶ διάκοσμοι πεφύκασιν, ὁ πρῶτος οὖν τριαδικὸς διάκοσμος εἰσὶ Θρόνοι, Χερουβίμ, Σεραφίμ, καὶ ἔ-

χουσιν ἀκατάπαυστον ὕμνον τὸ: εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου αὐτοῦ· καὶ ὁ δεύτερος τριαδικὸς διάκοσμος ἐστὶν οὗτος· Κυριότητες, Δυνάμεις, καὶ Ἐξουσίαι· καὶ ὁ ὕμνος αὐτῶν τυγχάνει οὗτος: ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· καὶ ὁ τρίτος τριαδικὸς διάκοσμος ἐστὶν οὗτος: Ἀρχαί, Ἀρχάγγελοι, Ἄγγελοι καὶ ὁ ὕμνος αὐτῶν οὗτος: ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, καθὰ δὴ καὶ παρὰ τῶν προφητῶν μανθάνομεν τοῦ τε Ἡσαΐου καὶ τοῦ Ἰεζεκιὴλ τῶν θεοπτικωτάτων ἀνδρῶν.

Ψυχή. Ἐκπλήττει πᾶσαν ἀκοὴν καὶ ἐξιστᾷ καὶ φρένα
τὸ προρρηθέν, ὦ δούλη μου, ἐν τῷ δευτέρῳ λόγῳ,
εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ παρουσίαν
ὑπὲρ ἀγγέλους εἴρηκας καὶ τὰς Δυνάμεις πάσας
μειζόνως δοξασθήσεσθαι τῷ τότε τοὺς ἁγίους,
εἰς τό γε τρισκαιδέκατον κεφάλαιον τοῦ λόγου,
δοκεῖ μοι δέ, ὡς ἄπιστον καὶ ὡς ψευδὲς τὸ ῥῆμα,
τἀνῦν με πληροφόρησον τελείως περὶ τούτου;

Σάρξ. Ἐμὸν οὐδὲν τὸ σύνολον ἐρῶ σοι, δέσποινά μου,
μήπως καὶ παρακρούσῃ μου ὡς ψευδῆ τὰ λεχθέντα
παρέξω Γραφικὴν δέ σοι μάλιστα μαρτυρίαν
καὶ ἐξ αὐτῆς διδάχθητι τὸ ἀληθὲς εἰς ταῦτα·
τοῦτο γὰρ ἤρετο πρὸ σοῦ πατὴρ φιλόπονός τις,
πρός τινα πάλιν ἅγιον σοφώτατόν τε ἄμφω,
εἰπέ μοι πάτερ, ἔφησεν, εἰπέ, μὴ ἀποκρύψῃς:

Ποῖα εἰσὶ τὰ ἀγαθὰ ἐκεῖ α τὰ ὑπὸ Θεοῦ δωρηθέντα ἡμῖν, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι, καθὼς φασὶν οἱ κορυφαῖοι τῶν Ἀποστόλων Πέτρος καὶ Παῦλος;

Ἀπόκρισις.

Ἐμοὶ δοκεῖ ὅτι ἐπιθυμοῦσιν οἱ ἄγγελοι ἵνα καὶ ἐν τῇ φύσει αὐτῶν, ὥσπερ καὶ ἐν τῇ ἡμετέρᾳ σαρκί, οἰκήσῃ κατ᾽ οὐσίαν ὁ Θεὸς Λόγος ὁ ποιήσας αὐτούς· ἐπιθυμοῦσι πάλιν ἵνα καὶ ἡ φύσις αὐτῶν ὑφ᾽ ἡμῶν προσκυνῆται καὶ δοξολογῆται καθεζομένη ἐν τῷ θρόνῳ τῷ Χερουβικῷ, ἐν τοῖς κόλποις τοῦ Πατρός, ὡς καὶ ἡ ἡμετέρα φύσις ἐν Χριστῷ προσκυνεῖται ὑπ᾽ αὐτῶν καὶ ὑπὸ πάσης ὁρατῆς καὶ ἀοράτου κτίσεως, ἐπιθυμοῦσιν ἔχειν τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ καθεσθῆναι ἐπὶ θρόνων κρινοῦντες ὡς ὁ Χριστὸς ἐν ἡμέρᾳ

κρίσεως, καθὼς μέλλουσι κρίνειν οἱ ἁλιεῖς ἐπιθυμοῦσι πρὸς τὸν Χριστὸν παρρησίαν τοιαύτην ἔχειν, οἵαν ἔσχεν ὁ ἀναπεσὼν ἐπὶ τοῦ στήθους αὐτοῦ· εἴπω σοι τὸ πάντων μεῖζον, εἴρηκεν ὁ Χριστός, ὅταν ἔλθῃ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, αἱ μὲν δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται τῷ φόβῳ καὶ τῷ τρόμῳ αὐτοῦ τοὺς δὲ δικαίους ἀνακλινεῖ καὶ παρελθὼν διακονήσει αὐτοῖς· ταῦτα καὶ τὰ τοιαῦτα εἰσὶ τὰ δωρηθέντα ἡμῖν ὑπὸ Χριστοῦ ἀγαθά, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακῦψαι· τουτέστιν εἰσελθεῖν.

Ἐρώτησις.

Καὶ τί δήποτε τὴν ἡμετέραν φύσιν ὑπὲρ τὴν τῶν Ἀγγέλων ἐδόξασε καὶ ἀγαπᾷ ὁ Χριστός;

Ἀπόκρισις.

Ἄκουσον Παύλου σε τὸν τρόπον διδάσκοντος τῆς τοῦ Χριστοῦ ἀγαπήσεως καὶ τῆς πρὸς ἡμᾶς αὐτοῦ πολλῆς ἀγαθότητος· φησὶ γάρ· ὅτι τὸ μυστήριον, ὃ προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων, τουτέστι τὴν πρὸς ἀνθρώποις ἐπιδημίαν καὶ χρηστότητα, ὥστε οὖν πρόσκειται τῷ ἀνθρωπίνῳ ὁ Θεὸς γένει ὑπὲρ πᾶσαν κτίσιν κατὰ δύο τρόπους· πρῶτον μὲν ὡς ἰδιοχείρῳ αὐτοῦ πλάσματι καὶ προτυπώματ τῆς οἰκονομίας αὐτοῦ ζῴῳ ὁρατῷ καὶ ἀοράτῳ, θνητῷ καὶ ἀθανάτῳ ὡς ὁ Χριστός, δεύτερον δὲ ὡς ὁμογενὴς ἡμῶν καὶ ὁμοούσιος καὶ σύμφυλος καὶ σύμμορφος γεγονὼς ἄνθρωπος· ὃς καὶ φυσικῷ τινι λόγῳ πρόσκειται καὶ ἀγαπᾷ τὸ ὁμόφυλον καὶ συγγενὲς καὶ ὁμοούσιον αὐτοῦ.

Καὶ ταῦτα μέν τοι εἴρηκε πατὴρ ὁ Σιναΐτης,
ὅταν ἡνίας τῆς Μονῆς κρατῶν ἐκείνης τότε,
ἐδέξω τοῦτον μάρτυρα καὶ ἅπερ εἶπε πάντως;..

Ψυχή. Καὶ δέδεγμαι καὶ δέχομαι τούτου τὴν μαρτυρίαν
ὅτι οὐδέν τι εἴρηκεν ἀπεικὸς οὐδὲ ξένον·
ἀλλὰ πολλάκις ἕτεροι ζητοῦσι καὶ δευτέραν,
ὅτι τῶν δύο πανταχοῦ εὐπαράδεκτα μᾶλλον,
τοῦ δὲ ἑνὸς καὶ ὕποπτα καὶ δυσπαράδεκτά πως.

Σάρξ. Ἐπείπερ ἀναγκάζεις με προσφέρειν καὶ δευτέραν,
παρέξω σοι τὰ μάλιστα καὶ τρίτην καὶ τετάρτην·
τὸν Παῦλον τὸν Ἀπόστολον καὶ Δαυῒδ τὸν Προφήτην
καὶ Ἰωάννην τὸν χρυσοῦν τὴν γλῶτταν καὶ τὸ στόμα·

οἱ πάντες νύμφην λέγουσι τὴν φύσιν τὴν βροτείαν
παρισταμένην ἔγγιστα τοῦ Βασιλέως, εὖγε·
λοιπὸν αὐτὰ τὰ ῥήματα τοῦ καθενὸς προθήσω,
κατ᾽ ἔπος, ὥσπερ ἔχουσι, μηδέν τι παραλλάξας.
ὁ Παῦλος οὖν ἀναφανδὸν φησὶ περὶ τῆς νύμφης :

«Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν, παραστῆσαι τῷ Χριστῷ». Καὶ Ἰωάννης ὁ Πρόδρομος φησὶν «ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ἀλλ᾽ ὁ μὲν νυμφίος μετὰ τὰς πρώτας ἡμέρας καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος· ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἐπιτείνων τὸν πόθον». Ταύτης τῆς νύμφης καὶ ὁ Δαυῒδ μέμνηται λέγων. «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου· ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη ἐν κροσσωτοῖς χρυσοῖς»· θέλεις αὐτῆς καὶ τὰ ὑποδήματα ἰδεῖν, ἄκουσον Παύλου τοῦ νυμφαγωγοῦ λέγοντος «ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης». θέλεις ἰδεῖν καὶ τὴν ζωὴν αὐτῆς ὡς ὑπὸ ἀληθείας σύγκειται. «Περιζωσάμενοι τὴν ὀσφὺν ἐν ἀληθείᾳ»· θέλεις ἰδεῖν αὐτῆς καὶ τὸ κάλλος μὴ ἔχον σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων; «ὅλη καλὴ ἡ ἡ πλησίον μου καὶ μῶμος οὐκ ἔστιν ἐν σοί»· θέλεις ἰδεῖν καὶ τοὺς πόδας; «ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην καὶ ἀγαθά»· καὶ κοσμήσας αὐτὴν οὕτως οὐκ ἦλθε τὴν δόξαν αὐτοῦ ἐπιδεικνύμενος, ἵνα μή, τῇ ὑπερβολῇ τοῦ κάλλους, ἐκπλήξῃ αὐτὴν καὶ παράφρονα ἐργάσηται· ἀλλ᾽ἔρχεται ἱμάτιον περιβεβλημμένος, οἷον ἡ νύμφη· οὐκ αὐτὸς αὐτὴν ἄνω καλεῖ ἀλλ᾽ αὐτὸς πρὸς αὐτὴν παραγίνεται· τηρῶν κἀνταῦθα τοῦ νυμφίου τὸν νόμον· τὸν πρὸς τὴν νύμφην αὐτὸν ἄγοντα· ὅπερ καὶ Παῦλος ἔλεγεν· «ἀντὶ τούτου, καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν». Ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς καὶ εὑρὼν ῥυπῶσαν, αὐχμῶσαν, γυμνήν, πεφυρμένην αἵματι, ἔλουσεν αὐτήν. ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν ἱμάτιον, οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι· αὐτὸς αὐτῇ γενόμενος περιβολὴ καὶ λαβὼν αὐτὴν οὕτως ἀνάγει εἰς τὸν οὐρανόν· ἐκάθισεν ἄνω ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ παντὸς ὀνόματος ὀνομαζομένου· οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Εἶδες τιμῆς ὑπερβολήν ; Εἶδες ὄγκον ἀξιώματος ; τὴν πεπατημένην τὴν κάτω συρομένην εἰς ὅσον ὕψος ἀνήγαγεν, ὥστε αὐτῷ παρεστάναι ; ἡ αἰχμάλωτος, ἡ ἀπηλλοτριωμένη, ἡ πόρνη, ἡ

ιαγής, εἰς ὅσον ἀνέβη ἀξίωμα ; Ἐπειδὴ γὰρ ἡ κεφαλὴ ἡμῶν ἄνω ησὶν ἐστίν, ἡμεῖς δὲ σῶμα· τῆς κεφαλῆς ἄνω καθημένης καὶ ἡμεῖς ετέχομεν, εἰ καὶ ἐστήκαμεν. Ὁρᾷς γὰρ πῶς ἡ νύμφη θυγάτηρ ἐ- τὶ τοῦ αὐτοῦ ; πῶς δὲ ἡ νύμφη, θυγάτηρ ; ἐπὶ μὲν τῶν σωματι- ῶν οὐκ ἔστι τοῦτο, ἀλλ' ἕτερον τοῦτο καὶ ἕτερον ἐκεῖνο· ἐπὶ δὲ]εοῦ καὶ ἀμφότερα ἕνι· αὐτὸς γὰρ αὐτὴν καὶ ἀνεγέννησε διὰ τοῦ απτίσματος, αὐτὸς αὐτὴν καὶ ἡρμόσατο· καὶ εἵλετο γενέσθαι αὐτῇ :αὶ πατὴρ καὶ νυμφίος καὶ Κύριος. Μᾶλλον δὲ καὶ αὐτὸ τὸ γενέ- ;θαι Κύριον, πολλῆς κηδεμονίας ἐστὶ καὶ φιλανθρωπίας· τὸ τὴν αιμόνων δούλην καὶ ὑπὸ τῆς πλάνης πατουμένην, ταύτην ἐλέσθαι :αυτοῦ· ὁ δὲ οὐ μόνον δούλην ἀλλὰ καὶ θυγατέρα καὶ νύμφην ἐ- τοίησεν· ἀληθῶς εὔκαιρον εἰπεῖν. «Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ»· καὶ πάλιν: «Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι· τί γὰρ ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς· ὅταν ἡ ἀπαρχὴ τοῦ γένους ἡμῶν τοσαῦτα προσκεκρουκότος τοῦ ἠτιμωμένου ἐν ὕψει τοσούτῳ καθέζηται καὶ τοσαύτης ἀπολαύῃ τιμῆς»;

Σάρξ. Καὶ ταῦτα μὲν ἀπὸ Γραφῆς περὶ τῆς νύμφης εἶπον
ἂν δέ γ' ἔτι παραδείγματος τὰ ταύτης γνῶναι θέλῃς,
ἀγροικικὸν παρέξω σοι παράδειγμα καὶ γνοίῃς
εὐλήπτως, εὐσυνόπτως τε, τὸ ἀπορούμενόν σοι·
λοιπόν μοι πρόσχες ἐνταυθοῖ καὶ ἐνωτίζου τάδε·
καθάπερ γάρ τις βασιλεὺς μέγας καὶ φοβερός τε,
ὃς ἔχει πόλιν ὑψηλήν, μεγίστην, ὑπερτάτην,
καὶ τοὺς κατοίκους ἐν αὐτῇ εὐγενεῖς καὶ πλουσίους,
ἔσχε δ' υἱὸν μονογενῆ ὁ βασιλεὺς ἐκεῖνος,
ἠθέλησε δὲ γυναικὶ τοῦτον τοῦ συναρμόσαι
καὶ εἴασεν ἁπάντων γε τούτων τ' ς θυγατέρας
τῶν πολιτῶν, κυρία μου, τὰς εὐγενεῖς ἐκείνας
εὐπρεπεστάτας ἄγαν τε καὶ παμφρονίμους λίαν,
ἐχούσας προῖκα γε πολλὴν ὑπεράπειρον πάσας,
καματηρὰς δὲ μάλιστα περιττὸν καὶ τὸ γράφειν,
εὐδαίμονας, εὐσχήμονας, εὐόσμους, εὐχάριτάς τε,
εὐλαβεστάτας, σώφρονας, καὶ εὐπειθεῖς τὰς πάσας·
καὶ εἴρηκεν ὁ βασιλεὺς πρὸς τὸν υἱὸν τὸν τούτου
πορεύθητι, παμφίλτατε, εἰς ἅπασαν τὴν κτίσιν
γυναῖκα δέ γε ζήτησον οἵαν αὐτὸς ἐθέλεις

καὶ οἷα πέφυκεν εἰς τὴν ἀρέσκειαν ἡδίστην,
οὐ θέλω οὐδὲ βούλομαι τῶν τῇδε οὐδεμίαν
τῶν πολιτῶν συζεῦξαί σοι, υἱέ μου, οὐδεμίαν·
ὁ δὲ ἐξῆλθε πόρρω που εἰς πόλεις ἀλλοτρίων
εἰς ἔθνη δὲ τὰ βάρβαρα ἀλλόγλωσσα καὶ ξένα
ἀνερευνῶν, ἀναζητῶν νύμφην εἰς τὸ εὑρέσθαι·
πολλὰς γοῦν χώρας ἤμειψεν, ὡσαύτως δὲ καὶ πόλεις,
ἀπῆλθεν, ἦλθεν, ὁ αὐτὸς πολλάκις καὶ πλειστάκις
ἄχρι δυσμῶν, ἀνατολῶν, ἄρκτου καὶ μεσημβρίας
ἀναζητῶν ἐπιμελῶς ἀνὰ τὸν κόσμον ὅλον,
ἐκεῖσε δὲ πεποίηκεν, ὡς ἔμαθον, κυρία,
χρόνους πολλοὺς ὡς γίνεσθαι ὁμοῦ τὰ πάντα ἔτη
δεκάκις γε τὸ πεντακὸς καὶ ἔτι ἅπαξ τοῦτο·
εἶθ' οὕτως ἐξελέξατο καὶ ἠρετίσατό τε,
ἀλλὰ τυγχάνει γέλοιον καὶ τὸ ἀκοῦσαι μόνον
τὴν πόρνην τὴν ἀκόλαστον, τὴν ἔχθιστον μαινάδα,
τὴν ἐναγῆ καὶ βέβηλον καὶ κατεσπιλωμένην,
γυμνήν, ῥυπῶσαν τὴν αὐτὴν ὡς εὗρε καὶ αὐχμῶσαν,
πτωχήν, ἠυτελισμένην τε, ὁλόλεπρον εἰς ἅπαν
ἔλουσεν, ἤλειψεν αὐτὴν τῷ ὄντως μύρῳ τούτου·
καὶ ἐξεκάθηρεν αὐτὴν ἀπὸ ῥυτίδος πάσης,
ἱμάτιον ἐνέδυσεν, οἷον οὐκ ἔστιν ἄλλο,
οὐχ εὑρεθείη ἀλλαχοῦ εἰς ἅπαντα τὸν κόσμον·
ἐπότισε καὶ ἔθρεψεν ἀφθόνως καὶ πλουσίως
εἰς τούτου τὰ βασίλεια λαβὼν ταύτην εἰσῆλθε·
ὡς δ' ἐθεάσατο αὐτὴν ὁ βασιλεὺς ἐκεῖνος
ἐφίλησεν, ἠγάπησεν, ὑπεδέξατο χαίρων,
καὶ στέμμα ταύτην ἔστεψε, βασίλισσαν δεικνύει
καὶ δεξιᾷ κεκάθικεν αὐτὴν τούτου εὐθέως
καὶ βασιλείας τῆς αὐτοῦ καθιστᾷ κληρονόμον
καθυποσχόμενος αὐτῇ μετ' οὐ πολὺ καὶ ταύτης
τὴν ἅπασαν συγγένειαν ἥξειν εἰς τὸ παλάτιν·
ἔνθα γὰρ ἂν ἡ νύμφη μου, ἐκεῖ φυλὴ καὶ φύτλη
ἡ ταύτης πᾶσα ἔσεται· οὕτω γὰρ ἐστὶ πρέπον.
ταύτην δ' ὡς ἐθεάσαντο οἱ τὴν πόλιν οἰκοῦντες
οἱ μεγιστᾶνες ἅπαντες τοῦ βασιλέως τοίνυν,
ἡ σύγκλητός τε ἅπασα, τὰ συστήματα πάντα

ἠπόρησαν, ἐθαύμασαν, καὶ ἐξεπλάγησάν τε
πρὸς τὸ πραχθὲν ἀνόσιον καὶ ἀπεικὸς καὶ ξένον,
ὅτι τὰς τούτων πάντων γε θυγατέρας, ὡς ἔφην,
τὰς κρείττω καὶ βελτίονας καὶ ὡραίας τῷ κάλλει
παρελογίσατο ποσῶς καὶ οὐκ ἠράσθη τούτων,
ἀλλὰ τὴν πόρνην, τὴν πτωχήν, καὶ βέβηλον εἰς ἅπαν.
λοιπόν, ὁσάκις μέλλουσι τῷ βασιλεῖ προσάξαι
τιμήν τε καὶ προσκύνησιν καὶ τῷ υἱῷ τῷ τούτου,
συμπροσκυνοῦσι καὶ αὐτὴν συγκάθεδρον ὡς οὖσαν,
καὶ φρίττουσι καὶ τρέμουσι ταύτης τὴν ἐξουσίαν
τῆς νύμφης, λέγω, τῆς ποτὲ πτωχῆς τε καὶ ῥυπώσης.
Ψυχή. Παιδίσκη τὸ παράδειγμα ἀκήκοά σου ἅπαν
ἀρτίως δέ γε φράσον μοι σαφήνειαν τὴν τούτου.
Σάρξ. Ὁ βασιλεύς, κυρία μου, ὁ φοβερὸς ἐκεῖνος
ὑπάρχει ὄντως ὁ Θεὸς ὁ κτίστης τῶν ἁπάντων,
ἡ πόλις δέ γε ἡ αὐτοῦ ὁ ὑπεράνω κόσμος
οἱ δὲ πολῖται οἱ ἐκεῖ Ἀγγέλων αἱ δυνάμεις,
αἱ θυγατέρες τούτων δέ, αὐτῶν τὴν φύσιν νόει·
ὁ δὲ τοῦ ἄνακτος υἱός, ὁ Χριστός μου ὑπάρχει
τὰ ἔθνη δὲ τὰ βάρβαρα τὸ τῶν ἀνθρώπων γένος,
ἡ νύμφη δέ, ἣν ηὕρατο ἡ ἀνθρωπίνη φύσις,
ἣν ἐκ παρθένου ἔλαβεν ἁγνῆς τῆς Θεοτόκου,
καὶ ἀνελήφθη μετ' αὐτῆς ἄνω πρὸς τὸν Πατέρα·
τῆς νύμφης δὲ οἱ συγγενεῖς, χριστιανῶν τὸ γένος·
τὰ δ' ἐφεξῆς μοι τῶν ἑξῆς οἶδ' ὅτι γε συνῆκας
τοῦ ὑποδείγματος αὐτοῦ καὶ τὰς πρὸ τούτου ῥήσεις,
καὶ μαρτυρίας Γραφικάς, ἅς τινάς σοι προεῖπον,
λοιπόν, κυρία, πάρες με, μὴ πάρεχέ μοι κόπους
πολλὰ λαλεῖν οὐ δύναμαι, εἰμὴ συνῆκας ταῦτα·
τὸ γὰρ συνάψαι τῶν βροτῶν τὴν φθαρεῖσαν οὐσίαν
τὴν γεηράν τε καὶ ῥευστὴν καὶ κάτω πατουμένην,
μετὰ τῆς ἄνω ὑψηλῆς τοῦ Θεοῦ τε καὶ Λόγου,
τοῦτο ἐστίν, ὃ εἴρηκα μειζόνως δοξασθῆναι
ὑπὲρ Ἀγγέλους ἅπαντας τοὺς δήμους τῶν ἁγίων,
πρὸς τούτοις ἔτι φράσω σοι παράδειγμά τι ἄλλο,
ὥσπερ μολύβδου καὶ χρυσοῦ πόρρω ἀφεστηκότος,
ἀπῳκισμένων ἐξ ἀμφοῖν ἀπεσχισμένων πάντη,

εἶτα σοφός τις τεχνικὸς δεῖξαι θελήσας τούτου
τὴν τεχνικὴν ἐνέργειαν καὶ σοφὴν ἐπιστήμην,
αὐτὸν λαβὼν τὸν μόλυβδον καὶ τεχνικῶς χωνεύσας
καὶ ἀναπλάσας τὸν αὐτον χρυσὸν *εὔροιζον* δείξει
τοῦτο ἐστὶ τὸ θαυμαστὸν καὶ ξένον ὑπὲρ λίαν,
ὅτι χρυσὸς οὐκ ἦν τὸ πρὶν καὶ γέγονεν ἀρτίως,
ὁ μὲν χρυσὸς καὶ ἦν χρυσὸς καὶ πάλιν χρυσὸς μένει
ὁ δὲ οὐκ ἦν καὶ γέγονεν, ὅπερ οὐκ ἦν πρὸ τούτου,
τοιοῦτον δὴ πεποίηκεν εἰς φύσιν τὴν βροτείαν
ἐδόξασεν, ἐθέωσεν, ὅπερ πρῴην οὐκ εἶχεν·
ὢ τῆς πολλῆς χρηστότητος, ὢ τῆς ἐπιεικείας!
ὢ εὐσπλαγχνίας ἄβυσσος καὶ ἀνεξικακίας,
ὢ τῆς μεγίστης ἀνοχῆς καὶ τῆς μακροθυμίας,
ὢ καὶ τῆς ἀγαθότητος, ὢ οἰκτιρμῶν ἀφάτων,
ὧν ἐνεδείξατο Θεὸς καὶ ἐνδείκνυται ἔτι
εἰς γένος τὸ ἀνθρώπινον καὶ φύσιν τὴν βροτείαν,
οἱ πονηροὶ καὶ βέβηλοι καὶ ἀχάριστοι δοῦλοι,
οἱ βορβορώσαντες ἡμῶν τὸ κάλλος τῆς εἰκόνος,
κατασπιλώσαντες αἰσχρῶς καὶ μολύναντες τοῦτο,
ἐξ ἐπηρείας ὄφεως καὶ φθόνῳ διαβόλου,
οἱ ὄντες ἄδοξοι τὸ πρὶν ἠτιμωμένοι, φεῦ μοι!
καὶ βδελυροὶ καὶ μιαροὶ καὶ βέβηλοι εἰς ἅπαν,
νῦν ἀπειλήφαμεν αὐτὸ κατὰ χάριν καὶ δῶρον
καὶ τῆς Ἀγγέλων μείζονες ἐφάνημεν ἀξίας,
καὶ τί τὸ μεγαλύτερον οὐ λέγω τε καὶ μεῖζον;
γεγόναμεν ἐλεύθεροι οἱ ἀγνώμονες δοῦλοι·
καὶ οἱ ἐχθροὶ καὶ ἔχθιστοι, υἱοὶ καὶ κληρονόμοι,
συγκληρονόμοι τοῦ υἱοῦ τοῦ Θεοῦ κατὰ χάριν,
ἐδείχθη εν, ὡς δέδεικται, δι' ἄκραν εὐσπλαγχνίαν
καὶ ἀδελφοὶ καὶ σύμμορφοι καὶ σύνθρονοι ἐκείνου·
ἄνθρωπος γέγονε Θεός, ἵνα Θεὸν ποιήσῃ,
τὸν ἄνθρωπον, ὃν ἔπλασε χερσὶν ἰδίαις πάλαι·
τοῦτο ἐστίν, ὃ εἴρηκα, μειζόνως δοξασθῆναι
ὑπὲρ Ἀγγέλους ἅπαντας τὰς οὐρανῶν δυνάμεις·
τοὺς μάρτυρας καὶ ἅπαντας τοὺς δικαίους τῷ τότε
καὶ λέγω σοι, κυρία μου, καὶ ἕτερον πρὸς τούτοις
ἀπέστη μὲν ὁ ἄνθρωπος ἀπὸ Θεοῦ ὑψίστου,

ἀπέστη δὲ καὶ πρὸ αὐτοῦ ὁ ποτὲ Ἑωσφόρος,
καὶ οὐδεμία γέγονε φροντὶς ὡς πρὸς ἐκεῖνον
ἵν' ἀνακτήσηται αὐτὸν καὶ φέρει εἰς τὸ πρῶτον
εἰς δὲ τὸν ἄνθρωπον αὐτὸν πολλαί τε καὶ ποικίλαι
καὶ ἴσασιν ἐλλόγιμοι ἄνδρες τὰ εἰρημένα.
καὶ ἄκουσον καὶ ἕτερον πρὸς τούτοις καὶ θαυμάσεις·
ἄνω καὶ κάτω ἡ Γραφὴ τὸν Θεὸν ὀνομάζει,
φιλάνθρωπον, φιλόψυχον, ὡς πανταχοῦ εὑρίσκω,
φιλάγγελον οὔτ' ἤκουσα οὐθ' εὗρον γεγραμμένον
καίτοι Θεοῦ τοῦ παντουργοῦ Ἄγγελοι πρῶτον ἔργον.
Καὶ περὶ τῶν ἀνθρώπων φησὶν ἡ Γραφὴ ἐγὼ εἶπα,
Θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου· καὶ πάλιν, υἱοὺς ἐγέννησα
καὶ ὕψωσα· καὶ ἀλλαχοῦ· πρωτότοκος υἱός μου,
Ἰσραήλ, Ἄγγελος δὲ οὐδαμοῦ Θεὸς ἐκλήθη,
οὐδὲ υἱὸς Θεοῦ ἀλλὰ πνεύματα λειτουργικὰ καὶ πυρὸς φλόγες.
Συνῆκας ἄρτι, δέσποινα, τὰς μαρτυρίας ταύτας,
αἵτινες ἐβεβαίωσαν καὶ ἐπεκύρωσάν μου,
ἰδοὺ τὸ δόγμα, κάλλιστα, ὡς ἔδειξεν ὁ λόγος,
ὅστις οὐ παραδέχεται ἀλλ' ἀπωθεῖται ταῦτα
οὗτος πιστὸς οὐ πέφυκεν οὔτ' ὀρθόδοξος ὅλως,
ἀλλ' οὖν ἐμοὶ λελόγισται αἱρετικὸς εἰς βάθος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ψυχή. Συνῆκα καὶ νενόηκα, ἐξέστην ὅλως ὅλη,
καὶ τοῦ Θεοῦ ἐκπλήττομαι τὸ ἔλεος τὸ μέγα,
ὅτι τὸν ἄνθρωπον ὁρῶ μειζόνως δοξασθέντα
ὑπὲρ Ἀγγέλους ἅπαντας καὶ τὰς Δυνάμεις πάσας·
τὸ ζήτημά μου λέλυκας εὐφυῶς, ὦ παιδίσκη,
περὶ ψυχῆς τοῦ τριμελοῦς ἐν τῷ δευτέρῳ λόγῳ
καὶ μετὰ τὴν ἀνάστασιν τό, οἷον καὶ πηλίκον
καὶ πῶς μεταμειφθήσεται Θεοῦ τῇ εὐδοκήσει,
ὁμοίως καὶ τὸ ἕτερον τὸ περὶ τῶν ἁγίων,
τῷ τότε πῶς ὀφθήσονται μείζονες τῶν Ἀγγέλων,
καὶ περὶ τούτων ἔδειξεν οὗτος ὁ τρίτος λόγος·
ἀρτίως δ' ἔχω ζήτημα πρὸς τούτοις ἕτερόν τι
καὶ λέξον περὶ τούτου μοι καὶ δίδαξον ὡς ἔχει·

τὴν γῆν τε καὶ τὸν οὐρανὸν καὶ τὰ ἐν μέσῳ τούτων,
τὴν κτίσιν γοῦν τὴν ἄψυχον καὶ ἀναίσθητον τότε,
ὡς κρείττω καὶ βελτίονα ὁμοῦ καὶ θειοτέραν,
καὶ ταύτην εἶπας ἔσεσθαι καὶ γενήσεσθαι τότε,
δηλοῦσαν τὴν ἐναλλαγὴν τὴν ταύτης καὶ τὸ σχῆμα
τὴν μεταποίησιν αὐτῆς καὶ κάλλος ὅπως ἕξει,
ἀλλ' οὖν εἰπὲ πλατύτερον ἐνθάδε περὶ ταύτης·
τὸν κόσμον, εἴπερ τὸν αὐτῆς μέλλει καὶ τότε ἔχειν,
τὸν αἰσθητὸν καὶ ὁρατὸν καὶ φαινόμενον τοῦτον,
ὃν ὁ Δαυΐδ ἀπαριθμῶν εἰς τὸ αἰνεῖν προτρέπει
τὸν κτίστην καὶ Δημιουργὸν τὸν ταύτης καὶ Δεσπότην.
ὡσαύτως δέ γε οἱ τρεῖς Παῖδες ἐπίσης τούτῳ
τὸν οὐρανὸν τοίνυν, φημὶ ἥλιον καὶ σελήνην,
τὰ ἄστρα πάντα καὶ τὸ φῶς, συνάμα καὶ τὸ ὕδωρ
ἐκ γῆς δὲ πάλιν δράκοντας καὶ πάσας τὰς ἀβύσσους,
χάλαζαν, πῦρ, χιόνα τε καὶ κρύσταλον σὺν τούτοις,
τὰ καταιγίδος πνεύματα, τοὺς ἀνέμους ἐμφαίνων,
τὰ ὄρη πάντα καὶ βουνοὺς καὶ ξύλα καρποφόρα,
θηρία, κτήνη, ἑρπετὰ καὶ πετεινὰ ὡσαύτως,
καὶ ὄμβρους, δρόσον τε, καὶ πῦρ, νύκτας καὶ τὰς ἡμέρας
ψύχος καὶ καῦσος, πάχνας τε ἀστραπάς, καὶ νεφέλας
καὶ τὰ ἐν τῇ γῇ φυόμενα, ὅσα καὶ οἷα πέλει,
θαλάσσας τε καὶ ποταμοὺς καὶ πηγὰς καὶ τὰ κήτη,
καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασιν· ἆρα
καὶ τότε πάντα ἔσονται, ὡς καὶ νῦν ἐν τῇ κτίσει;
πρὸς δὲ καὶ ὁ παράδεισος τὸ τῆς τρυφῆς χωρίον;
εἰπὲ πρὸς ταῦτα τἀληθές, εἴτι φρονεῖς, παιδίσκη;

Σάρξ. Ἐμὸν οὐδὲν τὸ σύνολον ἐρῶ σοι, Δέσποινά μου,
μήπως καὶ ἀποπέμψῃ μου ὡς ἀπηχῆ τὸν λόγον,
παρέξω δέ σοι μάλιστα Γραφικὰς μαρτυρίας
καὶ ἐξ αὐτῶν τὸ ἀληθὲς εἴσῃ καὶ πρὸς τοῖς ἄλλοις,
ἀλλά μου πρόσχες νουνεχῶς τῇ πρώτῃ μαρτυρίᾳ
καὶ σύνες ταύτης τὰ ῥητὰ ἔχει δ' ἡ λέξις οὕτως.

Τί δὲ καὶ ἕτερον προτείνονται ἡμῖν ἐπαποροῦντες οἱ τὰ κενὰ σοφοὶ καὶ τῶν κεκρυμμένων μυστηρίων ἐξετασταὶ ζητοῦσι μαθεῖν τί ποτε ἄρα μετὰ τὴν λύσιν ἔσται τοῦδε τοῦ παντός· πάσης ἐκλειπούσης δηλονότι πνοῆς, τίς ὁ καινὸς οὐρανός, καὶ ἡ καινὴ γῆ κατὰ

τὸν οὕτω λέγοντα κορυφαῖον τὴν γνῶσιν· καὶ εἰ ἄρα, ἐν τῷ κατὰ ἀνατολὰς φυτευθέντι παραδείσῳ, τῶν ἁγίων ἔσται ἡ κατασκήνωσις· ἔνθα πρῶτος ἐτέθη πλασθεὶς ὁ Ἀδάμ· καὶ εἰ ἐν τῇ καινῇ γῇ ἐκείνῃ αἱ κολάσεις ἔσονται τῶν ἁμαρτωλῶν· ἀλλὰ τὸν μὲν περὶ τούτων βαθύτερον λόγον, οἶδεν ὁ τὰ πάντα ποιήσας Θεὸς ἐκ μὴ ὄντων· καὶ μεταποιήσων ἐς ὕστερον αὐτὰ λόγοις ἀρρήτοις ἡμῖν· ἡμεῖς δὲ φαμὲν πρὸς αὐτοὺς πᾶν γὰρ τὸ γεγονὸς ἄνωθεν δι' αἰτίαν τινα πάντως γέγονεν· ἢ τίς ὁ ἄνθρωπος ἦν· πάντων οὖν τῶν ἀνθρώπων μετὰ τὴν τοῦ παντὸς λύσιν συναγομένων εἰς ἕν, καὶ διακρινομένων εἰς ἀποκληρώσεις, κατὰ τὸ ὅσιον λόγιον· «Πορεύσονται γάρ, φησίν, οἱ μὲν εἰς ζωὴν αἰώνιον οἱ δὲ εἰς τὸ πῦρ τὸ αἰώνιον»· αἰτίας μὴ οὔσης, ἤγουν ἀνθρώπου, τίνος ἕνεκεν ἄλλη πάλιν κτίσις παρὰ τοῦ δημιουργοῦ γενήσεται, καινή τις καὶ ὁρωμένη καὶ αἰσθητή. Ἡ γὰρ κτίσις πᾶσα κατ' ἀρχὰς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι διὰ τὸν ἄνθρωπον γέγονε· πάλιν, εἰ μέλλει Θεὸς αἰσθητῶς οὕτως καινὸν οὐρανὸν καὶ καινὴν ὑποστήσασθαι γῆν, ἀνάγκη δι' αἰτίαν τινὰ κατασκευάσαι τοῦτον αὐτά, εἰ δὲ ἐστιν ὁ ἄνθρωπος, ὥσπερ εἴρηται· ἀνθρώπων δέ, ἵνα καὶ ἄλλως σκοπήσωμεν περὶ τῶν ὁρωμένων, τῶν μὲν ἁρπαζομένων εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα καὶ οὕτω πάντοτε συνέσεσθαι τῷ Κυρίῳ, κατὰ τὸν Παῦλον, μελλόντων, «τοῦτο γάρ, φησί, λέγομεν ὑμῖν ἐν λόγῳ, Κυρίου, ὅτι ἡμεῖς, οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα», τῶν δὲ καταλειπομένων εἰς ποινὰς Ἅδου, ποία τῶν καινῶν τούτων αὖθις κτισμάτων ἡ χρεία, τοῦ Κυρίου ἡμῶν καὶ Θεοῦ ἐκτὸς ὄντος τοῦ παντὸς καὶ ὑπὲρ τὸ πᾶν ἐν τῇ δόξῃ τῆς ἀφράστου αὐτοῦ μακαριότητος; Τούτων δὲ οὕτως ἐχόντων καὶ πρὸς φωτεινοὺς οἱ μὲν ἀπερχόμενοι τόπους οἱ δὲ πρὸς ζοφώδεις καὶ σκοτεινούς, ὡς δραμὼν ὁ λόγος ἀπέδειξεν· τίς ἡ περιττὴ κτίσις ἐκείνη καὶ ὁ παρά τισι προσδοκώμενος οὕτω πως αἰσθητὸς οὐρανός; καὶ αἰσθητὴ ὡσαύτως καὶ πατουμένη γῆ; μὴ ὄντος δηλονότι τοῦ μέλλοντος βασιλεύειν καὶ ἀπολαύειν αὐτῶν; Νηπίων ταῦτα καὶ ἀτελῶν ἀνδρῶν καὶ νοῦν ὑγιῆ μὴ ἐχόντων ἀναπλάσματα καὶ διεφθαρμένων, μηδὲ τὸ διακριτικὸν αὐτῶν λελογισμένον καὶ ἄπταιστον—τί οὖν φησὶ δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοιχεῖα καυσούμενα τήκεται, καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν. Ποῦ οὖν ἐπηγγείλατο ἡμῖν ταῦτα ἐξετάσωμεν· ἡ νίκα τοὺς τῆς εὐσεβείας

βαθμοὺς ἀριθμῶν ἡμῖν εἰς ἀνόδους ἐννέα, δέκατον τέθεικε βαθμὸν ἐντὸς ἐκείνων τῶν καινῶν οὐρανῶν· φησὶ γάρ· «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·» εἶτα· «μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν»· καὶ συνελών· «χαίρετε, φησὶ καὶ ἀγαλλιᾶσθε ὅτι ὁ μισθὸς ἡμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ἐν ποίοις ἄρα, φησὶν οὐρανοῖς πολὺν ἡμῖν ἔσεσθαι τὸν μισθὸν ἐπηγγείλατο; ἐν οἷς, ὡς ἐπάγει τὸ τοῦ Πέτρου λόγιον, δικαιοσύνη κατοικεῖ· τίς οὖν ἐστιν ἡ δικαιοσύνη; ὁ Θεός· ὁ τῆς δικαιοσύνης καλούμενος ἥλιος. Εἰ οὖν ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ Θεός, ἐν τοῖς καινοῖς ἐκείνοις οὐρανοῖς κατοικεῖ, ὡς τὸ λόγιον: «Ὁ δὲ Θεὸς ἐκτὸς ἐστὶ τοῦ παντός, καὶ λυομένης τῆς κτίσεως, μένει ἐφ' ἑαυτόν, ὡσαύτως ὤν, καὶ ἀεὶ ὢν καὶ μηδέποτε τέλος ἔχων, οὐδὲν ἐν ἐκείνοις ἄλλως πως κτίσμα θεοειδέστερον ἄρα, ἢ μόνον φῶς ἀπρόσιτον· ἐν ᾧ οἰκῶν ὁ Θεός, φῶς ὡς ἱμάτιον, ἀναβάλλεται, καὶ τοὺς ὁσίους αὐτοῦ θεοειδεῖς ἀπεργάζεται· ἄλλως δέ, κατὰ τὸ λόγιον, ἀλλασσομένη καὶ ἀλλοιουμένη δέχεται τὴν ἀφθαρσίαν ἡ κτίσις ὥσπερ ἡμεῖς, καὶ οὐκ ἔσται εἰς φθορὰν ἔτι, ἀλλαγεῖσα καὶ τῆς δουλείας ἐλευθερωθεῖσα· ἐλευθερωθήσεται γάρ, φησί, καὶ αὐτὴ ἡ κτίσις ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ». Εἰ οὖν ἡ ἐλευθερία τῶν τέκνων τοῦ Θεοῦ θεία τις ἐστὶ καὶ ὑπέρλαμπρος δόξα, (ἔσονται γάρ, φησίν, ὅμοιοι Ἀγγέλοις Θεοῦ)· ἄρα παραπλήσιος αὐτῇ καὶ ἡ ἐλευθερία τῆς κτίσεως ἔσται, οὐχὶ δὲ τῶν ἁγίων ὁ κλῆρος αὖθις ἐν αὐτῇ ἔσται, ἀπεκδεχομένων συμβασιλεῦσαι Χριστῷ. Χριστὸς γὰρ Θεὸς ὢν καὶ φύσει ἀόριστος, οὐχ ὁρισθήσεται, ἀλλ' ἔνθα ἐστὶν ἐκ δεξιῶν καθήμενος τοῦ Θεοῦ καὶ Πατρός, ἐκεῖ καὶ πάντες οἱ Χριστὸν ἐσχηκότες ἐν αὐτοῖς ζῶντα καὶ λαλοῦντα, διὰ τοῦ Πνεύματος γενήσονται, καθὼς ἐκεῖνος αὐτὸς ὁ Θεὸς Λόγος πρὸς τὸν Πατέρα φησί: «Πάτερ, οὓς δέδωκάς μοι θέλω, ἵνα, ὅπου εἰμί ἐγώ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν, ἣν δέδωκάς μοι· τὴν γὰρ δόξαν, ἣν ἔδωκας μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς ἓν ἐσμέν· οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ». Εἰ δὲ φίλον σοι εἶ, ἄνθρωπε, ἡ τοῦ παραδείσου ἀπόλαυσις, μᾶλλον ἐλεῶ σε τῆς δυστυχίας.

Σάρξ. Ἰδού, κυρία, ἤκουσας τὴν πρώτην μαρτυρίαν,
λοιπόν, πρὸς τούτοις, ἄκουσον καὶ δευτέραν καὶ τρίτην·
ὁ Ἰωάννης ὁ χρυσοῦς τὴν γλῶτταν καὶ τὸ στόμα,

εἰς τὸ ῥητόν, ὃ γέγραφεν ὁ Παῦλος πρὸς Ῥωμαίους,
αὐτολεξὶ δ' ὧδε ἔχει πως· ὅπερ ἀκούσας γνῶθι
τὴν φράσιν ἅμα τοῦ ῥητοῦ τὴν δύναμιν, τὸν τρόπον.

«Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἐκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα· ὃ δὲ λέγει τοιοῦτον ἐστί· φθαρτὴ φησὶ ἡ κτίσις ἐγένετο τοῦ Θεοῦ κελεύσαντος οὕτως· ἐκέλευσε δὲ ὁ Θεὸς οὕτως· διὰ τὸ γένος τὸ ἡμέτερον: ἐπειδὴ γὰρ φθαρτὸν ἔμελλε τρέφειν ἄνθρωπον, καὶ αὐτὴν τοιαύτην εἶναι ἐχρῆν· οὐ γὰρ δὴ φθαρτὰ σώματα ἤμελλεν, ἀφθάρτῳ ἐνδιαιτᾶσθαι κτίσει· ἀλλ' ὅμως οὐ μένει τοιαύτη φησίν, ἀλλὰ καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς. Εἶτα δηλῶν τοῦτο πότε ἔσται καὶ διὰ τίνας ἐπήγαγεν· εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ· ὅταν γὰρ ἀνακτῶμεν, φησί, καὶ ἄφθαρτα λάβωμεν σώματα, τότε καὶ τοῦ οὐρανοῦ τὸ σῶμα καὶ τῆς γῆς καὶ τῆς κτίσεως πάσης ἄφθαρτον ἔσται καὶ ἀκήρατον».

Καὶ ταῦτα μέντοι ὁ χρυσοῦς τὴν γλῶσσαν Ἰωάννης·
ἀλλ' ἄκουσον καὶ ἕτερον ἐξηγητὴν πρὸς τούτοις·
καὶ δέξαι τρίτον μάρτυρα ἐπὶ τοῖς εἰρημένοις:

Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως, ὃ λέγει, τοιοῦτον ἐστί· «καὶ αὐτή, φησίν, ἡ κτίσις σφόδρα προσδοκᾷ τὴν μέλλουσαν ἡμῶν δόξαν· διατί; ἄφθαρτος, φησί, πλασθεῖσα, διὰ τὰς τῶν ἀνθρώπων ἁμαρτίας φθαρτὴ γέγονεν· ἐπειδὴ καὶ ἡμεῖς ἐξ ἀφθάρτων φθαρτοὶ γεγόναμεν. Βούλεται οὖν ἡ κτίσις τοὺς ἀνθρώπους τὴν ἀφθαρσίαν ἀπολαβεῖν· ἔσται δὲ τοῦτο ἐν τῇ ἀναστάσει, ἵνα καὶ αὐτὴ τὴν οἰκείαν ἀφθαρσίαν ἀπολάβοι· τοῦ γὰρ ἀνθρώπου, δι' ὃν ἡ κτίσις γέγονε φθαρτή, τὴν δὲ ἀφθαρσίαν ἀπολαμβάνοντος, καὶ αὐτὴ τὴν οἰκείαν συναπολήψεται ἀφθαρσίαν· προσωποποιΐα δὲ ἐστὶ τὸ πᾶν, ἵνα τὴν τῶν ἀγαθῶν ὑπερβολὴν δηλώσῃ καὶ ἵνα δείξῃ ὅτι ἡμεῖς μᾶλλον ὀφείλομεν σπουδάζειν τῆς τοιαύτης δόξης καὶ ἀφθαρσίας ἐπιτυχεῖν, ἤπερ ἡ κτίσις· ἐπεί, μὴ νόμιζε τὴν ἄψυχον κτίσιν καὶ ἀναίσθητον τὰ τοιαῦτα προσδοκᾶν ἢ αἰσθάνεσθαι. Ἀποκαραδοκία δὲ λέγεται οἱονεὶ ἐκτεταμένη προσδοκία, τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ, τὸ τέλος, ὅταν μέλλωσι δείκνυσθαι τίνες υἱοὶ Θεοῦ, καὶ τίνες υἱοὶ διαβόλου· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οἷον τῇ φθορᾷ· τοῦτο γὰρ κατεκρίθη διὰ τὰς ἡμῶν ἁμαρτίας, οὐχ ἑκοῦσα· τῆς τοῦ Χρι-

στοῦ δυνάμεως ἐστὶ τοῦτο ἔργον, φησί, καὶ τὸ ἄκουσαν ὑποτάξαι· ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς καὶ αὐτὴν τὴν ἀπαλλαγὴν ἐλπίζει· ἐπ' ἐλπίδι οὖν ἀπαλλαγεῖσα, ὑπετάγη· λοιπὸν δὲ ἑαυτὸν ἑρμηνεύει πῶς ἐπ' ἐλπίδι· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται εἰς τὴν ἐλευθερίαν τῆς δόξης· τουτέστι δι' ἡμᾶς ἔσται καὶ ἡ κτίσις ἄφθαρτος· ὥσπερ γὰρ δι' ἡμᾶς γέγονε φθαρτή, οὕτω πάλιν δι' ἡμᾶς ἔσται ἄφθαρτος· ὅτι εἰς τὴν ἐλευθερίαν τῆς φθορᾶς ἐλεύσεται ἐκ φθαρτῆς ἄφθαρτος γενομένη. Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· εἰ δὲ ἡ κτίσις στενάζει βουλομένη ἀποθέσθαι τὴν φθοράν, πολλῷ μᾶλλον ἡμεῖς τοῦτο θέλειν ὀφείλομεν.

Σάρξ. Ἰδού, κυρία, ἤκουσας ἀπὸ Γραφῆς τῆς θείας
καὶ τί ἀπελογίσατο καὶ τί ἡρμήνευσέ σοι
περὶ ζητήματος τοῦ νῦν καὶ πεύσεως ἐν κτίσει·
τίς ὁ καινὸς μὲν οὐρανός, τίς ἡ καινὴ γῆ δ' αὖθις·
λοιπὸν ἀμφίβαλλε μηδὲν ἐπὶ τοῖς εἰρημένοις
ἀλλ' ἄφθαρτον, ἀκήρατον, ἀκούουσα τὴν κτίσιν
τῷ τότε δὴ γενήσεσθαι, ὡς ἤδη σοι προεῖπον,
μηδὲν προσδόκα τῶν φθαρτῶν τῶν τῇδε καὶ ῥεόντων
καὶ τότε ἔχειν τὴν αὐτὴν μηδαμῶς, δέσποινά μου ;
τούτων γὰρ πάντων οὐδαμῶς ἐπιδεὴς τυγχάνει
ἡ τόθ' ἡμῖν παναληθὴς προσδοκωμένη τέρψις·
ταῦτα γὰρ πάντα ἐξ αὐτῆς οἰχήσεται, τῷ τότε,
οὐδὲν ὑπολειφθήσεται μικρὸν ἀλλ' οὔτε μέγα
ἐν ἀπεκδύσει τῆς φθορᾶς συναποβαλλομένων
τῶν αἰσθητῶν, τῶν ὁρατῶν, τῶν φαινομένων τούτων,
οὐχ ἕξει χρείαν οὐδενός, ὧνπερ ἀπηριθμήσω,
μᾶλλον δ' οὐ σύ, ἀλλὰ πρὸ σοῦ, Δαυῒδ καὶ οἱ τρεῖς Παῖδες·
ἀντὶ γὰρ τούτων πάντων γε ἔσται ἡ θεία φύσις
πρὸς πᾶσαν χρείαν τῆς ζωῆς ἐκείνης τῆς μελλούσης
αὐτὴν ἐπιμερίζουσα πρεπόντως ἁρμοζόντως
ἡμῖν πᾶσιν ἀληθῶς ἀφθόνως καὶ πλουσίως,
καὶ τοῦτο δῆλον φαίνεται ἀπὸ Γραφῆς τῆς θείας·
ὅτι καὶ τόπος γίνεται ὁ Θεὸς τοῖς ἀξίοις
καὶ οἶκος αὖ καὶ ἔνδυμα καὶ τροφή τε καὶ πόσις

καὶ φῶς καὶ πλοῦτος καὶ τρυφὴ καὶ βασιλεία τότε
καὶ πᾶν γε, εἴτι νόημα καὶ ὄνομα ὡσαύτως,
ἡμῖν πρὸς τὴν τῶν ἀγαθῶν συντελοῦν ζωήν, εὖγε.
Ψυχή. Λοιπόν, ὡς ἀποδέδεικται ἀκριβῶς, ὦ παιδίσκη,
οὐδὲ τὰ τέσσαρα αὐτὰ στοιχεῖα τὰ μεγάλα,
ἀέρα λέγω καὶ τὸ πῦρ, τὴν γῆν τε, καὶ τὸ ὕδωρ,
ἐν τούτοις δὴ τοῖς τέσσαρσι πεφυκότων ἁπάντων
τῶν αἰσθητῶν, τῶν ὁρατῶν, σὺν ζώοις ζωοφύτοις,
πρὸς τούτοις δ' αὖ ἀψύχοις τε πρὸς δὲ τοῖς ἀναισθήτοις
τῶν μὲν εἰς ὕδωρ τε καὶ γῆν, τῶν δὲ καὶ εἰς ἀέρα·
εἰ οὐκ ἔσονται ταυτί λοιπὸν οὐδὲ στοιχεῖα,
δι' ὧν ταῦτα τὴν ὕπαρξιν ἐσχήκασιν ἀρχῆθεν,
καὶ πόθεν ἔγωγε λοιπὸν εὑρήσω μου τὸ σῶμα,
εἰπέ μοι γοῦν ἀκήρατον, ἀνώλεθρον, πῶς ἔσται ;
καὶ θεουργὸν καὶ θεωρόν, θεοείκελον τότε·
τό γε ἁπλοῦν, μονοειδές, θεοειδὲς ὡσαύτως,
καὶ τὸ διανοητικὸν καὶ διακριτικόν τε
καὶ πῶς καὶ τὸ ἀΐδιον καὶ ἀκραιφνὲς τυγχάνει,
ὅπερ ἀποληψόμεθα τῷ τότε κατὰ χάριν,
καί, εἰ ποιότης πέφυκε καὶ ποσότης ἐν τούτοις,
καὶ πηλικότης, δούλη μου, καί γε καὶ ποικιλία,
Σάρξ. Τὰ περὶ τούτων ἄδηλα μὴ ἐρεύνα, κυρία,
μηδέ γε τὰ βαθύτερα ζήτει ἐμπεριέργως
ἄχρις οὗ δέδεσαι ἐμοὶ τῇ σαρκὶ τῇ γεώδει
γυμναῖς προσβάλλειν μὴ τολμᾷς ταῖς θεωρίαις ταύταις
οὐδὲ γὰρ δύναται ταὐτὶ ἀκοῇ χωρηθῆναι,
σωματικῇ καὶ γεηρᾷ καὶ παχείᾳ τὰ νῦν γε·
ἀπολυθείσης τῆς φθορᾶς οὔπω σου δέσποινά μου
οὐδέ γε τῆς μελλούσης σε ἔτυχες ἀφθαρσίας,
ἀλλ' ἔτι σου τὴν σάρκα με φερούσης τὴν αἰσχίστην,
καὶ τοῦτο δῆλον πέφυκεν ἀπὸ ῥητῶν τοῦ Παύλου·
φησὶ γὰρ οὕτως οὑτωσί «βλέπομεν τοίνυν ἄρτι,
ὡς ἐν ἐσόπτρῳ, δέσποινα, καὶ αἰνίγματι πάντες,
ὀψόμεθα δὲ πρόσωπον πρὸς πρόσωπον τῷ τότε,
ὁπόταν ἀπολάβωμεν τὴν ἀφθαρσίαν», εὖγε·
λοιπόν, κυρία, πάρες με, μὴ πάρεχέ μοι κόπους·
ἀλλ', ὅταν μέλλῃς τοῦ μαθεῖν Γραφικόν τι καὶ θεῖον,

μὴ ζήτει τοῦτο παρ' ἐμοῦ ἀλλ' ἐκ τῶν εὖ εἰδότων·
τῶν γὰρ τοιούτων ἀμαθὴς τυγχάνω τὸ παράπαν·
λοιπὸν ὁ λόγος ἐνταυθοῖ τὸ πέρας εἰσδεχέσθω.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Ψυχή. Μὴ δή, παιδίσκη μου; μὴ δή! ἀλλ' εἰπέ μοι πρὸς τούτοις
βραχὺ περὶ τὰ ἔσχατα τοῦ νῦν αἰῶνος τούτου,
καὶ συντελείας τῆς αὐτοῦ πότε, καὶ πῶς, καὶ οἷα,
καὶ πότε ὁ ἀντίχριστος ἐλεύσεται ἐκεῖνος·
ἡ προσδοκία τούτου γὰρ φοβεῖ με καὶ ταράττει·
διψῶ μαθεῖν, θεράπαινα, τ' ἀληθὲς περὶ τούτου·
μήπως εὑρὼν ἀδίδακτον συλήσῃ με ὁ πλάνος.

Σάρξ. Τὸ *ὅθεν* ἥξει καὶ τὸ *πῶς*, ἴσως ἐρῶ σοι μάλα,
τὸ δέγε *πότε*, οὐδαμῶς· ἄδηλον γὰρ ὑπάρχει·
τοῦτο πολλάκις ἤροντο τὸν Χριστὸν καὶ οἱ τούτου
Ἀπόστολοι καὶ Μαθηταί, ἀλλ' οὐκ εἶπε τὸ *πότε*·
τοῦτο γὰρ μόνον πρὸς αὐτούς ἀπεκρίνατο φήσας,
οὐδεὶς οὐκ οἶδεν οὐδαμῶς ἐκείνην τὴν ἡμέραν
οὐδὲ οἱ Ἄγγελοι αὐτοί· ἀλλ' ὁ πατήρ μου μόνος·
καὶ πῶς, ὅπερ ἀπέκρυψεν ἐκεῖνος ἐγὼ φράσω;
στοχαστικῶς μὲν ἔφασαν πολλοὶ πολλά, κυρία·
τινὲς μὲν ἐφαντάσθησαν ἐκ τοῦ ἐν ἓξ ἡμέραις,
τὸν κόσμον ἅπαντα φησὶ κτισθῆναι καὶ γενέσθαι
παρὰ Θεοῦ τοῦ παντουργοῦ καὶ κτίστου τῶν ἁπάντων
καταπαῦσαι δὲ τῇ ἑξῆς· ἥτις ἐστὶν ἑβδόμη·
τῆς ἕκτης χιλιάδος δὴ συμπληρουμένης τότε
γενέσθαι τὴν συντέλειαν κοινήν τε καὶ καθόλου,
ἐπεὶ φησὶ τὰ χίλια ἔτη μία ἡμέρα
παρὰ Θεῷ λογίζονται, ἀνάγκη, πληρουμένης
τῆς ἕκτης χιλιάδος γε, ἤτοι ἡμέρας ἕκτης,
συμπληρωθῆναι δὴ καὐτὸν τὸν κόσμον τῷ αἰῶνι,
τὸν ἐν ταῖς ἓξ γενόμενον ἡμέραις, δέσποινά μου·
ἐψεύσθησαν δε οἱ αὐτοί, ὡς ἤδη ἀπεφάνθη·
φασὶ δὲ πάλιν ἕτεροι ὅτι, ἐπείπερ ἔστι
τοιγάρτοι ἑβδοματικὸς ὁ παρὼν αἰὼν οὗτος,
χρὴ τοῦτον ἐπαρκέσαι μὲν καὶ διαμεῖναι ἕως

καὶ ἡ ἑβδόμη χιλιὰς πᾶσα περατωθείη·
χρὴ γὰρ τὸν ἑβδοματικὸν αἰῶνα, τῷ ἑβδόμῳ
συντελεσθῆναι ἀριθμῷ ὡς Σολομὼν εἰρήκει,
μερίδα δός δὴ τοῖς ἑπτὰ καὶ τότε τοῖς ὀκτώ γε,
ὁ μέντοι ἑβδοματικὸς αἰὼν τῆς ἐργασίας,
ὁ δ' ὄγδοος τοῦ μέλλοντος αἰῶνος φέρει τύπον,
ἀλλὰ καὶ τούτων τὸ ῥητὸν ἀνεύλογον δοκεῖ μοι,
καὶ ἄλλοι πάλιν φέροντες καὶ θείαν μαρτυρίαν,
ἐκ τῆς ἀποκαλύψεως Ἰωάννου τοῦ πάνυ·
φησὶ γὰρ οὗτος ἐν αὐτῇ ἀναφανδὸν διδάσκων,
ὅτι προσκυνηθήσεται τὸ ἄμωμον ἀρνίον,
κυρία, ἔτη χίλια, τὸν Χριστὸν ὑπεμφαίνων,
θηρίον δὲ τὸ κάκιστον, τὸν διάβολον, φήσας
δεθείη ἔτη χίλια, ἔκτοτε δὲ λυθείη ;
πλανήσει δὲ λαὸν πολὺν ἐξ Ἐθνῶν καὶ Ἑβραίων
καὶ ὅτι μετὰ τὸν σταυρὸν τοῦ Χριστοῦ καὶ τὸ πάθος
καὶ τὴν εἰς Ἅδου κάθοδον ἐδέθη τὸ θηρίον
καὶ οὕτω τότε ἤρξατο τιμᾶσθαι τὸ ἀρνίον,
καὶ ἀριθμοῦσιν ἔκτοτε τὰ χίλια γε ἔτη,
ἀλλ' οὐδὲ οὗτοι τ' ἀληθὲς εἰρήκεισαν, κυρία,
τὰ ἔτη γὰρ τὰ χίλια ἐπὶ τοῦ ἀορίστου
λαμβάνονται, ὡς ἔμαθον παρὰ πολλῶν ῥητόρων,
ἰδοὺ γὰρ ἀπὸ τοῦ Χριστοῦ, ἄχρι δὴ καὶ τῆς δεῦρο
πεπλήρωται τὰ χίλια, πρὸς δὲ καὶ ἑκατόν τε
καὶ πέντε ἐπὶ τούτοις γε ἕως τοῦ νῦν δὴ ἔτους,
ἂν δ' ἀριθμῇς ἐκ τῆς ταφῆς τῆς τούτου καὶ τοῦ πάθους,
πεφύκασί γε χίλια ἑβδομήκοντα δύο,
καὶ πρόσχες μοι τὸν ἀριθμὸν καὶ νόει, ἅπερ λέγω·
ἐξ ὅτου τοίνυν κατ' ἀρχὰς Φαέθων ὦπται πόλῳ,
εἰσὶ τὰ ἔτη ἅπαντα ψηφιζόμενα οὕτως,
πεντακισχίλια πρὸς δὲ καὶ πεντακόσιά γε,
ἃ μέντοι καὶ παρῴχηκε μέχρι Χριστοῦ Κυρίου,
καὶ οὕτως ἐπεδήμησε σαρκωθεὶς ἐκ Παρθένου,
εἶθ' οὕτως ἤδη πεντακὸς καὶ ἑξακὸς παρῆλθεν
ἰδοὺ καὶ πέντε ἕτερα, ἰνδικτιὼν δὲ πέμπτη,
κύκλος σελήνης πέφυκεν δωδέκατος τἀνῦν γε,
τοῦ δὲ ἡλίου ἔνεστιν εἰκοστὸς πέμπτος αὖθις,

ὁμοῦ τὰ ἔτη γίνονται, ἀπὸ Χριστοῦ τοῦ πάθους,
χίλια ἑβδομήκοντα καὶ δύο δὲ πρὸς τούτοις,
τοῦ ἄνακτος ἓξ καὶ δέκα ἀρτίως Ἀλεξίου, (1)
πρὸς τούτοις δὲ καὶ ἕτεροι πολλοὶ καὶ ἄλλην ἄλλως,
προεῖπον οὖν στοχαστικῶς περὶ τῆς συντελείας
ἀλλὰ παρέσθωσαν αὐτά, οὐ χρὴ τοιαῦτα γράφειν,
ὅτι οὐδέν τι βέβαιον ἐν τούτοις ἐφευρίσκω,
καὶ γὰρ τὸ ὄντως ἀληθὲς οὐδεὶς ἐκ τούτων εἶπεν,
περὶ τῆς ὥρας δηλαδὴ καὶ ἡμέρας ἐκείνης,
λοιπὸν ἐγώ, κυρία μου, εἰπεῖν σοι πῶς ἰσχύσω ;
ὅπερ οὐκ ἴσχυσεν εἰπεῖν πώποτε τις τῶν πάλαι·
τῷ Γρηγορίῳ πείθομαι μάλιστα Θεολόγῳ
ὑπὲρ τοὺς ἄλλους ἅπαντας καὶ τῇ ῥήσει τῇ τούτου,
τῇ οὕτω πως λεγούσῃ γε, ὅτι δεῖ πληρωθῆναι
τὸν ἄνω κόσμον ὁ Χριστὸς κελεύει καὶ οὐκ ἄλλος,
πληροῦται δέ γε ὁ αὐτὸς ἀπὸ τῶν σῳζομένων
ἁγίων καὶ δικαίων τε τῶν εὐσεβῶς βιούντων,
τούτων ἁπάντων αἱ ψυχαὶ συνάπτονται ἐκεῖσε
καὶ τόπον καὶ τὸν ἀριθμὸν ἐκεῖνον δὲ πληροῦσιν·
ἀφ' οὗ κακῶς ἐξέπεσεν ὁ ποτὲ Ἑωσφόρος
μετὰ μυρίας στρατιὰς ἀγγέλων καὶ πληθύος,
οὓς ἴσχυσεν ὁ κάκιστος αὐτῷ συγκα ασπᾶσαι·
ὁπόταν τοίνυν πληρωθῇ ὁ ἀριθμὸς ἐκείνων
ἐκδέχου τὴν συντέλειαν αἰῶνος τοῦ παρόντος.

Περὶ Ἀντιχρίστου.

Τὸ δὲ πῶς ἐλεύσεται καὶ ὅθεν ὁ ἀλάστωρ,
ἐρῶ σοι ταῦτα ἀκριβῶς, ὡς ἤδη ὑπεσχόμην,
καὶ ἄρτι κλῖνόν σου τὸ οὖς καὶ ἐνωτίζου τάδε·
τῆς πρώτης μὲν ἐλεύσεως τοῦ Χριστοῦ καὶ Θεοῦ μου
Ἰωάννης προέδραμε μετάνοιαν κηρύττων·
τῆς δὲ δευτέρας ἔσεται Ἠλίας ὁ προφήτης,
προέφη τοῦτο ἔκπαλαι προφήτης Μαλαχίας·

(1) Ἐπὶ Ἀλεξίου Α' Κομνηνοῦ ἐγράφη τὸ παρὸν συντεθὲν ἐν ἔτει ͵ΞΧΕ' ινδ. ε'. Ὁ Ἀλέξιος ἐβασίλευσε τῷ 1081 διαδεχθεὶς τὸν Νικηφόρον Γ. Βοτανειάτην.

ἀλλ' οὖν καὶ Ἰωάννης τε ὁ θεολόγος αὖθις,
καὶ τούτου ἡ ἀποκάλυψις ἐδίδαξέ με μάλα·
φησὶ γὰρ ὡς ἐλεύσεται Ἠλίας ὁ προφήτης·
ἐμφαίνει δέ γε σὺν αὐτῷ καὶ ἕτερον ἀρχαῖον
φημὶ τὸν δίκαιον Ἐνώχ, τοὺς δύο λέγων ἅμα,
καὶ σάκκους ἀμφιέσονται καὶ κηρύξουσι πᾶσι
τὴν ἔλευσιν τοῦ ἐναγοῦς ἀντιχρίστου καὶ πλάνου·
προδράμωσι δὲ τῆς Χριστοῦ παρουσίας τῷ τότε,
ἡμέρας δὶς τὸ πεντακὸς καὶ δὶς τὸ τρὶς ὡσαύτως
πεντάκις τὸ πεντήκοντα, τετράκις τὸ δεκάκις,
ὡς οὕτω δὲ καὶ Δανιὴλ προέφησεν εὖ μάλα,
τὰ τούτοις μέντοι ὅμοια καὶ ἀδελφὰ καὶ οὗτος:
θήσω διαθήκην λέγων ὡς μίαν ἑβδομάδα,
εὐθέως δὲ ἐπήγαγεν εἰς τὸ ἥμισυ ταύτης,
ἀρθήσεται τὸ καύχημα τῆς λατρείας ἁπάσης,
καὶ τῶν ἁγίων ἡ δυὰς κηρύξει τρία ἔτη
καὶ ἥμισυ πρὸς τούτοις γε εἰς ἅπαντα τὸν κόσμον·
τοσούτων ἄλλων μετ' αὐτοὺς ὁ βέβηλος κρατήσει,
ὁ πλάνος δὴ ἀντίχριστος καὶ ἀντικυριεύσει,
βιαίως τιμωρούμενος, Χριστὸν τοὺς προσδοκῶντας·
ἐλεύσονται δὲ πρὸ αὐτοῦ ψευδόχριστοι πολλοί γε,
ψευδοπροφῆται σὺν αὐτοῖς, πρόδρομοι τοῦ ἀντάρτου,
σημεῖα τε καὶ τέρατα μεγάλα ἐκτελοῦντες,
πλανήσουσι τοὺς πλείονας ἐκ τῶν ἀφελεστέρων,
πρὸς δέ γε κἀκτῶν τῶν ἐκλεκτῶν, εἰ δυνατὸν ὡσαύτως,
πικρὰν δὲ ὁ παμμίαρος ἐφεύρει τότε ρίζαν,
ἐπάξιον τῆς τούτου γε ὄργανον πονηρίας,
παρθένος αὕτη τὸ δοκεῖν, ἀλλ' ἐναγὴς εἰς ἅπαν,
καὶ ἐξ αὐτῆς τεχθήσεται ὁ δόλιος ἐκεῖνος,
μιμεῖται γὰρ πρὸς τὴν Χριστοῦ ἐνανθρώπισιν οὗτος·
σημεῖα δὲ καὶ τέρατα δοκεῖ ποιεῖν ὁ πλάνος,
οὐκ ἀληθῶς ἀλλὰ ψευδῶς καὶ διὰ μαγγανείας,
ὃν δέξονται οἱ ἄνομοι καὶ Χριστὸν ἐξαρνοῦνται.

Ψυχή. Καὶ ποία ἐστιν ἡ φυλὴ καὶ ποῖον δὴ τὸ γένος,
ἐξ οὗ γε καὶ τεχθήσεται ὁ σκολιὸς καὶ γόης,
καί, εἴπερ προεφήτευσε τοῦτό τις τῶν ἀρχαίων,
τῶν ὄντων πρὸ τοῦ Μωϋσῆ καὶ προφητῶν ἁπάντων.

Σάρξ. Λοιπόν, κυρία, ἄκουσον ἀρχαίαν προφητείαν,
ὁ Πατριάρχης Ἰακὼβ ἐπευλογῶν τοὺς παῖδας,
τοὺς δώδεκα τοὺς ἑαυτοῦ, ἡνίκα ἐτελεύτα,
τοῦτο γε προεθέσπισεν, ἐκ Πνεύματος ἁγίου,
τὰ κατὰ τὸν ἀντίχριστον τὸν ἀποστάτην λέγω,
ἡ πρόρρησις ἡ τούτου γε σφόδρα ἁρμόττει τούτῳ,
ἣν εἴρηκε πρός γε τὸν Δάν, τὸν παῖδα δὴ τὸν τούτου,
ὃν ἐκ τῆς Βάλλας ἔτεκε τῆς τῆς Ραχὴλ παιδίσκης,
Δὰν γάρ, φησί, κρινεῖ ὡς δὴ τὸν ἑαυτοῦ λαόν τε,
ὡσεὶ καὶ μία Ἰσραὴλ φυλὴ καὶ γένος τότε,
Ἰούδα ὥσπερ ἐκ φυλῆς ὁ Χριστὸς ἐκβλαστήσας
διέσωσεν, ὡς δέδεικται, τὴν οἰκουμένην πᾶσαν
οὕτω φυλῆς τῆς ἐκ τῆς ἐκ τοῦ Δὰν ὄφις ὀλέθριός τε,
κάκιστος ἐξελεύσεται θανατηφόρος πάντῃ·
τοῦτο γὰρ ἐστίν, ὃ φησίν, γεννηθήτω Δὰν ὄφις
καθήμενός τε ἐφ' ὁδοῦ ἐπὶ τρίβου δολίως,
καὶ δάκνων πτέρναν ἵππου τε καὶ πεσεῖται ὀπίσω,
ἱππεύς τε καὶ καραδοκῶν σωτηρίαν κυρίου·
ἀπάταις γὰρ παντοδαπαῖς, ἐπειδὴ κεχρημένος
ἀγρεύειν μὲν εἰς ὄλεθρον πειρᾶται φενακίζων,
ὄφει τινὶ ἀπείκασεν αὐτὸν ἕρποντι κάτω,
παρά τινα φωλεύοντι ἀτραπόν τε καὶ τρίβον,
τούς παριόντας ἅπαντας λυμαινομένῳ ἄρδην·
ἵππον γάρ, οἶμαι, κέκληκεν αὐτὸ τὸ σῶμα τούτου,
καὶ ἐπιβάτην τὴν ψυχήν, σύνες, ψυχή, καὶ νόει
πεσεῖν δὲ εἰς τοὐπίσω δὲ καὶ ὕπτιον τοῦ κεῖσθαι
τὸν θάνατον παραδηλοῖ, τοιοῦτον γὰρ τὸ σχῆμα
τῶν τεθνεώτων, δέσποινα, φεῦ τῆς ἀπάτης τούτου,
ἣν διὰ πτέρνης τῆς αὐτοῦ ᾐνίξατο εὖ μάλα
ἐπεὶ τοὺς μὲν ἐξαπατᾷ τοῖς δέ γε ἐπιφέρει
κολάσεις παγχαλέπους τε καὶ πόνους καὶ ὀδύνας·
τὸ σῶμα μὲν δεδήλωκεν οὕτω διὰ τοῦ ἵππου,
οὗ δακνομένου ὑπ' αὐτοῦ καὶ διαφθειρομένου
γίνεται θάνατος εὐθύς, τῆς ἐλπίδος κομίζων
καρποὺς τοῖς ὑπομένουσι τὰς τούτου γε κακώσεις,
καρπὸς δὲ πέφυκε λοιπὸν τῆς τοιαύτης ἐλπίδος
ἡ σωτηρία τῶν πολλῶν, ὑπομονῇ τῶν πόνων·

τεχθήσεται γοῦν ἀληθῶς ἐξ ἀκαθάρτου κόρης,
σαρκοῦται δέ γε οὐκ αὐτὸς ἀλλὰ δοκήσει πάντως,
καὶ ἥξει ὁ παμμίαρος καὶ δόλιος καὶ ψεύστης,
ἡσύχιος καὶ ταπεινὸς μισῶν τὴν ἀδικίαν,
εὐλάβειάν τε προτιμῶν καὶ εἴδωλα μυσάττων,
φιλόπτωχος, φιλόρφανος, ἀγαθός, ἐλεήμων,
πρὸς πάντας ἱλαρώτατος, εὐκατάστατος ὅλος·
τιμῶν καὶ μεθ' ὑπερβολῆς τὸ γένος τῶν Ἑβραίων·
οὐδόλως δῶρα λήψεται, μετ' ὀργῆς οὐ λαλήσει,
καὶ κατηφὴς οὐ δείκνυται, ἀλλ' ἱλαρὸς καὶ πρᾷος,
εἰρηνικὸς καὶ δίκαιος, ἄχρις ἂν βασιλεύσῃ,
ψευδευλαβὴς τῷ σχήματι ἐξαπατῶν τὸν κόσμον,
ἀρέσαι δὲ τεχνάζεται ὁ δόλιος τοῖς πᾶσιν
ἀγαπηθεὶς ὑπὸ λαοῦ καὶ πτωχοῦ καὶ πλουσίου
ὁ δῆμος δὲ τῶν φονευτῶν Ἰουδαίων, τῷ τότε,
μετὰ μεγάλης τῆς κραυγῆς στέψουσι βασιλέα
Ἐδὼμ δὲ αὖθις καὶ Μωάβ, υἱοὶ Ἀμμὼν σὺν τούτοις,
ὡς βασιλεῖ γνησίῳ τε προσκυνήσουσι τότε,
διὸ καὶ προτιμῶν αὐτοὺς ὑπὲρ πάντα τὰ ἔθνη
καὶ πρόνοιαν ποιούμενος τοῦ ναοῦ καὶ τοῦ τόπου,
ναὸν ἐξαναστήσειε περιούσιον τούτοις.
λαβὼν οὖν ὁ παμμίαρος τὴν πᾶσαν ἐξουσίαν,
τοὺς δαίμονας ἀποστελεῖ εἰς ἅπαντα τὸν κόσμον,
ὥστε κηρύξαι τὴν αὐτοῦ ἀρχὴν καὶ βασιλείαν·
μέγας ἐφάνη βασιλεὺς ἐν Ἱεροσολύμοις
καὶ ἅγιος καὶ δίκαιος· δεῦτε εἰς θέαν τούτου·
τότε καθήσει ὡς Θεὸς ἐν τῷ ἁγίῳ τόπῳ·
τοῦτο προέφη Δανιὴλ καὶ αὖ ὁ μέγας Παῦλος
βδέλυγμα ἐρημώσεως κεκλήκασί τον οὗτοι·
καὶ τὸν Ἠλίαν καὶ Ἐνὼχ ἀποκτενεῖ, μαχαίρᾳ·
μετὰ δὲ ταῦτα ὁ δεινὸς ἐμέσει τὴν κακίαν
καὶ τὴν πικρίαν τὴν αὐτοῦ, ἰὸν θανατηφόρον,
οὐκ ἔτι μὲν ὡς εὐλαβής, οὐκ ἔτι πτωχῶν φίλος,
οὐκέτι πρᾶος, ἱλαρός, ἀλλ' ἀπηνὴς τὸν τρόπον,
ἀπότομος καὶ αὐστηρός, ὀργίλος τε εἰς ἄκρον,
καὶ βάσκανος καὶ ἄγριος, φοβερός, ἰταμός τε,
καὶ ἀναιδὴς καὶ βδελυρὸς *τελχίν*, ἀλάστωρ, ὄφις·

σημεῖα δέγ' ἐπιτελεῖ καὶ τέρατα μεγάλα,
καὶ φόβητρα καὶ δείματα, πολλῇ τῇ ἐξουσίᾳ
ἐκ πεπλασμένων φαντασμῶν ἐργάζεται τὰ πάντα·
ἐκ ταύτης δέ γε τῆς μορφῆς εἰς ἄλλην μεταλλάττει,
καὶ εἰς ἀέρα ἵπταται καὶ σχηματίζει αὖθις,
ὥσπερ Ἀγγέλους, δαίμονας, ὡς πανοῦργος καὶ γόης,
σημεῖά τε καὶ φόβητρα πληθύνων, μεγαλύνων,
καί γε τὰ ὄρη μεθιστᾷ, ψευδῶς οὐκ ἀληθείᾳ,
δημάρχους, φεῦ μοι, καθιστᾷ τὰ βρώματα κρατοῦντας,
ἵν' ὅταν τις καὶ στενωθῇ ἐκ πείνης τε καὶ δίψης,
βρωμάτων ὑστερούμενος ἀναγκασθεὶς σφραγῖδα
τοῦ ἀντιχρίστου δέξηται ἐν τῷ μετώπῳ τούτου,
καὶ ἐν χειρὶ τῇ δεξιᾷ, ἵνα μὴ ἔχῃ οὗτος
ἐξουσίαν ὁ ἄνθρωπος σφραγισθῆναι τῷ τύπῳ,
καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἐν τῷ μετώπῳ τούτου·
γινώσκει γὰρ ὁ δόλιος τὴν ἄμυναν τὴν τούτου,
ἥτις γε ἐστὶν ὁ σταυρός, τὸ ἀήττητον ὅπλον
πᾶσαν αὐτοῦ τὴν δύναμιν καταλῦον ἐν τάχει·
τρόπῳ παντὶ τεχνάζεται, τὸ ὄνομα Κυρίου
μηδόλως ὀνομάζεσθαί ἐν ἡμῖν, ὢ ἀπάτης!
καὶ ὅστις φέρει μετ' αὐτοῦ τὴν σφραγῖδα τοῦ πλάνου,
ἐν τῇ χειρὶ τῇ δεξιᾷ καὶ τῷ μετώπῳ τούτου,
ἐξωνήσεται βρώματα ἐκ τῶν εὑρισκομένων·
ἡ θάλασσα ταράσσεται, ξηραίνεται δὴ γαῖα
νεφέλαι δὲ οὐ βρέχουσιν, ἐκλείψει γὰρ ἡ δρόσος·
οἱ ποταμοὶ καὶ αἱ πηγαὶ ψηγήσονται εἰς τέλος,
φυτὰ δέ, ὅσα ἐν τῇ γῇ, ξηρανθήσονται ἄρδην
οἱ ἄνθρωποι δὲ φεύξονται ἐνθάδε καὶ ἐκεῖσε,
οἱ ὄντες γὰρ ἐπὶ δυσμὰς εἰς τὴν ἕω δραμοῦνται,
καὶ οἱ ἐν τῇ ἀνατολῇ, ἐπὶ δυσμὰς ὡσαύτως,
μετὰ πολλοῦ τοῦ φόβου τε καὶ τρόμου καὶ δειλίας,
σεισμοί, λιμοί, καὶ θάνατοι εἰς ἅπαντα τὸν κόσμον,
καὶ σύγχυσις ἐπὶ τῆς γῆς καὶ φόβητρα ἐν ὄρει
πεῖνα καὶ δίψα ἄμετρος εἰς ἅπαντας ἀνθρώπους,
ἀλλ' ἔτι μετὰ τοῦ λιμοῦ καὶ τῆς δίψης ἐκείνης,
θηρία ἄπειρα, δεινά, ἑρπετὰ ἰοβόλα,
πρὸς τιμωρίαν ἅπαντα τῶν ἀνθρώπων, κυρία·

ἔνδον γὰρ φόβος πέφυκε καὶ ἔξω τρόμος αὖθις·
φωνὴ κλαυθμοῦ ἀμέτρητος ἐπὶ πάντας ἀνθρώπους
καὶ συναντήσεται πατὴρ τῷ τέκνῳ τῷ ἰδίῳ,
υἱὸς δ' οὖν αὖθις τῷ πατρὶ καὶ τῇ μητρὶ θυγάτηρ,
καὶ ὑποτίτθιοι πρὸς δὲ τῇ τιθηνῷ τῇ τούτων,
καὶ ἀδελφοὶ τοῖς ἀδελφοῖς καὶ φίλοι πάλιν φίλοις,
περιπλακέντες θνήξουσιν, οἴμοι ψυχή μου, οἴμοι,
μεγάλη θλίψις ἔσεται, τῷ τότε, καὶ ἀνάγκη,
οἵα οὐ γέγονε ποτὲ ἄχρι τῶν τότε ἄλλη,
ἐξ ὅτου τόνδε ἔκτισε Θεὸς τὸν κόσμον ὅλον,
ἐκλείψει δ' οὖν ὁ ἥλιος, ὁμοίως καὶ σελήνη,
τὸ φῶς αὐτῶν οὐ δώσουσιν ἀλλ' οὐδὲ οἱ ἀστέρες·
ὁ ἀδελφὸς τὸν ἀδελφὸν εἰς θάνατον προδώσει,
ὡσαύτως δὲ καὶ ὁ πατὴρ τὰ τέκνα τὰ οἰκεῖα,
καὶ αὖ τὰ τέκνα τοὺς γονεῖς, τῷ τότε, θανατοῦσιν.
ἐκλείπει δὲ τὰ νήπια ἐν κόλποις τῶν μητέρων,
καὶ πάλιν θνήξει ἡ τοκὰς ἐπάνω τοῦ νηπίου·
ὁ θάπτων δὲ οὐ πάρεστιν οὐδ' ὁ συστέλλων τούτους,
τὰ ζῶα πάντα θνήξουσιν ἐκ πείνης τε καὶ δίψης.
οἱ ζῶντες μακαρίζουσι τοὺς ὄντας ἐν τοῖς τάφοις·
ἐκ δέ γε αὖθις τῶν πολλῶν θνησιμάτων τῶν τότε,
τῶν ἐρριμμένων πανταχοῦ ἐν ταῖς πλατείαις, οἴμοι,
τοὺς ζῶντας θλίψει δυσχερῶς ἡ τότε δυσωδεία,
πάντες πρωῒ στενάξουσι βοῶντες μετ' ὀδύνης,
ἑσπέρα πότε ἔσεται καὶ ἄνεσις τῶν πόνων·
φθασάσης δέ γε τῆς νυκτός, ἐν δάκρυσι, βοῶσι,
πότε ἡμέρα γίνεται καὶ φύγωμεν τῶν τῇδε,
καὶ ποῦ κρυβῆναι οὐκ ἔστιν οὐδὲ φυγεῖν, κυρία·
τότε ὁ νῦν φιλούμενος καὶ περισπούδαστός γε
χρυσὸς καὶ ἄργυρος, πρὸς δὲ πολυτίμητοι λίθοι,
καὶ βύσινα καὶ σηρικά, ὁ δοκῶν εἶναι πλοῦτος,
καὶ δόξα καὶ εὐπρέπεια καὶ κάλλος καὶ τερπνότης,
καὶ εἴ τι ἄλλο τίμιον ἐστὶν ἐν τοῖς ἀνθρώποις,
ὁρῶντες ἅπαντα ταυτὶ ἐν τῇ γῇ ἐρριμμένα,
οὐδεὶς ὁ ταῦτα γε ποθῶν οὐδεὶς ὁ ταῦτα αἴρων·
ἀλλ' ὡς πηλὸν λογήσονται πάντα καταπατοῦντες,
οἱ δὲ πεισθέντες ἅπαντες ἐκείνῳ τῷ δολίῳ

καὶ τὴν σφραγῖδα τὴν αὐτοῦ λαβόντες, ὢ ἀπάτης!
προσέλθωσι τῷ ἐναγεῖ μετ' ὀδύνης βοῶντες:
ἰδοὺ δὴ ἐκλελοίπαμεν ἐκ πείνης τε καὶ δίψης
δός, φάγωμεν καὶ πίωμεν, ἀπεκάμομεν ἤδη·
καὶ ἀφ' ἡμῶν ἀπέλασον, ὦ ἄναξ, τὰ θηρία·
μὴ ἔχων δὲ ὁ μιαρὸς πόθεν αὐτοῖς τι δοῦναι
ἐρεῖ τοῖς πᾶσιν ἀναιδῶς, ἐν πολλῇ αὐστηρίᾳ·
ὁ οὐρανὸς οὐ βούλεται τῇ γῇ ὑετὸν δοῦναι
ἡ γῆ δ' αὖθις οὐ δίδωσι γεννήματα εἰς βρῶσιν,
καὶ δρᾶσαί τι ἀμηχανῶ, μὴ μὲ παρενοχλεῖτε,
πόθεν ἡμῖν δώσω τοῦ φαγεῖν καὶ ποιεῖν· οὐκ αἰδεῖσθε;
πενθήσει τότε πᾶσα γῆ καὶ θάλασσα ὁμοίως
πενθήσει δὲ καὶ ὁ ἀὴρ καὶ πετεινὰ καὶ ζῶα,
πενθήσει ὄρη καὶ βουνοὶ καὶ ξύλα τοῦ πεδίου,
καὶ οἱ φωστῆρες οὐρανοῦ καὶ πλήθη τῶν ἀστέρων,
ὁρῶντα γένος βρότειον ὅτι ἐξέκλινέ τι,
ἀπὸ τοῦ κτίστου καὶ Θεοῦ καὶ πλάστου τῶν ἁπάντων,
τῷ πλάνῳ δὲ ἐπίστευσαν δεξάμενοι σφραγῖδα
τοῦ ἐναγοῦς ἀντιχρίστου καὶ βεβήλου Βελίαρ,
ἡ γῆ καὶ θάλασσα πενθεῖ διὰ φωνῆς, ψαλμοῦ τε,
πῶς ἄφνω γὰρ κατέπαυσεν ἐκ στόματος ἀνθρώπων
καὶ προσευχή τε καὶ εὐχὴ καὶ δέησις κυρίῳ,
πενθήσει πένθος μέγα τε καὶ ἐκκλησία πᾶσα,
διότι γε οὐ προσφορά, ὅλως οὐ λειτουργία,
οὐκ ἔσται γὰρ θυμίαμα ἁγιασμοῦ ἐν ταύταις
ψαλμοὶ καὶ ὕμνοι παύσονται καὶ πᾶσα δὴ λατρεία·
χρόνους γὰρ τρεῖς καὶ ἥμισυ κρατήσει ὁ ἀλάστωρ,
καί, εἰ μὴ ἐκολόβωσε Κύριος τὰς ἡμέρας
ἐκείνας ὁ φιλάνθρωπος θέλων σωθῆναι πάντας,
οὐκ ἂν ἐσώθη πᾶσα σὰρξ ἐκ τοῦ ἀλιτηρίου,
διὰ δὲ μὴν τοὺς ἐκλεκτοὺς κολοβώσει ταύτάς γε·
ἕνεκα δὲ τῆς θλίψεως ἐκείνης τῆς μεγάλης
φειδόμενος τῶν ἑαυτοῦ ὡς εὔσπλαγχνος προβάτων,
μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τριῶν ἥμισυ χρόνων
ἀρθήσεται τὰ σκάνδαλα ἐκ μέσου γῆς, τῷ τότε,
ἥξει λοιπὸν ἐξ οὐρανοῦ ὡς ἀστραπὴ ἐν δόξῃ
ὁ ἅγιος καὶ φοβερὸς καὶ ἔνδοξος καὶ μέγας,

νυμφίος ὁ ἀθάνατος ὁ Χριστὸς καὶ Θεός μου,
μετὰ δυνάμεως πολλῆς καὶ δόξης ἀνεικάστου,
τότ᾽ Ἄγγελοι σαλπίσουσι καὶ τάφοι ἀνοιγῶσι,
καὶ ὀφθαλμοῦ, ὡς ἐν ριπῇ, ἐξαναστῶσι πάντες
οἱ ἀπ᾽ αἰῶνος ἄνθρωποι τῇ γῇ κατακρυφθέντες,
οἱ ζῶντες ἀλλαγήσονται, ὁμοίως ὡς κἀκεῖνοι,
οἱ δίκαιοι ἁρπάζονται ἐν δόξῃ, ἐν νεφέλαις,
εἰς ἀέρα ἄνωθεν εἰς ἀπαντὴν τοῦ Κυρίου,
οἱ δέ γε αὖ ἁμαρτωλοὶ οἱ κατ᾽ ἐμέ, κυρία,
ἐν γῇ καταλειφθήσονται οἰμώζοντες ἐνδίκως,
καὶ ἄγεται ὁ τύραννος δεδεμένος καὶ πάντες
οἱ δαίμονες ἐνώπιον τῷ τότε τοῦ Χριστοῦ μου,
σὺν τούτοις καὶ οἱ ἔχοντες τοῦ πλάνου τὴν σφραγῖδα,
καὶ δίδωσιν ὁ βασιλεὺς ὁ Χριστὸς καὶ Θεός μου,
τὴν κατ᾽ αὐτῶν ἀπόφασιν τῆς κρίσεως ἐκείνης,
τῆς αἰωνίου καὶ μακρᾶς ἐν πυρὶ τῷ ἀσβέστῳ
τότε πληροῦται εἰς αὐτὸν ἡ ῥῆσις Ἠσαΐου
καὶ ἔσται λέγοντος αὐτοῦ ἐν ἐσχάταις ἡμέραις,
ἐπάξει τότε ὁ Θεὸς τὴν μάχαιραν ἐκείνην,
τὴν δὴ μεγίστην ἰσχυράν, ἁγίαν καὶ μεγάλην,
ἐπὶ τὸν μέγαν δράκοντα, τὸν σκολιὸν τὸν ὄφιν
καὶ ἀνελεῖ τὸν δράκοντα τῇ ἡμέρᾳ ἐκείνῃ
ὄφιν καὶ δράκοντα αὐτὸν τὸν διάβολον νόει,

Ψυχή. Καὶ ποῖον δὴ τὸ ὄφελος ἀντίχριστον ἰδέσθαι
καὶ τί τὸ κέρδος πέφυκε τῆς αὐτοῦ παρουσίας·
καὶ ποία αὕτη οἴσεται οἰκονομία, δούλη,
καὶ πῶς γε συνεχώρησε τοῦτο Θεὸς γενέσθαι;

Σάρξ. Μὴ σὲ θροεῖ, κυρία μου, τοῦ πράγματος τὸ ξένον
Θεὸς οὐδὲν παραχωρεῖ γενέσθαι ἢ πραχθῆναι
τῶν γινομένων πάντοτε εἰκῇ καὶ μάτην οὕτως·
ὁ Παῦλος ὁ ἀπόστολος τοῦτο σαφῶς προέφη,
εἰς τὴν δευτέραν Θετταλῶν ἐπιστολὴν εὖ μάλα,
καὶ λέλυκε τὸ ἄπορον καὶ τὸ ζητούμενόν σοι,
ἰσχύει ὁ ἀντίχριστος ἐν τοῖς ἀπολλυμένοις,
καὶ ὅσα βούλεται ποιεῖ ἀπονητὶ ἐν τούτοις,
περὶ Ἑβραίων εἴρηκε τῶν φονευτῶν Χριστοῦ μου,
ἀνθ᾽ ὧν γὰρ οὐκ ἐδέξαντο τὴν ἀγάπην τὴν ὄντως,

τῆς ἀληθείας δηλαδὴ εἰς τὸ σωθῆναι τούτους,
ἀγάπην πάντως ἀληθῆ τὸν Χριστὸν παρεδήλου,
καὶ διὰ τοῦτο ὁ Θεὸς ἐνέργειαν δὴ πλάνης
πέμψει αὐτοῖς, ὡς γέγραπται, εἰς τὸ πιστεῦσαι τούτους
τῷ ψεύδει, αἰνιττόμενος τὸν ἀντίχριστον πάντως·
εἰ οὖν μὴ παρεγένετο ὁ δόλιος ἐκεῖνος,
οὐκ ἂν ἐπείσθησαν αὐτοὶ ὡς ἔνοχοι τοῦ φόνου·
λοιπὸν αὐτὸς ἐλεύσεται ἐλέγξων τούτους τάχα,
καὶ γὰρ ἵνα μὴ μέλλωσι λέγειν αὐτοὶ τῷ τότε,
ἐπείπερ ἔλεγε Χριστὸς Θεὸς εἰμί, ἀλλά γε
καὶ τοῦ Θεοῦ μονογενὴς υἱὸς ἐγὼ ἐν τούτῳ,
οὐκ ἐπιστεύσαμεν αὐτῷ ὡς ἅτε ἀντιθέῳ,
ταύτην αὐτῶν τὴν πρόφασιν ἐκεῖνος ἀναιρήσει,
ὁπόταν ἔλθῃ ἀναιδῶς, οὐδὲν μὲν ἐπιτάττων
ἢ ἀληθὲς ἢ ὑγιὲς ἀλλὰ ψευδῆ τὰ πάντα,
ἀντίθεα, παράνομα, Θεὸν ἀποδεικνύντα,
πειρώμενον εἶναι αὐτὸν τὸν ζῶντα εἰς αἰῶνας·
τότε τὰ στόματα αὐτῶν ἀπορράψει δικαίως,
εἰ γὰρ Χριστοῦ οὐκ ἤκουσαν εἰς τὸ πιστεῦσαι τούτῳ,
πολλῷ γε μᾶλλον οὐκ ἐχρῆν πιστεῦσαι ἀντιχρίστῳ·
ὁ γὰρ Χριστὸς ἐφθέγγετο τὸ παρὰ Πατρὸς πεπέμφθαι,
καί τι ποιεῖν μὴ δύνασθαι ἄτερ ἐκείνου γνώμης·
αὐτὸς δέ γε τὸ ἔμπαλιν, ὑπεραιρόμενός πως·
μηδὲν λεγόμενον Θεοῦ ἢ σεβάσματι ἄλλο,
ὡς πλὴν ἐμοῦ οὐδεὶς ἐστὶν ἄλλος Θεὸς ἐν κόσμῳ,
ἐγὼ γὰρ ἔκτισα τὴν γῆν καὶ οὐρανὸν καὶ πάντα··
καὶ διὰ τοῦτο ἔλεγεν ὁ Χριστὸς πρὸς Ἑβραίους:
ἐγώ, φησίν, ἐλήλυθα, ἐν τῷ ὀνόματί γε,
τῷ τοῦ Πατρός μου καὶ Θεοῦ καὶ οὐκ ἐδέξασθέ με,
ἐλεύσεται γοῦν ἕτερος σκαιὸς ἐν τῷ ἰδίῳ
ὀνόματι καὶ λήψεσθαι ἐκεῖνον ἀσπασίως.

Ψυχή. Καὶ ἀληθῶς ὁ σατανᾶς αὐτὸς μέλλει σαρκοῦσθαι ;
καὶ ἡ οὐσία τούτου γε μετὰ σαρκὸς κραθείη ;
ψυχὴν ἐχούσης τε καὶ νοῦ καὶ λογικὰς δυνάμεις ;
καὶ ἄνθρωπος οὐσιωδῶς γενήσεται ἐκεῖνος ;

Σάρξ. Οὐχί, κυρία μου, οὐχί, μὴ οἴου τοῦτο ὅλως,
ἀλλὰ ἐκ γένους μὲν τοῦ Δὰν καὶ χώρας Γαλιλαίας

κόρη παρθένος τὸ δοκεῖν, παμβέβηλος δε πάντη,
γεννήσει τότε ἄνθρωπον ἐκ μιασμοῦ πορνίας,
καὶ εἰς αὐτὸν ὁ σατανᾶς εἰσέλθη τηνικαῦτα,
καὶ πᾶσαν τούτου δέξεται ἐνέργειαν κακίστην,
γενόμενος ἐξεστηκὼς καὶ ἔνθους ὑπ' ἐκείνου,
καὶ δι' αὐτοῦ τὰ πάνδεινα ἐργάσεται καὶ δράσει,
ἅπερ ὁ λόγος ἄνωθεν ἀπηριθμήσατό σοι·
ἰδού, κυρία, εἰπόν σοι καὶ τὸ δι' ἣν αἰτίαν,
ἐλεύσεται ὁ κάκιστος ἀντίχριστος ἐκεῖνος,
παραχωροῦντος τοῦ Θεοῦ τὴν πρόφασιν ἐξώσων
τῶν παρανόμων καὶ σκαιῶν, τῶν φονευτῶν Ἑβραίων·
ὡσαύτως ἵνα τῶν πιστῶν ἀνδρικὴ καὶ γενναία
ἀνθρώπων δύναμις ὀφθῇ καὶ πάλη κατὰ τούτου,
καὶ γένωνται ἀρχέτυπον ἀνδραγαθίας στῆλαι,
καὶ οὕτως ἀποφήνηται, ὡς στεφάνων ἀξίους
τοὺς ἀνδρικοὺς καὶ καρτεροὺς ἀξιονίκους πάντας·
ἀλλ' οὐκ ἐκεῖνον ὁ Θεὸς εἰς ἀντιπάλου τάξιν
κεκλήρωκέ πως τοῖς πιστοῖς, μὴ οἶου τοῦτο ὅλως,
ἀλλὰ εἰς δέον τῇ αὐτοῦ χρώμενος πονηρίᾳ
καθάπερ δὴ καὶ ἰατροὶ καὶ ταῖς ἐχίδναις χρῶνται,
καί τισιν ἄλλοις ἑρπετοῖς εἰς ῥῶσιν τῶν σωμάτων,
εἰς νοσημάτων ἴασιν ἀπαλλαγὴν τῶν πόνων·
ὅλως δὲ σὺ μὴ φρόντιζε τὴν ἔλευσιν ἐκείνου
καὶ παρουσίαν κάκιστον τὸ *πῶς* καὶ *πότε* ἥξει·
οὐδὲν ἐκ ταύτης ὄφελος εὑρήσεις τὸ παράπαν
ἀλλὰ τὸν θάνατον αὐτὸν καὶ χωρισμόν σου μᾶλλον
τὸν ἐξ ἐμοῦ ἐσόμενον προσδόκα καθημέραν·
τοῦτο γὰρ ὅρος πέφυκε φιλοσοφίας ἄκρας,
καθάπερ καί τις τῶν σοφῶν ἔφησεν οὕτω πάλαι :
μιμνήσκω σου τὰ ἔσχατα καί γε εἰς τὸν αἰῶνα
οὐχ ἁμαρτήσεις αἴσχιστα οὐδ' οὐ μὴ πλημμελήσῃς
καὶ θαῦμα πῶς καὶ Ἕλληνες ἐφθέγξαντο τότε τοῦτο
φιλοσοφίαν θέμενοι μελέτην τοῦ θανάτου·
ὥσπερ ἀναγκαιότερος ἄρτος βρωμάτων πάντων
εἰς σύστασιν τοῦ σώματος τυγχάνει τῷ φρενήρει,
οὕτω πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου μνήμη·
πεινῶντι γὰρ ἀδύνατον μὴ μνημονεύειν ἄρτου

καὶ τῷ σωθῆναι θέλοντι μνήμης τῆς τοῦ θανάτου·
τοίνυν καλῶς ἀποθανεῖν βουλεύου καθημέραν
ἢ ζῆν αἰσχρῶς αἰώνια, ὅπερ θανάτου χεῖρον·
οὐ γὰρ ἀπόλλυσι ψυχὴν ὁ θάνατος, ὡς οἶσθα,
ἀλλ' ὁ κακὸς καὶ αἴσχιστος βίος καὶ τρόπος, φεῦ μοι!
εἰ τάχα καὶ ἀθάνατος παρὰ Θεοῦ ἐκτίσθη,
ἀλλ' ἀρετῆς ἡ ἄγνοια, θάνατος πέλει ταύτης·
λοιπὸν τὸ τέλος τῆς ζωῆς προσδόκα καθημέραν
καθ' ὥραν μᾶλλον, μᾶλλον δὲ καὶ στιγμὴν ἀνενδότως·
καὶ παρακάλει τὸν Θεὸν ἐξ ὅλης σου ἰσχύος
τοῦ καταπέμψαι Ἄγγελον ἐν ἐκείνῃ τῇ ὥρᾳ
πιστόν, εἰρήνης ὁδηγόν, πρὸς πορείαν τὴν ἄνω
ἵν' ὁδηγήσῃ σε καλῶς παραδραμεῖν τοῦ σκότους
τὸν ἄρχοντα, καὶ τῶν αὐτοῦ δαιμόνων ἐξαιρήσῃ
τὰ ζοφερὰ τελώνια, καὶ τὰς μορφὰς τὰς τούτων
καὶ φθάσας ἄνω εἰς τὸ φῶς τὸ ἀνέσπερον, εὖγε,
τῶν ὀρεκτῶν τὸ ἔσχατον, ναί Χριστέ, γένοιτό σοι,
τὸ τριλαμπὲς καὶ ἄπειρον καὶ ἄσβεστον ἐκεῖνο,
ἔνθα ὁ ἦχος καὶ ἡ φωνὴ ἑορταζόντων πέλει,
εὐφραινομένων πνεύματα καὶ ψυχαὶ τῶν δικαίων·
ὦ βασιλεῦ μου καὶ Θεέ, Δημιουργὲ τῶν ὅλων,
ὦ καὶ ἡ πρώτη τοῦ Πατρὸς σοφία τε καὶ λόγε,
δι' οὗ προήγαγεν ὡδὶ τὰ πάντα ἐκ μὴ ὄντων,
ὦ Πνεύμα ἅγιον, δι' οὗ Θεὸς ἐμπνέων πᾶσι
συνέχει διασῴζει τε καὶ ἄγει ἐν ἀμείνῳ·
ὦ Τριὰς ἡ θεία ὄντως, καὶ μονὰς ἡ ἁγία,
ὦ φῶς τὸ τρισυπόστατον, Πάτερ, Υἱέ, καὶ Πνεῦμα,
τὴν μνήμην δοίης καὶ ἡμῖν τοῦ ἄνω κάλλους ὅλην,
καὶ δοίης δ' αὖθις τῷ παντί καὶ τὴν ἀθανασίαν,
ὦ κάλλιστον ἢ μέγιστον τὸ σύμβολον, ὡς σχῶμεν,
Τριὰς ἁγία δόξα σοι, Πάτερ, Υἱὲ καὶ Πνεῦμα,
ἡ πίστις μου, τὸ σέβας μου, τὸ φῶς μου, ἡ ζωή μου,
τὸ καύχημα, τὸ στήριγμα, ἐλπίς μου ἡ βεβαία
νῦν καὶ ἀεὶ καὶ πάντοτε εἰς αἰῶνας αἰώνων.

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ

Τάδε ἔνεστιν ἐν τῷ τετάρτῳ Λόγῳ.

α΄) Ἐρωτῶ μαθεῖν πῶς τὰς ἄνω τῶν Ἀγγέλων λογικὰς οὐσίας προϋπέστησεν ὁ Θεός· τὰς δὲ κάτω δημιουργεῖ καὶ ἔτι λογικὰς καὶ ταύτας οὔσας, λέγω δὴ τὰς ψυχάς.

β΄) Ἆρα ἴσαι τῶν ἁπάντων ἀνθρώπων αἱ ψυχαὶ ἢ ἔχουσι διαφορὰν παραλλαγῆς ἐν τῇ αὐτῶν οὐσίᾳ καὶ φύσει.

γ΄) Ἆρα οὖν ὁ Θεὸς αἴτιος τοῦ εἶναι τοὺς ἀνθρώπους τοὺς μὲν σοφοὺς καὶ σώφρονας, τοὺς δὲ μωροὺς καὶ πόρνους· ἕτερον ἀμετάδοτον, καὶ ὠμόν, ἄλλον πάλιν θυμώδη καὶ ὀργίλον τε, ἕτερον δ' αὖ ἤπιον, ἢ οὔ;

δ΄) Ἡ φωνὴ δ' αὖθις πῶς ἐστὶ ποικίλη καὶ διάφορος ἐν τοῖς ἀνθρώποις.

ε΄) Ὅτι εἰς οὓς ὁ Θεὸς θέλει τὰ τῆς φύσεως μεθιστᾷ ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίονα.

ς΄) Ἆρα τίς ὁ αἴτιος εἰς τὰ πάθη καὶ συμπτώσεις τῶν τικτομένων ἀνθρώπων.

ζ΄) Ὁ κάκιστος δὲ ἐχθρὸς καὶ πολέμιος πῶς ἐνσπείρει εἰς τὰς ἡμῶν καρδίας ἀπρεπεῖς καὶ αἰσχρὰς ἐνθυμήσεις καὶ πῶς τοῦτον ὁ Θεὸς παρεχώρησε πολεμεῖν τοῖς ἀνθρώποις.

η΄) Αἱ ψυχαὶ πῶς ἐκεῖ μιμνήσκονται τῶν ἰδίων καὶ φίλων, καὶ πῶς ὑπὲρ αὐτῶν πρεσβεύουσι, ἐκτὸς οὖσαι τῶν σωμάτων αὐτῶν, καί, εἰ ἄρα ἐνεργοῦσι τὰ νῦν ἐκεῖ αἱ ψυχαί.

θ΄) Εἴπερ ἄρα μετὰ τοῦ Χριστοῦ εἰσὶν αἱ ψυχαὶ τῶν ἁγίων· ἄλλο λοιπὸν τί ἐστὶ μεῖζον, ὅπερ μέλλουσι λαβεῖν εἰς ἀμοιβὴν τῶν ἑαυτῶν πόνων καὶ καμάτων εἰς τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν.

ι΄) Ὅτι ὁ Χριστὸς μετὰ τοῦ λῃστοῦ οὐκ εἰσῆλθεν εἰς τὸν ἐπὶ γῆς παράδεισον, τὸν αἰσθητὸν ἐκεῖνον, ἀλλ' οὔτε ἄλλη τις ἑτέρα ψυχὴ τῶν ἁγίων μετά γε τὴν τοῦ Χριστοῦ ταφὴν καὶ ἀνάστασιν.

ια΄) Περὶ τοῦ νοητοῦ παραδείσου καὶ τῶν ἐν αὐτῷ θείων φυτῶν, καὶ τίνες οἱ τούτων καρποί, τροπικὴ θεωρία.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ψυχή. Τί δήποτε, θεράπαινα, τὰς λογικὰς δυνάμεις
τὰς ἄλλας προϋπέστησε καὶ διώρισε πάλαι,
τὰς τῶν Ἀγγέλων, λέγω δή, ὁ Θεὸς καὶ δεσπότης,
τὰς τῶν ἀνθρώπων δὲ ψυχάς, λογικὰς καὶ αὐτὰς οὔσας,
ἔτι καὶ νῦν προβάλλεται δημιουργῶν ταύτας γε.
Σάρξ. Προεῖδε πάντως ὁ Θεὸς τὰς λογικὰς δυνάμεις,
ὅτι οἱ ἄνθρωποι αὐτὰς θαυμάσαντες μεγάλως,
ἀνάρχους τε νομίσαντες ἀγεννήτους ταύτας·
λοιπὸν κακῶς πολλὰς ἀρχὰς καὶ μυρίους θεούς γε
δημοκρατίαν ἄτακτον ποιήσουσι κυρίαν,
ἀντὶ τῆς τεταγμένης δὴ εἰσάγοντες ἐν βίῳ·
οἵτινες καὶ τὸν αἰσθητὸν ἐπαινέσαντες κόσμον
καὶ στάντες τοίνυν ἐν αὐτῷ Θεὸν ἄναρχον εἶπον
πρὸς δὲ καὶ ἀγέννητον ᾠήθησάν πως τοῦτον
εἰς φαντασίαν ἄλογον ἐξώκειλαν καὶ πλάνην·
διά τοι τοῦτο τὰς ἡμῶν ψυχάς, λογικὰς οὔσας,
ἔτι καὶ νῦν προβάλλεται παράδειγμα τῆς τούτου
δυνάμεώς τε καὶ βουλῆς πρὸς δὲ διδασκαλίας
τῶν ἤδη μὲν ἀγγελικῶν τῶν προϋφεστηκότων,
ὡς ἐξ ἑνὸς δημιουργοῦ γέγονε μὲν τὰ πάντα
καὶ ἐκ μιᾶς δυνάμεως ἀρχῆς καὶ ἐξουσίας
ἡ λογικὴ καὶ νοερὰ προῆλθε φύσις πᾶσα,
καὶ ὅτι πρόεισιν ἰδού, μὴ ἀπιστήσητέ γε,
εἰς ἡμᾶς ἀποβλέποντες νεωστὶ φυομένους
ἢ ταῖς προϋπηργμέναις δὴ οὐσίαις τε ὁμοίως,
ὑπὲρ τὸν ἄνθρωπον αὐτὸν βαδίζετε καὶ μέχρι
ἀρχῆς τῆς πρώτης, ὡς ἑνόν, ἀναβαίνετε τοίνυν
τῆς ἀνθρωπείας μὲν ψυχῆς νεωστὶ γενομένης,
λοιπόν γε καὶ τὰς πρὸ αὐτῆς λογικὰς δὴ δυνάμεις
οἴου ἔκ του δημιουργοῦ τὴν ἀρχὴν εἰληφέναι·
οὐδὲν ἀργὸν καὶ περιττὸν ἐργάζεται ἢ μάτην
ἡ δύναμις, κυρία μου, τοῦ ποιητοῦ καὶ κτίστου,
οὐ χρόνῳ δὴ μαραίνεται οὐδὲ αἰῶνι λήγει,
οὐδ᾽ ἐπιστήμη μέχρι τοῦ, διορίζεται ὅλως·
ψυχὴν γὰρ ὁμοούσιον οὐ πεποίηκεν οὔκουν,

ὁμοίαν δέ, ὡς ἐφικτόν, καί γε οἷον εἰκόνα,
καὶ εἰ φιλοσοφοίημεν τῷ Θεῷ προσεικάζειν,
τὸ δὲ προσόμοιον λοιπὸν τῷ ἀθανάτῳ ὄντι
ὑπάρχει καὶ ἀΐδιον, ἀθάνατον, εἰς ἅπαν·
τὸ γὰρ θνητὸν οὐχ ὅμοιον τῷ ἀθανάτῳ πέλει
ἀλλ' ἐναντίον, δέσποινα, ἀνόμοιόν τι πάντῃ·
τοιαύτη οὖν προέρχεται ἡ ψυχὴ τοῦ ἀνθρώπου
οὐσία μέντοι λογικὴ καὶ ἀεικίνητός τε
ζωὴν ἐξ αὐτῆς ἔχουσα χορηγεῖν δυναμένη,
ᾧ συνεδέθη σώματι καὶ αὐτεξούσιός γε,
θαυμάσαις ἂν τὴν δύναμιν τὴν ἔνδον καὶ τὴν φύσιν
ἀπὸ τῆς ποικιλίας δὴ καταμαθὼν τῶν ἔξω·
πᾶσα γὰρ τέχνη καὶ πρὸς δὲ ἐπιστήμη ὡσαύτως
τοιγάρ τοι ἡ ἐνέργεια πρᾶξις καὶ θεωρία
ἱκανῶς πάντως τῆς ψυχῆς τὸ ἀθάνατον φαίνει
καὶ ἑρμηνεύει τὴν αὐτήν, τὸ οἵα καὶ πηλίκη,
ὡς ἤδη καὶ προεῖπόν σοι, ἐν τῷ δευτέρῳ λόγῳ,
ὁ γὰρ τὸ εἶναι πάντως δοὺς ψυχαῖς ταῖς ἡμετέραις
λοιπὸν αὐτὸς καὶ τὸ ἀεὶ εἶναι καὶ πεφυκέναι
δῶρον παρέσχε μέγιστον καὶ ἣν τὸ δῶρον φύσις,
τῶν ἀνθρωπίνων δὲ ψυχῶν τὸ πλῆθος, δέσποινά μου,
ὡς πρὸς ἡμᾶς μὲν ἄπειρον, πεπερασμένον δέ γε
παρά τε τῷ δημιουργῷ καὶ κτίστῃ τῶν ἁπάντων,
καθώσπερ δὴ καὶ αἱ λοιπαὶ τῶν λογικῶν οὐσίαι,
οὐκ ἀριθμήσεις σὺ αὐτάς, ἠρίθμησε Θεός δε,
ὁ καὶ τὰ ἄστρα ἀριθμῶν καὶ ὑετοῦ σταγόνας
Ἀγγέλου δέ γε καὶ ψυχῆς οὐσίαν δὴ καὶ φύσιν
μόνος Θεὸς ἐπίσταται τὸ οἵα καὶ πηλίκη

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Ψυχή. Ἔχω καὶ ἄλλο ζήτημα δυσέφικτον, παιδίσκη,
καὶ φράσον μοι σαφήνειαν τὴν τούτου, εἴπερ οἶδας,
τὰς τῶν ἀνθρώπων γὰρ ψυχὰς ἀπὸ Γραφῆς τῆς θείας,
ἀΰλους δή καὶ νοερὰς καὶ λογικὰς μανθάνω,
καὶ ἀσωμάτους τὰς αὐτὰς πρὸς δὲ καὶ ἀθανάτους,
καὶ τριμερεῖς ὡς καὶ αὐτὴ προέφης ἐν τῷ λόγῳ,

ἐνταῦθα τῷ δευτέρῳ σου εἰς κεφάλαιον τρίτον
ἐχούσας μὲν τὸ λογικόν, ἐπιθυμητικόν τε
πρὸς τούτοις καὶ τὸ θυμικὸν καὶ αὐτεξούσιόν γε,
καὶ αὖθις αἰσθητήρια μία ἑκάστη πέντε
τὸν νοῦν καὶ τὴν διάνοιαν δόξαν καὶ φαντασίαν,
καὶ αἴσθησιν, ἃ κέκληνται αἱ λογικαὶ δυνάμεις,
μνημονικόν, φανταστικόν, καὶ διανοητικόν τε·
ἆρ᾽ οὖν ἐξ ἴσου τὰ αὐτὰ ταύταις Θεὸς δωρεῖται ;
ἢ ὑφειμένως μερικῶς ἐν ταύτῃ καὶ ἐν ἄλλῃ,
ἕτερα δέ γε ὑψηλῶς καὶ ὑλικῶς παρέχει,
καὶ ἄλλη μὲν πλεονεκτεῖ ἑτέραν ἐν τῇ δόξῃ.
ἄλλη δὲ καθαρώτερον καὶ μεῖζον παρ᾽ ἑτέραν,
τὸ θεουργὸν καὶ θεωρὸν ἔχει ἄμεινον ἄλλη,
ἤθελον δὲ καὶ τοῦ μαθεῖν, οἷα ἡ φύσις τούτων,
ἆρ᾽ οὖν αἱ πᾶσαι ὅμοιαι καὶ ἴσαι κατὰ πάντα,
ἢ ἔχουσι παραλλαγὴν ἐν μορφῇ καὶ τῷ εἴδει,
εἰ χρὴ εἰς τὸ ἀσώματον λέγειν μορφὴν καὶ εἶδος ;
Σάρξ. Ἐπὶ σωμάτων πέφυκε τανῦν ταῦτα, κυρία,
διαφοραὶ συσσήμων τε παραλλαγαὶ δ᾽ ὁμοίως,
καὶ εἶδος λέγω καὶ μορφὴ τοιάδε καὶ τοιάδε
λευκότης, μελανότης τε, γρυπότης, καὶ σιμότης,
σμικρότης, καὶ λεπτότης γε σὺν τούτοις καὶ ἰσχνότης,
καὶ νηπιότης πάλιν δέ, πρὸς δὲ γηραλεότης,
καὶ πηλικότης, δέσποινα, καί γε καὶ ποικιλία
μεθ᾽ ὃ δὲ ἀπολαύουσι ταῦτα τὴν ἀφθαρσίαν
εἰς τὴν κοινὴν ἀνάστασιν τὴν μετὰ δόξης τότε
ἴσα καὶ ταῦτα γίνονται τῇ μορφῇ καὶ τῷ εἴδει
καὶ τῇ οὐσίᾳ τῇ αὐτῇ καὶ φύσει, βέλτιστέ μοι,
πλήν γε τῆς δόξης καὶ τιμῆς τῆς ἐξ οἰκείων πόνων
ἄλλη γὰρ δόξα τούτου γε καὶ ἄλλη ἡ ἐκείνου
εἰς τοῦτο μόνον φαίνεται παραλλαγὴ σωμάτων,
εἰς τὴν κοινὴν ἀνάστασιν τοῦ μέλλοντος αἰῶνος,
τὰ νῦν δὲ πᾶσαι αἱ ψυχαὶ ὅμοιαι κατὰ πάντα,
ὑπὸ Θεοῦ τοῦ παντουργοῦ κτίζονται, ὦ κυρία,
καὶ ταῖς σαρξὶ συνδέδενται καὶ συμφύονται ταύταις,
παραλλαγὴν οὐκ ἔχουσαι μορφῆς καὶ εἴδους οὔκουν,
ἑτέρα παρ᾽ ἑτέραν δή, ἀλλὰ πᾶσα οὐσία

καὶ ὁμοιότης παρ' αὐταῖς ἴση ἐστὶ καὶ μία,
εἰ χρὴ ἐπὶ τὸ ἄϋλον εἰκάζειν τὰ τοιαῦτα,
μὴ νόει τὸ ἀσώματον ἔχειν τι τῶν σωμάτων,
μὴ χρῶμά τι τὸ οἱονοῦν μὴ σχῆμα τὸ παράπαν,
μὴ βάρος αὖθις ἐν αὐτῷ μηδὲ ἀντιτυπίαν
τὴν εἰς τριχῆ διάστασιν μὴ οἴου ἐπὶ ταύταις,
μηδέ γε ποικιλότητα, ἀπήλλακται γὰρ τούτων,
ἀλλ' ἴσθι μόνον τοῦτό γε ὡς μία καὶ ἑκάστη,
δι' ἀρετῆς λαμπρύνεται τῆς ἐξ οἰκείων πόνων,
καὶ τῶν ἱδρώτων τῶν καλῶν, ὧν ἐνταυθοῖ ἐδίω,
ὡς ἤδη καὶ προεῖπόν σοι εἰς δεύτερόν μου λόγον,
εἰς τὸ κεφάλαιον αὐτοῦ τὸ ἕβδομον εἰς τέλος,
διὰ κακίας αὖθίς τε οἷα νωθρὰ ζοφοῦται
καὶ ἀμελὴς καὶ ῥάθυμος καὶ ὀκνηρὰ καὶ χαύνη
ἑκάστη κατὰ πρόθεσιν ἑκοῦσα, ὡς δι' ἔργων
ἢ τὴν τιμὴν ἐκλέγεται, εἴτε τὴν ἀτιμίαν
ὡς οὖσα αὐτεξούσιος προσίεται, ὃ θέλει,
ὡσαύτως καὶ τὰ σώματα μιᾶς ἑκάστης οὕτως,
ψυχῆς δ' οὐσίαν καὶ μορφὴν οὐδεὶς ἀνθρώπων οἶδεν,
ἀλλ' ἢ ὁ ταύτης ποιητὴς καὶ Θεὸς καὶ δεσπότης.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ψυχή. Καί, εἴπερ, ὡς ἐδίδαξας περὶ ψυχῶν, παιδίσκη,
ὅτι οὐ παραλλάττουσιν ἀλλὰ πᾶσαι ἐξ ἴσου,
τὸ τριμερὲς δὴ κέκτηνται κατὰ πάντα καὶ ἴσον,
πρὸς δὲ καὶ αἰσθητήρια μία ἑκάστη πέντε,
λοιπόν γε ὤφειλεν ὁ πᾶς ἄνθρωπος ἴσος εἶναι
εἰς γνῶσίν τε καὶ φρόνησιν ἐπ' ἄμφω καὶ σοφίαν,
καὶ ἡλικίαν, αὖθις δέ, καὶ κάλλος δὴ καὶ ὥραν,
ὅτι τὸ σῶμα ἡ ψυχὴ ζωοποιεῖ εὖ μάλα
τρέφει καὶ αὔξει καὶ κοσμεῖ, ὡς βούλεται καὶ θέλει,
καὶ ὡραΐζει τοῦτό γε καὶ φαιδρωπὸν δεικνύει
ποιεῖ αὐτὸ καὶ χάριεν καὶ ἄρχει τούτου, αὕτη
ἄγει καὶ φέρει καὶ κινεῖ καὶ μεθιστᾷ, ὡς θέλει,
ὡσαύτως δὲ καὶ λαλητὸν καὶ ἐνεργὸν εἰς πάντα
καὶ πορευτὸν εἰς ἅπασαν, ἣν ἂν ἐθέλῃ πρᾶξιν,

καὶ ὅτε θέλει ἡ αὐτὴ καὶ ὅθι πάλιν θέλει,
ταύτης γὰρ δίχα ἄχρηστον καὶ ἀνενέργητόν πως
ἐγὼ δ' ὁρῶ διαφορὰν ποικίλην ἐν ἀνθρώποις,
ὁ μὲν τυγχάνει φρόνιμος καὶ γνωστικὸς κατ' ἄμφω
ἀρτίφρων αὖθις ἕτερος καὶ σοφὸς εἰς τὰ μάλα,
φρενόληπτος δ' οὖν ἕτερος, μωρός, παράφρων ἄλλος,
καὶ ἕτερος ἀνόητος, νοήμων δέ γε ἄλλος,
εἰς δὲ τὰ αἰσθητήρια διαφορὰς ποικίλας.
ὀξυδερκοῦσι μὲν πολλοί, οὐχ οὕτως δὲ οἱ ἄλλοι,
τ' ἀκουστικὸν δ' αὖ ἕτεροι, ἐν τῇ ὀσφρήσει δ' ἄλλοι
ἀμβλὺ καὶ μεῖον ἔχουσι παρὰ πολὺ τοῖς ἄλλοις,
ἐῶ τὴν γεῦσιν καὶ ἁφὴν καὶ ταύτας ἄλλην ἄλλως,
ἀλλ' ἀνισότης γε πολλὴ ἐν πᾶσι τούτοις πέλει
καὶ ἄλλος μέντοι εὔφωνος ἕτερος δύσηχός τε,
ὁ μὲν τραυλὸς ὁ δὲ ψελλός, μογγὸς δὲ πάλιν ἄλλος,
πρὸς τούτοις ἄλλος κέκερις, ψεδδὸς δὲ πάλιν ἄλλος
καὶ βουρβουλίζει ἕτερος καὶ ἄλλος βερμερίζει,
καὶ ἕτερος ἰσχνόφωνος, εὐρύφωνος οὖν ἄλλος,
κωφὸς δὲ πάλιν ἕτερος, καὶ ἄναυδος εἰς ἅπαν,
ἐν ἡλικίαις πάλιν δὲ ἄλλο καὶ ἄλλο βλέπω,
ὁ μὲν κονδός, ὁ δὲ μακρός, μεσῆλιξ δέ γε ἄλλος,
λευκὸς δὲ πάλιν ἕτερος, καὶ μέλας αὖθις ἄλλος,
ἄλλος ὑπάρχει φαλακρός, δασύθριξ πάλιν ἄλλος
καὶ ἄλλος μὲν ὀξύστομος, εὔοσμον τοῦτο ἄλλος·
ὁ φθεὶρ ἔν τισι παμπληθεῖ, ἐν ἄλλοις δὲ οὐχ οὕτως·
καὶ σώφρονες μὲν ἕτεροι, ἀκόλαστοι δ' οὖν ἄλλοι,
ὀργίλους καὶ θυμώδεις τε βλέπω ἄλλους καὶ ἄλλους,
ἠπίους δ' ἄλλους καὶ πραεῖς ὁρῶμεν παιδιόθεν,
ἄλλους γενναίους, ἀνδρικούς, δειλοὺς δ' ἀνάνδρους ἄλλους,
παρήσω δέ γε τὰ πολλὰ σύσσημα καὶ τὰς θέσεις,
ποικίλα, δυσαρίθμητα, οὐ χρὴ γὰρ ταῦτα γράφειν
μήπως εἰς μῆκος ἄπλετον προΐῃ μου ὁ λόγος,
σὺ δέ με δίδαξον λοιπὸν τ' ἀληθὲς ἐπὶ τούτοις·
αἱ μὲν ψυχαί, ὡς εἴρηκας, τῶν πάντων ἴσαι πάντως
τὰς ἐνεργείας τούτων δὲ πάντῃ ἀνίσους βλέπω
καίτοι τὰ σώματα αὐτῶν ἔδει τυγχάνειν ἴσα
ὡς ἐκ τεσσάρων σύνθετα τῶν ὁρωμένων τούτων

στοιχείων συνιστάμενα τοῦ κόσμου τῶν μεγάλων,
φημὶ θερμοῦ τε καὶ ψυχροῦ, ὑγροῦ δὴ καὶ ξηροῦ τε,
ἅπερ τυγχάνουσι τὸ πῦρ, ἀήρ, ἡ γῆ καὶ ὕδωρ,
ἐξ ὧν γεννᾶται ἡ χολὴ ξανθὴ καὶ μέλαινά τε,
πρὸς τούτοις αἷμα φλέγμα τε ἀναλογοῦντα τούτοις.
Σάρξ. Καὶ πρόσχες, ὦ κυρία μου, τὴν λύσιν πάντων ὧδε
ποιήσας πᾶσαν ὁ Θεὸς τὴν ὁρωμένην κτίσιν
πρὸς δὲ καὶ τὴν ἀόρατον, ὡς αὐτὸς μόνος οἶδε,
τὰ πάντα ἐκ μοναδικῆς οὐσίας κατειργάκει
τῶν δύο κόσμων εἴρηκα τοῦ ἄνω καὶ τοῦ κάτω,
ἀπὸ σωμάτων μὲν τὰ μέν, τὰ δὲ ἐξ ἀσωμάτων,
τοῦ ἄνω κόσμου ἅπαντα ἀσώματά μοι νόει,
καὶ νοερὰ καὶ ἄϋλα· οὕτω γὰρ ἐστὶ πρέπον·
τοῦ κάτω πάντα σώματα αἰσθητὰ καὶ ὑλώδη
καὶ οὔτε ἄνω σώματα οὔτ' ἀσώματα κάτω·
μόνος ὁ ἄνθρωπος αὐτὸς ἀπὸ διπλῆς οὐσίας
συνέστηκε καὶ φύσεως, ἐξ ἀσωμάτου, λέγω,
καὶ σώματος, κυρία μου, τοῦ ἄνω καὶ τοῦκάτω
τὸ σῶμα δὴ τοῦ κάτωθεν ἡ δὲ ψυχὴ τοῦ ἄνω
εἰς τοῦτον δὲ τὸν ὁρατόν, ἐκ τοῦ μὴ ὄντος πάντως
στοιχεῖα κατεσκεύασε τέσσαρα παραδόξως,
ἅπερ πεφύκασι τὸ πῦρ, ἀὴρ καὶ γῆ καὶ ὕδωρ,
ἡ γῆ ξηρά τε καὶ ψυχρά, ψυχρὸν ὑγρὸν τὸ ὕδωρ
ἀὴρ θερμός τε καὶ ὑγρός, τὸ πῦρ θερμὸν ξηρόν τε,
γεννᾶται τοίνυν ἀπὸ γῆς ἡ μέλαινα χολή γε,
ξηρὰ γὰρ ἐστὶ καὶ ψυχρὰ καθὼς ἡ μήτηρ ταύτης,
τὸ φλέγμα δέ γε ἐξ ὕδατος ψυχρὸν ὑγρὸν τυγχάνον,
τὸ δ' αἷμα τίκτει ὁ ἀὴρ ὑγρὸν θερμὸν τῇ φύσει,
τὸ πῦρ αὖθις ξανθὴν χολήν, θερμή, ξηρὰ γὰρ αὕτη,
ἐξ ὧν τὰ σώματα ἡμῶν τῶν ἁπάντων ἀνθρώπων,
τὴν σύστασιν καὶ σύνθεσιν κέκτηνται ἁρμοδίως,
ἤτοι ξανθῆς χολῆς, ψυχή, πρὸς δέ γε καὶ μελαίνης
αἵματος τε καὶ φλέγματος τῆς τετρακτύος ταύτης,
ὡς καὶ αὕτη προείρηκας πρὸ μικροῦ ἐν τῷ λόγῳ,
ἐκ τῶν στοιχείων οἱ καρποὶ συνίστανται, κυρία,
ἐκ τῶν καρπῶν δὲ τίκτονται οἱ χυμοί, πρόσχες ὧδε,
τὰ δὲ τῶν ζώων σώματα ἐκ χυμῶν τῶν τεσσάρων

καὶ κῦρος δέδωκε λοιπὸν τοῖς τέτταρσι δὴ τούτοις
στοιχείοις ὥσπερ στρατηγοῖς τισὶ καὶ ἡνιόχοις,
καθὼς αὐτὸς ἠθέλησε διοικεῖν τε καὶ ἄγειν
καὶ κυβερνᾶν τὴν ἐξ αὐτῶν γεννηθεῖσαν οὐσίαν
ὥσπερ πατέρων ἔκ τινων τὴν φύσιν τῶν σωμάτων,
ἔχει δ' ὁ χρόνος τέσσαρας καιροὺς ἐνηλλαγμένους
ἔαρ καὶ θέρος σὺν αὐτοῖς, φθινόπωρον, χειμῶνα,
τὸ ἔαρ πέφυκεν ὑγρὸν καί γε θερμὸν ὡσαύτως,
θερμὸν τὸ θέρος καὶ ξηρὸν τυγχάνει κατὰ φύσιν,
πρὸς τούτοις τὸ φθινόπωρον ξηρὸν ὁμοῦ καὶ ψῦχον,
ψυχρὸς δὲ πάλιν ὁ χειμὼν καὶ ὑγρὸς κατ' οὐσίαν,
τούτων τὰς κράσεις λέξω σοι πλατύτερον, κυρία,
καὶ τὰς ποιότητας αὐτῶν ἐν καιρῷ τῷ εὐθέτῳ,
καὶ φυσιολογήσω σοι, ὡς δύναμις, εἰς ταῦτα
εἰς λόγου τοῦδε ἔμπροσθεν κεφάλαιον τὸ ἕκτον
ἀρτίως δὲ προσθήσομεν τὸ ζητούμενον ὧδε,
καὶ εἴπωμεν ὡς τάχιστα, ἐξ ὧν Θεὸς παράσχοι,
τούτοις τοῖς τέσσαρσι καιροῖς ἀκολουθεῖ ἡ κράσις
καὶ ἠπιότης αὖθις δὲ τῶν ἁπάντων σωμάτων,
τὸ αἷμα αὔξει ἔαρι, ἡ χολὴ δὲ τῷ θέρει,
ξηρὰ γὰρ αὕτη καὶ θερμή, ἡ ξανθὴ δηλονότι,
ἡ δέ γε μέλαινα χολὴ τῷ φθινοπώρῳ αὔξει,
τὸ φλέγμα δέ γε καὶ αὐτὸ τῷ καιρῷ τοῦ χειμῶνος,
ἐν τούτοις δὴ τοῖς τέσσαρσι, τὸ ὅλον γὰρ ὁ χρόνος,
παραλλαγαὶ πεφύκασι καὶ τροπαὶ τῶν στοιχείων,
λοιπὸν αἰτίαι φυσικαὶ παρέπονται τὸ σῶμα
καὶ οἷον μέρος πλημμυρεῖ ἐκ τῶν τεσσάρων τούτων
ὁπόταν γε ἡ σύλληψις καὶ συνουσία τύχῃ
τοιαύτην ἀπεργάζεται καὶ τὴν ψυχὴν τῇ βίᾳ
αὐτίκα γοῦν, εἰ τύχει ἐν ἀμφοῖν ἡ συζυγία,
ὡς ἐκ θερμῆς συνθέσεως εὐκράτως συγκειμένη
ἔχει καὶ τὴν ὑγρότητα ἀνάλογον τῇ θέρμῃ·
τοιοῦτον τὸ τικτόμενον ὑπάρχει κατὰ φύσιν
στοιχεῖον, εἴπερ τὸ θερμὸν τῷ τότε πλεονάζει
ὡραῖον, ἀνδρικώτατον, εὐμετάδοτον τίκτει,
τὸ δὲ ψυχρὸν ἁγνότερον καὶ ψυχρότερον πάλιν
τὸ δὲ ξηρὸν πικρότερον, καὶ δεινὸν ἀποτίκτει,

τὸ δὲ ὑγρὸν γαστρίμαργον καὶ νωθρὸν καὶ ὑλαῖον,
καὶ ὥσπερ τοίνυν ὁ Θεὸς διὰ τῶν δρωμένων
κτισμάτων δὴ τῶν ὑλικῶν τὰς οἰκείας δυνάμεις
καὶ ἐνεργείας τὰς αὐτοῦ δείκνυσι κατὰ φύσιν
ἐν οὐρανῷ, ἀέρι τε, ἡλίῳ καὶ σελήνῃ,
ἀνέμοις τε καὶ ὑετοῖς καὶ γῇ καὶ ἐν θαλάσσῃ
αὐτὸς ὑπάρχων φυσικῶς ἀόρατος διόλου·
ὡσαύτως γε καὶ ἡ ψυχὴ ἡ κατ' εἰκόνα τούτου
τὰς ἐνεργείας τὰς αὐτῆς ἐμφανίζει ὡς θέμις·
εἰς μὲν γὰρ τὸν ἐγκέφαλον τὸν νοῦν τὸν ἡγεμόνα
ἔνοικον ἔχοντα αὐτὸν ὡσαύτως, παμφιλτάτη,
καὶ τὰς δυνάμεις τὰς αὐτοῦ, τρεῖς γὰρ αὗται καὶ πρῶται·
μνημονικόν, φανταστικόν, διανοητικόν τε,
καὶ κυβερνᾷ καὶ διοικεῖ ἐν τοῖς λοιποῖς μορίοις,
τὰς ἐνεργείας τὰς αὐτοῦ, ὡς ὁ Θεὸς τὸν κόσμον·
τὸ δὲ λογιστικὸν αὐτῆς ἔχει ἐν τῇ καρδίᾳ,
τὸ δέ γ' ἐπιθυμητικὸν διὰ τοῦ ἥπατός πως
τὸ δ' αὖγε μειδιαστικὸν διὰ σπληνός μοι νόει,
ὁμοίως διὰ πνεύματος τὸ ἀναπνευστικόν τε,
καὶ αὖθις δὲ τὸ γόνιμον διὰ νεφρῶν αὐτῶν γε,
πρὸς δὲ καὶ τὸ θυμητικὸν καὶ ζέσιν τὴν ἐκείνου
διὰ τοῦ αἵματος αὐτοῦ τοῦ περὶ τὴν καρδίαν
ἔτι δὲ τὸ γνωριστικὸν δι' ὀφθαλμῶν, ὡς οἶδας,
διὰ τῆς γλώσσης δὲ αὐτῆς τὸ λαλητὸν δηλοῦται,
τ' ἀκουστικὸν δι' ὤτων τε καὶ ἁπλῶς ἐπὶ πάντων
τῶν τε μορίων καὶ μελῶν ἐνεργεῖ τὸ οἰκεῖον
ἀλλ' οὖν ἡ κρᾶσις πέφυκε ποικίλη τῶν σωμάτων
καὶ πρός γε τὰς ποιότητας ἑνὸς ἑκάστου τούτων
καὶ αὕτη πάντως ἐνεργεῖ τὸ πρέπον ἀναλόγως,
καὶ λέξω σοι παράδειγμα καὶ γνώσῃ τὸ λεχθέν μοι,
ὥσπερ γὰρ ὕει ὁ Θεὸς ἐξ οὐρανοῦ τὸ ὕδωρ
ἐπὶ τὸ πρόσωπον τῆς γῆς μονοειδὲς τυγχάνον
πολυειδῶς δὲ ἐνεργεῖ εἰς ἅπαντα τὸν κόσμον
μυρία καὶ διάφορα εἰς δένδρα καὶ βοτάνας·
ἓν μὲν τὸ ὕδωρ πανταχοῦ, ἀλλ' οὖν ἕκαστον τούτων
φυτὸν καὶ δένδρον φυσικῶς αὐτὸ τὸ ὕδωρ ἕλκον,
εἰς τὸ οἰκεῖον ἅπαντα μεταβάλλει πως εἶδος

εἰς σχῆμα τε καὶ μέγεθος καὶθέσεις τῶν χρωμάτων
πικρὸν γλυκύ τε καὶ θερμὸν καὶ ψυχρὸν κατὰ φύσιν
εὐῶδες αὖθις ἐν πολλοῖς ἐν ἄλλοις, δ' οὐκ εὐῶδες·
ἐν ἄλλοις δὲ δριμύτατον καὶ στύφον ἐν ἐνίοις.
καὶ γίνεται, ὡς εἴρηται, λευκίζον ἐν τῷ κρίνῳ
καὶ ἐρυθρὸν ἐν ῥόδῳ τε, πορφυροῦν ἐν τῷ ἴῳ
καὶ ὑακίνθινον πρὸς δὲ καὶ κυανοῦν ἐν ἄλλοις,
καὶ ἐν ἐλαίᾳ ἔλαιον, καὶ ἐν ἀμπέλῳ οἶνος,
ἐν πᾶσι πάντα γεγονὸς μονοειδὲς τυγχάνον,
οὐ γὰρ αὐτὸς ὁ ὑετὸς μεταβαλὼν αὐτόν γε
ἄλλως καὶ ἄλλως ἐπὶ γῆς κατέρχεται, ἀλλά γε
τῶν δεχομένων τῇ ποιᾷ κατασκευῇ πανσόφως,
καὶ συμπεριφερόμενος ἑκάστῳ κατὰ κρᾶσιν,
τοιγάρτοι γίνεται, ὡς χρή, προσφόρως ἐν τοῖς πᾶσι,
καὶ τρέφει μέντοι ἅπαντα καὶ αὔξει ἁρμοζόντως,
καὶ τὴν καλὴν καὶ τὴν κακὴν βοτάνην κατὰ φύσιν
καὶ δένδρα κάρπιμα πρὸς δὲ καὶ ἄκαρπα ὡσαύτως,
λοιπὸν οὐκ ἔξεστιν εἰπεῖν, ἐπεὶ τὸ ὕδωρ ἕν γε,
ἐχρῆν καὶ τὰς ποιότητας βοτανῶν τε καὶ δένδρων
καὶ τούτων μίαν ἔσεσθαι καὶ μὴ ἄλλως καὶ ἄλλως
εἰς σχήματα καὶ μέγεθος καὶ χρωμάτων συνθέσεις,
μήτε ἡδὺ μήτε πικρὸν μήτε θερμὸν ἢ ψῦχον,
ἀλλ' ὡς αὐτὸ μονοειδές, μονοειδῆ καὶ ταῦτα,
εἰ ταῦτα τίς λογίσεται, οὐ δοκῶ φρονεῖν τοῦτον,
ἀλλὰ παράφρονα αὐτὸν λέξομεν ὡς ληροῦντα,
τοιοῦτον οὖν μοι νόησον ἐπὶ ψυχῶν, κυρία,
συμφύονται τοῖς σώμασι καὶ συνανακιρνῶνται
ζωοῦσι τε καὶ τρέφουσι καὶ αὔξουσιν αὐτά γε,
τὴν δὲ ποιότητα αὐτῶν καὶ φύσιν τὴν ἰδίαν,
οἵα καὶ ἡ τοῦ σώματος οὐκ ἀμείβουσιν ὅλως
ἄν τε θερμὴ ἄν τε ψυχρά, ξηρά, ὑγρὰ ἢ ἄλλως,
ἄν τε εὐώδης αὖθις τε, ἄν τε δυσώδης πέλῃ,
ἄν τε λευκὴ ἢ μέλαινα, δυσειδὴς ἢ ὡραῖα,
εἰς τοῦτο γὰρ οὐκ ἔλαβον ἐξουσίαν ἢ κῦρος
ἀλλ' ἡ πρόνοια Θεοῦ καὶ φύσις τῶν στοιχείων
εἰ μὲν οὖν ἔχει εὔκρατα τὰ τέσσαρα στοιχεῖα
αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθὴν καὶ μέλαινάν τε

τὸ σῶμα δὴ καὶ εὔδμητα καλῶς συγκεκραμένα,
καὶ ἴσα μέντοι τῷ σταθμῷ τῇ ποιᾷ τούτων θέσει
καὶ μάχη τις οὐ πέφυκεν ἐν ἀμφοτέροις τούτοις,
ἵν' ἐπανίσταται κακῶς τὸ ἕτερον θατέρου
διά τε τὴν ὑπερβολὴν ἢ ἔλλειψιν πολλάκις,
ἀλλ' εἰρηνεύουσιν ἀμφοῖν πρὸς ἄλληλα, κυρία,
τῷ τότε ἅπαν πέφυκεν ὑγιεινὸν τὸ σῶμα,
καὶ τὰς αἰσθήσεις ἀραιὰς τὰς πέντε καὶ λεπτάς τε
ἀρτίους ἔχει, καθὼς χρή, μετὰ τοῦ ἐγκεφάλου,
καὶ λώβη τις οὐ πέφυκεν ἐν ταύταις δὴ ταῖς πέντε
ἀλλ' εὐεξία καθαρὰ καὶ εὐρωστία σῶα,
ὁμοίως καὶ τὰ μόρια τῶν ἐντοσθίων πάντα
καρδίαν, σπλῆνα τε φημὶ καὶ πνεύμονα καὶ ἧπαρ
καὶ στόμαχον καὶ τὰ λοιπὰ τῶν σπλάγχνων πάντα μέρη
τῷ τότε δή, καὶ ἡ ψυχὴ ἐνεργεῖ κατὰ φύσιν
δεικνῦσα ἐν τῷ σώματι τὰς ἐνεργείας ταύτης
ὁποῖαι καὶ τυγχάνουσι καὶ τὰς δυνάμεις ἅμα
τὸ ἆσθμα πέλει ὑγιές, σῶαι δὲ καὶ αἱ φρένες,
τὸ ἦθος εὐκατάστατον, χρηστὸν ἐπίχαρί τε,
ὡς τοῦ ἀλόγου τῆς ψυχῆς μέρους ποιότης πέλον,
ἂν δέ γε ταῦτα ἀσθενῇ, διά τινας αἰτίας,
ἀδυνατεῖ ἐν τούτοις γε φυσικῶς ἐνεργῆσαι,
καὶ λέξω σοι ὑπόδειγμα καὶ γνώσῃ τὸ λεχθέν μοι,
μέγας ὁ ἥλιος αὐτὸς τυγχάνει, ὥσπερ οἶσθα,
ἔχει καὶ δύο φυσικὰς ἐνεργείας μεγάλας
ἅπερ ἀρχῆθεν ἔλαβε τὸ φαίνειν καὶ θερμαίνειν·
ἅπαν οὖν γῆς τὸ πρόσωπον φωτίζει καὶ θερμαίνει,
ἔχει δ' ἡ γῆ διάφορα πεδία καὶ κοιλάδας,
βουνοὺς καὶ ὄρη, νάπας τε, ἐν οἷς χῶραι καὶ πόλεις,
ἐν ταύταις γὰρ περιπολεῖ καθ' ἑκάστην ἡμέραν,
ἐν αἷς μὲν πέλει ὁ ἀὴρ καθαρός, ἀποστίλβων,
λάμπει ἐν ταύταις τηλαυγῶς καὶ θερμαίνει ὡς θέμις,
ἐν αἷς δ' ὁμίχλη πέφυκεν, ἢ θύελλα καὶ γνόφος,
ἢ πάλιν νέφος σκοτεινὸν κωλύοντα τὴν αἴγλην,
λάμπει ἐν ταύταις οὐμενουν. οὔτε θερμαίνει ὅλως,
εἰργόμενός πως ὑπ' αὐτῶν ἀλλ' ἀμυδρόν τι φαίνει,
ἀλλ' οὐ μεμπτέον ἡλίῳ, ἀναίτος γὰρ οὗτος,

ἀλλά γε τοῖς κωλύουσι τούτου δὴ τὰς ἀκτῖνας·
τὸν κόσμον σῶμα νόησον, πόλεις τούτου καὶ χώρας
τὰ πέντε αἰσθητήρια καὶ μόρια τὰ ἔνδον,
ὁμίχλην, γνόφον, θύελλαν σωμάτων τὰς συμπτώσεις·
καὶ ἥλιον φανότατον τὰς τῆς ψυχῆς δυνάμεις·
τοιοῦτον οὖν παρόμοιον ἐν ταῖς ψυχαῖς μοι νόει·
ἔνθα καλὰ καὶ εὔκρατα τὰ σώματα τυγχάνει,
καὶ οὐχ ὑπάρχει ἀσθενὲς καὶ παρειμένον ἕν τι
τῶν τε μορίων καὶ μελῶν τῶν ἔνδον ἢ τῶν ἔξω
ἐν τούτοις πάντως αἱ ψυχαὶ φυσικῶς ἐνεργοῦσι
καθὰ καὶ ἀπεδείξαμεν ἄνωθεν ἐν τῷ λόγῳ·
ἐν τοῖς μὴ οὕτω δὲ ψυχή, οὐχ οὕτω δὴ ἀλλ' ἄλλως,
ὡς φαίνεσθαι τὸν ἄνθρωπον ἢ μωρὸν ἢ φρενήρη,
ἢ σώφρονα καὶ συνετὸν ἢ ἀκόλαστον αὖθις,
ὀργίλον καὶ θυμώδη τε, ἤπιον, γαληνόν τε
εὐνούστατον, νοητικόν, ἢ ἀνόητον τοῦτον·
μὴ οἴου τούτοις τὸν Θεὸν οὕτω κατασκευάζειν
καὶ τῷ ἀνθρώπῳ τούτῳ γε δωρεῖσθαι τὰ μεγάλα
καὶ κρείττονα χαρίσματα ὑπερευεργετοῦντα·
ἑτέρῳ δὲ τὰ ἄχρηστα καὶ χείρονα δωρεῖσθαι·
τοῦτο γὰρ ἐστὶν ἄδικον καὶ λίαν ἀπευκταῖον
ἂν ταῦτα οὕτω γίνωνται, τῇ κρίσει τοῦ Χριστοῦ μου
καί γε τοῖς ἴσοις ἄνισα νέμει, ἄδικος ἄρα·
ἀλλ' ἄπαγε, κυρία μου, τῆς ἀτοπίας ταύτης·
ὡς γὰρ ἡλίῳ δέδωκε τὸ φαίνειν καὶ θερμαίνειν,
ἐνέργειαν τὴν ἐξ ἀρχῆς καὶ τοῖς λοιποῖς ὁμοίως,
τῇ γῇ τὴν σπερμογονικὴν αὔξησιν ἐν σπορίμοις
τοῖς δὲ φυτοῖς τὸ κάρπιμον, μικροῖς μεγάλοις ἅμα
οἰκείαν δὲ ἐνέργειαν ἑκάστῃ ἁπλῶς φύσει·
οὕτω γε δέδωκε λοιπὸν τὰ τέσσαρα στοιχεῖα
τὴν τῶν σωμάτων ἐξ ἀρχῆς καὶ κρᾶσιν καὶ τὴν θέσιν
καὶ αὔξησιν καὶ σύστασιν καὶ διάλυσιν τούτων,
κατὰ τὴν θέλησιν αὐτοῦ καὶ πρόνοιαν, ὡς οἶδεν,
οὐδὲν μὲν ἀπρονόητον οὔτε ἠμελημένον
πάντα σκοπεύει ὀφθαλμὸς ἀκοίμητος ὁ τούτου
καὶ πᾶσι πάρεστι Θεὸς νέμων τὰ κατ' ἀξίαν
πάντα δεόντως καὶ καλῶς τὰ τῆς προνοίας ἔργα,

ὡς γίνεσθαι ἐν ἅπασι δεόντως καὶ πρεπόντως,
εἰ οὖν σοφὸς καὶ ἀγαθὸς ὁ Θεὸς μόνος φύσει,
οὐκοῦν διὰ τὸ ἀγαθὸς εἶναι καὶ πεφυκέναι
εἰκότως καὶ προνοητὴς τῶν πάντων οὗτος πέλει,
διὰ τὸ εἶναι δὲ σοφός, ἄριστα καὶ πανσόφως
τῶν πάντων ἐπιμέλεται καὶ φροντίζει τὸ δέον,
εἰ δέ γε μήτι προνοεῖ οὐκ ἀγαθὸς τυγχάνει,
καὶ εἰμὴ ἐστὶν ἀγαθός, οὐ σοφὸς αὖθις ἄρα,
πρόνοια τοίνυν πέφυκεν ἡ ἐκ Θεοῦ εἰς πάντα,
τῶν ὄντων ἐπιμέλεια καὶ φροντὶς γινομένη,
τῶν ἐπομένων μὲν ἡμεῖς, οὐδὲν εἰδότες ὅλως,
πρὸς μόνα δέ γε βλέποντες τὰ παρόντα ἐνθάδε,
ὀρθῶς οὐ κρίνομεν, ὡς χρή, τὰ συμβαίνοντα ὧδε,
τῷ δὲ Θεῷ τὰ μέλλοντα, ὡς παρόντα τυγχάνει
καὶ κρίνει ταῦτά γε καλῶς, τρόποις οἷς οἶδε μόνος,
εἰσὶ γὰρ ἄγνωστα ἡμῖν τὰ κρίματα τὰ τούτου,
καὶ ταῦτα μὲν εἰρήκαμεν, ὡς ἐφικτόν, κυρία,
κατὰ κοινοῦ ἐν ἅπασι σώμασι τῶν ἀνθρώπων
καθὼς ἡ θεία πρόνοια τοῦ Θεοῦ καὶ Δεσπότου
τὴν ἐξουσίαν δέδωκε τοῖς τέσσαρσι στοιχείοις
κατὰ τὴν κράσιν δηλαδὴ καὶ ποιότητα τούτων
ὡσαύτως δὲ καὶ σύνθεσιν φημὶ τὴν τῶν σωμάτων,
δυνάμεως μὲν αἱ τῆς ψυχῆς φυσικῶς ἐνεργοῦσι
λοιπόν, ὡς ἐστὶν ἡ ποιὰ κράσις, ἡ τῶν σωμάτων,
οὕτω καὶ τὰ βλαστήματα τῶν παθῶν ἐκφύει
καὶ τὰς αἰτίας ἔχουσιν ἀναλόγως πρὸς τούτους,
τὸ δέ γε πῶς, πιστώθητι ἐκ παραδείγματός πως,
φησὶ τὴν γῆν διάτρητον, ὑπόνομόν τε εἶναι,
φλέβας, ὥσπερ τινας αὐτὴν ἔχουσαν, δι᾿ ὧν αὕτη
ἐκ τῆς ἀβύσσου δέχεται τὰ ὕδατα εὖ μάλα
καὶ τὰς πηγὰς ἀνίησι τοῖς πᾶσι φαινομένας,
καὶ διϋλίζεται αὐτὰ καὶ διηθεῖται πάντως
καὶ οὕτω δὴ γλυκαίνεται τὸ τῆς θαλάσσης ὕδωρ
πλὴν πρὸς τὸ μέταλλον τῆς γῆς καὶ ποιότητα τούτου
ἐν ταῖς πηγαῖς ἐξέρχεται, εἰ καὶ γλυκύ, τὸ ὕδωρ,
εἰ μὲν ὁ τόπος τῆς πηγῆς, ὅτι τοῦτο προχεῖται,
ἂν οὗτος τύχοι ἁλμυρὸς ἢ καὶ πικρὸς ἢ ἄλλως,

πρὸς τὴν ποιότητα αὐτοῦ ἀνάγεται κἀκεῖνο,
εἴτε γλυκύ, εἴτε πικρόν, ἢ ἁλμυρόν, ἢ στῦφον,
πολλάκις δὲ στενούμενον τὸ ὕδωρ οὕτω βίᾳ
θερμαίνεται ῥηγνύμενον εἰς ἐξοχὰς πετρώδεις,
κἀντεῦθεν τὰ αὐτοφυῆ θερμὰ ὕδατα βρύει,
ἤκουσας πρᾶγμα θαυμαστόν, ἔγνωκας θαῦμα ξένον,
καὶ πῶς τὸ ὕδωρ πέφυκεν ἅπαν ἓν γε τῇ φύσει
ἐξέρχεται δὲ ἐν ταῖς πηγαῖς ἄλλως καὶ ἄλλως τοῦτο,
πρὸς τὸ ποιὸν τοῦ χώματος καὶ μέταλλον τῆς γαίης,
οὕτω μοι νόει εἰς ψυχὰς καὶ σώματα, κυρία,
ἴσαι μὲν πᾶσαι αἱ ψυχαὶ καὶ αἱ δυνάμεις τούτων
οὐκ ἴσα δὲ τὰ σώματα τῶν ἁπάντων ἀνθρώπων
ἀλλ' ἄλλης ἄλλο κράσεως, καὶ ἄλλο πάλιν ἄλλης
αἷμα καὶ φλέγμα καὶ χολή, οὐκ ἴσα ἐπὶ πάσης
καὶ οἵα τύχῃ ἡ ποιὰ σύνθεσις τῶν σωμάτων,
οὕτω συμβαίνει γίνεσθαι εἰς τὰς ψυχὰς τοιαύτας,
εἴτε ὀξύθυμός τις εἶ, καὶ μανικός, αὐθάδης,
εἴτε πραῦς καὶ γαληνός, ἤπιος καὶ ἀστεῖος,
ἢ πόρνος καὶ ἀκόλαστος, ἢ ἐγκρατὴς καὶ σώφρων,
ἢ φύσει εὐμετάδοτος, ἢ ὠμός, ἀπηνής τε,
ἢ μέθυσος καὶ κωμαστής, ἢ καὶ ἄνομος πάντῃ,
νωθρὸς καὶ χαῦνος καὶ ὀκνὸς ἢ καὶ γρήγορος φύσει,
ἢ καὶ διανοητικὸς ἢ ἀνόητος αὖθις,
καθὼς καὶ ἤδη πρὸ μικροῦ ἐδίδαξεν ὁ λόγος,
ἀλλ' οὐ μεμπτέον τῇ ψυχῇ, ἀναίτιος γὰρ αὕτη,
εἰς ταῦτα πάντα πέφυκεν, ἀλλ' ἡ σωμάτων κρᾶσις,
λοιπὸν καὶ πῶς ἐνδέχεται ἐξ ἴσου πεφυκέναι,
φημὶ ἀνθρώπους ἅπαντας καὶ πᾶσαν ἡλικίαν
εἰς γνῶσιν τε καὶ φρόνησιν ἐπ' ἄμφω καὶ σοφίαν
εἰς ἡλικίαν αὖθις τε καὶ κάλλος καὶ μορφήν γε,
ποικίλη οὖσα ποσαπλῶς ἡ κρᾶσις τῶν σωμάτων
καί γε πρὸς τὰς ποιότητας ἑνὸς ἑκάστου τούτων,
φύσεις καὶ θέσεις τὰς αὐτῶν καί γε καὶ ποικιλίας
πρὸς ταύτας πάντας ἡ ψυχὴ φαίνεται ἀναλόγως,
καθώσπερ καὶ προέφημεν πολλάκις ἐν τῷ λόγῳ,
ἀλλ' ἔστιν μὲν καὶ ἕτερον σκοπῆσαι οὕτως
εἰ τὸν αὐτὸν γὰρ ἅπαντες ἔσῳζον χαρακτῆρα,

εἰ ἀπαραλλάκτως ἄνθρωποι, πόση σύγχυσις τότε;
καὶ σκότος τε καὶ ἄγνοια κατεῖχε τοὺς ἀνθρώπους
οὔτε οἰκεῖον οὔτε μὴν ἀλλότριον ἂν ἔγνων,
ἢ φαῦλον ἢ πολέμιον ἀπὸ ληστοῦ καὶ φίλου
μήτε τὰ τέκνα οἱ γονεῖς καὶ ἔμπαλιν τοῦ τό γε,
ἀλλήλους οὐκ ἐγίνωσκον, φεῦ τῆς ἀπάτης τότε!
τούτων αἰτία γέγονε τῶν ἀγαθῶν ἡμῖν γε,
ἡ πρόνοια ἡ τοῦ Θεοῦ ποικίλλουσα προσφόρως,
διὰ παντὸς καὶ πανταχῇ τὴν μορφὴν τῶν ἀνθρώπων
κἄτι τῆς φωνῆς καὶ τῆς μορφῆς ἕκαστος γνωριεῖται,
πρὸς τούτους δὲ προσέθηκεν ἡ πρόνοια καὶ ἄλλο
τὴν τῶν χρωμάτων γε ποιὰν διαφορὰν ποικίλην,
ἣν ἔχομεν εἰς πρόσωπα ἕκαστος καὶ ἑκάστη,
καὶ πολυτρόπως ἡ ἡμῶν ἀσθενεστάτη φύσις,
ἐκ τούτων σχοῦσα ἀληθῆ βοηθόν, οὐ πλανᾶται,
σὺ δ' εἴπερ ἀπαναίνῃ με, μὴ ἔχειν οὕτως ταῦτα,
φέρω σοι μάρτυρα πιστόν, Ἀναστάσιον λέγω,
καὶ ἅγιον καὶ δίκαιον τὸν τοῦ ὄρους Σιναίου,
καὶ οὗτός σε τὰ ὅμοια διδάξει ἀριδήλως
καὶ ἄκουσον καὶ τί φησί τις πρὸς ἐκεῖνον ὧδε.

Ἐρώτησις

Πόθεν ἐξ αὐτῆς τῆς γεννήσεως καὶ νεαρᾶς ἡλικίας εὑρίσκονται τινὲς φυσικῶς πραεῖς ἄλλοι ὀργίλοι, ἕτεροι φιλογύναι καὶ πόρνοι, ἄλλοι μισογύναι καὶ ἐγκρατεῖς· εἰσὶ δέ τινες πάλιν φύσει εὐμετάδοτοι, καὶ φυσικῶς τινὲς εὑρίσκονται εὐνούστατοι καὶ διανοητικοί, ἄλλοι δὲ νωθροὶ καὶ ἀνόητοι;

Ἀπόκρισις.

Οὐχ ὁ Θεὸς ἐστὶν ὁ ποιῶν τόνδε τὸν ἄνθρωπον σώφρονα, ἕτερον δὲ πάλιν πόρνον, οὔτε μὴν τοῦτον ὀργίλον ἄλλον δὲ πάλιν μακρόθυμον, ἀλλὰ γένη τινα εἰσὶ καὶ κράσεις χωρῶν καὶ τόπων καὶ στοιχείων καὶ ἀέρων καὶ καιρῶν τροπαὶ καὶ παραλλαγαί· λοιπὸν δὲ καὶ αἰτίαι φυσικαὶ τοῖς στοιχείοις τοῦ σώματος ἀκολουθοῦσι· δι' ὧν αἰτιῶν καὶ τροπῶν καὶ καιρῶν καὶ κράσεων, ἐὰν εὑρεθῇ πλυμμύρα

τοῦ θερμοῦ στοιχείου ἐν τῇ ὥρᾳ τῆς συλλήψεως τοῦ βρέφους, γίνεται τὸ τικτόμενον θερμῆς κράσεως, καὶ φιλόδιον καὶ εὐμετάδοτον· εἰ δέ γε πάλιν τῇ κινήσει τοῦ ψυχροῦ στοιχείου σύλληψις γένηται, ἀγνοτέρας ἕξεως καὶ ψυχροτέρας τὸ γεννώμενον εὑρίσκεται· ὁμοίως λοιπὸν καὶ ἐκ τῶν ἄλλων δύο στοιχείων· τὸ μὲν ξηρὸν μοναστήν τινα καὶ νηφάλιον ἀποτίκτει ἄνθρωπον, τὸ δὲ ὑγρόν, νωθρὸν καὶ ὑλαῖον καὶ γαστρίμαργον καὶ ῥυπαρόν· ἐπεί, ἐὰν θείᾳ κελεύσει, εἴπωμεν γεννώμενον καὶ γινόμενον τοῦτον μὲν τὸν ἄνθρωπον πονηρόν, τοῦτον δὲ ἀγαθὸν κτλ. τότε οὔτε ὁ σώφρων καὶ ἐνάρετος ἄνθρωπος, ἄξιος εὑρεθήσεται μισθοῦ· ὁ γὰρ Θεὸς αὐτὸν ἐποίησε σώφρονα καὶ ἐνάρετον· οὔτε μὲν ὁ πόρνος ἢ ὀργίλος ἄξιος ἐστὶ κολάσεως, ὑπὸ τοῦ Θεοῦ τοιοῦτοι γενόμενοι· ὅθεν τὰ τοιαῦτα ἐκ φύσεως ἡ φρόνησις, ἡ σωφροσύνη κτλ. ἃ οὐκ ἀρεταὶ λέγονται ὑπὸ τῶν ἁγίων Πατέρων ἀλλὰ φυσικὰ προτερήματα καὶ πλεονεκτήματα· ἅτινα οἱ τῶν Ἑλλήνων μωρόσοφοι ἀστρολόγοι, κατὰ τὴν τῶν ἀστέρων κίνησιν ἐμυθολόγησαν τοῖς ἀνθρώποις γίνεσθαι.

Σάρξ. Πεπληροφόρησαι τανῦν ἐκ τοῖς εἰρημένοις
ἢ ἔτι χρήζεις τοῦ μαθεῖν ἀκριβέστερον ταῦτα ;

Ψυχή. Οὐχί, παιδίσκη μου, οὐχί· οὐκέτι ἐνδοιάζω,
ταυτὶ τὰ ῥήματα δηλοῖ καὶ τὸ ὕφος τοῦ λόγου,
ὅτι τὰ πάντα ἀληθῆ καὶ ἀπηχὲς οὐδέν τι
οὔτε μὴν ξένον τῆς Γραφῆς, ἔκφυλόν τε καὶ νόθον,
ἐφθέγξω ἵνα εὕρωσιν οἱ φιλοσκῶπται χώραν·
τανῦν εἰπὲ περὶ φωνῆς καί πως ἡ ἀνισότης
ἐν τοῖς ἀνθρώποις πέφυκεν, ὡς ἡ πτῶσις προέφη,
καὶ ἔχουσι κἂν τῇ φωνῇ διαφορὰς ποικίλας
καὶ εἰς διάλεξιν αὐτῶν καὶ ζητῶ τὴν αἰτίαν,

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Σάρξ. Καὶ ἄκουσον τὸ αἴτιον περὶ φωνῆς ὧδέ πως,
καθὼς ἡ λύρα λυρῳδοῦ, εἴπερ ἐκ ξύλου πέλει,
ὑγιεινοῦ καὶ στερεοῦ καὶ μὴ σεσαθρωμένου,
ἐντέχνως εἶτα σκευασθῇ καὶ συντεθῇ πανσόφως
παρὰ τεχνίτου μουσικοῦ καὶ αὐλητοῦ πρεπόντως.
καὶ ἔχει μὲν καὶ τὰς νευράς, ἤτοι χορδὰς ἐξ ἴσου
τὰς πάσας πάντως ὁμαλὰς τῇ ποιᾷ τούτων θέσει,

καὶ τεταμένας τὰς αὐτὰς ἐξ ἴσου ἐν τῇ τάσει,
ἰσόσταθμος, ἰσόρροπος τῶν νεύρων ἡ ποσότης,
φωνὴν τῷ τότε ὑπηχεῖ τεχνικῶς ἡρμοσμένην
τὴν ἔμμουσον καὶ πρέπουσαν εὐφυῶς κατὰ λόγον·
ἂν δέ γε αὖθις αἱ χορδαὶ ὦσιν ἐνηλλαγμέναι
ἡ μὲν ἰσχνότατος πολλά, ἡ δὲ παχεῖα πάνυ,
καὶ τεταμένη ἄλλη δὲ σφοδρῶς ὑπὲρ τὸ μέτρον,
ἑτέρα χαύνη τε πολλὰ καὶ τῷ ῥυθμῷ χωλεύει,
τὸ ξύλον ταύτης παλαιὸν καί γε σεσαθρωμένον,
πῶς δὴ δυνήσεται λοιπὸν ὁ λυρῳδὸς ἐν ταύτῃ
ἐνδείξασθαί γε τὴν αὐτοῦ ἐνέργειαν, ὡς θέμις,
ἀδύνατον κιθαρῳδόν, μὴ οὔσης τῆς κιθάρας
εὐαρμόστου ἐν ἅπασι τοῖς νεύροις καὶ τῷ ξύλῳ
τὴν μουσικὴν ἐνδείκνυσθαι κατὰ τὴν τέχνην τούτου
οὐ γὰρ ἠχήσει οὐδαμῶς τὸ συγκεχαλασμένον,
ἡ μέντοι χεὶρ καὶ τεχνικῶς πολλάκις δὴ κινεῖται,
πρὸς θέσιν γε τὴν τοπικὴν ἄγουσά πως τὸ πλῆκτρον
τὸ δὲ ἠχοῦν οὐ πέφυκεν, εἰ μή τι ἄσημόν γε,
καί γε ἀσύντακτον αὐτὸ τῇ τῶν χορδῶν κινήσει
τὸ μέλος οὐ κατὰ ῥυθμὸν ὑπηχεῖ καὶ τὸν βόμβον·
λύραν τὸ στόμα δόκει μοι, κυρία, τοῦ ἀνθρώπου
χορδὰς δὲ τούτου, σύνες μοι, ταῦτα ἔχειν τὰ μέρη
γαργαρεῶνα, σταφυλήν, λάρυγγά τε καὶ γλῶσσαν
ὀδόντας, χείλη, ἅτινα τὴν φωνὴν ἀπαρτίζει,
μᾶλλον δὲ τὴν διάλεκτον· ἡ γὰρ φωνὴ πρὸς τούτοις
καὶ ἄλλα κέκτηταί τινα ὄργανα τῶν μορίων,
θώρακα, πνεύμονα, πρὸς δὲ καὶ τοὺς ἔσωθεν μύας
καὶ τὴν τραχεῖαν σὺν αὐτοῖς ἀρτηρίαν καὶ νεῦρα,
ἐν τούτοις οὖν διαφοραὶ καὶ πολλαὶ καὶ ποικίλαι
ἄλλος τὴν γλῶτταν εὔστροφος, καθὸ λεπτὴ τυγχάνει,
οὐχ᾽ οὕτως αὖθις ἕτερος ἀλλὰ παχεῖαν ταύτην,
ὀδόντας ἄλλος ὑψηλούς, χθαμαλοὺς δ᾽ ἄλλους ἔχει
πεπυκνωμένους ἕτερος, ἀραιοὺς τούτους ἄλλος
νεύοντας ἔνδον εἴς τινας, ἔν τισιν ἔξω πάλιν,
ἄλλος τὸν λ»ρυγγα στενόν, ἄλλος εὐρύν καὶ μέγαν,
γαργαρεῶνα, σταφυλήν, ἄλλως καὶ ἄλλως ἄλλοι,
τὰ χείλη δέ γ᾽ οἱ πλείονες πάντῃ παρηλλαγμένα

ὁμοίως καὶ τὰ στόματα οὐ πᾶσιν ἴσα πάντως·
ἐκ ταύτης γοῦν, ὡς εἴπομεν, τῆς ἀνισότητός γε
τῆς ἐν χορδαῖς, ὡς εἴπομεν, καὶ τῆς ἀνωμαλίας
συμβαίνει πάντως τὴν φωνὴν ἀνάρμοστον τυγχάνειν
καὶ ἔχειν τἀλαττώματα, ἅπερ ἀπηριθμήσω,
καταρχὰς ἐν τῇ πνεύσει σου οὐκ ἀπεικός, φιλτάτη,
ἀλλ' οὐχ ὡς ἀπὸ τῆς ψυχῆς ἡ τούτων γε αἰτία
ἀλλ' ἀπὸ τῶν τοῦ στόματος ὀργανικῶν μορίων
τὸ στόμα, λύραν εἴπομεν, καὶ ἓξ χορδάς, ἃς ἔχει,
γαργαρεῶνα, σταφυλήν, λάρυγγά τε καὶ γλῶσσαν,
ὀδόντας, χείλη, ἅτινα εἰς διάλεκτον ἔχει
τὰ κυριώτερα ταυτὶ καὶ ἀναγκαῖα ταύτης·
ἐγὼ δὲ βλέπω εἰς φωνὴν συνεργὸν καὶ τὰς ῥίνας·
χωρὶς γὰρ τούτων οὐδαμῶς τό μυ καί νυ ἐξείπῃ
καί τοι τὸ πᾶν ἐθέμεθα ἐν ταῖς χορδαῖς τῆς λύρας
ὡς ἐκπέμπουσαν τὴν φωνὴν τοιάνδε καὶ τοιάνδε
αὗται τὸ πᾶν οὐ κέκτηνται, ἀλλὰ μὴν καὶ αἱ λύραι
εἴπερ τυγχάνει μία τις ἐκ ξύλου τῆς ἰτέας,
ἐκ τῆς συκέας ἄλλη δέ, ἐκ τῆς δρυὸς αὖ ἄλλη,
καὶ ἐξ ἑτέρων μὲν πολλῶν ὁμοῦ καὶ διαφόρων
τῶν μὲν στρυφνῶν καὶ ἰσχυρῶν, τῶν δὲ σαθρῶν καὶ χαύνων,
εἰπέ μοι πῶς ἐνδέχεται τὰς πάσας ἔχειν μίαν
φωνὴν καὶ ἦχον καὶ φθογγὴν παρηλλαγμένας λύρας,
εἰ τάχα ἴσας ἔχουσι καὶ τὰς χορδὰς αἱ πᾶσαι,
ἀλλ' οὖν τούτων γε ποιὰ θέσις, ἄλλη καὶ ἄλλη,
ὡς καὶ τῶν ξύλων πέφυκε διαφορὰ ποικίλη,
οὕτω μοι νόει στόματα καὶ τῶν ἀνθρώπων εἶναι,
ἄλλο γὰρ ἄλλης θέσεως, ἄλλο δὲ πάλιν ἄλλης,
καὶ οὐκ ἐνδέχεται ψυχὰς ἐπὶ στομάτων πάντων
ἴσην φωνὴν ἀποτελεῖν οὔτ' ἦχον οὔτε μέλος,
ἀλλ' οὐ μεμπτέον τῇ ψυχῇ· ἀναίτιος γὰρ αὕτη·
ἀλλὰ τοῦ στόματος αὐτοῦ ὀργανικὰς δυνάμεις·
ἂν δὲ εἰπεῖν θελήσω σοι τὰ αἴτια τὰ τούτων,
καὶ ποῖον ποίου πέφυκεν ἐμπόδιον εἰς ταῦτα,
εἴς τε τὸν ἦχον καὶ φωνὴν καὶ τὴν φθογγὴν καὶ μέλος,
καὶ τί ποιεῖ τὸν μὲν ψελλόν, τὸν δὲ τραυλόν, μογγόν τε,
λοιπὸν ἀναγκαζόμεθα ἐλθεῖν εἰς ἀποδείξεις

ἰατρικὰς τοῦ Γαληνοῦ καὶ φυσιολογίας
καί γε εἰς μῆκος ἄπλετον προβήσεται ὁ λόγος,
λεπτολογούντων ἅπαντα κατὰ μέρος ἐν μέρει,
ἀλλὰ παρήσω τὰ πολλά, ἓν δέ σοι μόνον εἴπω
δίδου σοφῷ πως ἀφορμὴν καὶ σοφώτερος ἔσται,
τὸ δ' ἐπερώτημα σοφοῦ, ἀνόητον σοφίζει.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ψυχή. Θεράπαινα, ὡς εἴρηκας πρὸ μικροῦ ἐν τῷ λόγω,
ὅτι ὡς ἐστὶν ἡ ποιὰ κράσις ἡ τῶν σωμάτων,
πρὸς τούτοις οὖν καὶ αἱ ψυχαὶ φυσικῶς ἐνεργοῦσιν,
ἆρα λοιπὸν οὐκ ἔξεστιν ὑπὲρ τὴν κράσιν τούτων
καὶ παρὰ φύσιν πρᾶξαί τι καὶ ὑπὲρ φύσιν αὖθις
οἰκονομῆσαι τὸν Θεόν, ἀλλὰ τὴν φύσιν πάντως
καὶ ἐνεργεῖν καὶ διοικεῖν κατὰ τὴν κράσιν ταύτης;
εἰς γνῶσιν τε καὶ φρόνησιν σύνεσιν καὶ σοφίαν;
εἶτ' οὖν ὀργίλος ἄνθρωπος, φθονερὸς ὑπὲρ λίαν
ἕτερος πάλιν μανικός, μνησίκακος τελχίν τε,
πόρνος δὲ πάλιν ἕτερος, ἀκόλαστος εἰς ἄκρον,
ἠλίθιός τε καὶ μωρὸς τυγχάνει πάλιν ἄλλος,
ὠμὸς δὲ αὖθις ἕτερος, ἄσπλαγχνος φύσει ἄλλος,
καὶ τἀναντία τούτοις δε κέκτηνται πάλιν ἄλλοι,
τοιοῦτοι μὲν ἐκ φύσεως κτισθέντες καθὼς εἶπας
ἢ ἀπὸ γνώμης πονηρᾶς καὶ προαιρέσεώς γε;
κακοὶ γινόμενοι αὐτοί, ἔστιν ὅτε πολλάκις,
οὐ γὰρ φαμὲν τὴν πρόνοιαν Θεοῦ τούτοις οὕτως
κατασκευάζειν πονηρούς, ἀλλ' ἢ στοιχείων κράσιν,
ἆρα τὰ κάκιστα ταυτὶ ἔνι μεταβαλέσθαι;
ἐπὶ τὰ κάλλιστα λοιπὸν τὴν ψυχὴν ὑπὲρ φύσιν
καὶ ἐγκεντρίσαι τὰ χρηστὰ διὰ φιλοπονίας;
Σάρξ. Ἔνι καὶ πάνυ γε ἐστίν, εἴπερ δικαίως κρίνει
ὁ βασιλεὺς τῶν ἀρετῶν, ὁ νοῦς, ὅς γε τυγχάνει
τὸ λογικὸν τὸ τῆς ψυχῆς καὶ ὀρθῶς καὶ δεόντως
τὰς διανοίας τὰς αὐτοῦ πρὸς δὲ καὶ ἐνθυμήσεις,
συνάμα καὶ τοῦ θυμικοῦ καὶ τῆς ἐπιθυμίας,
ὅσα κἀκ τούτων φύονται φυσικῶς καὶ κινοῦνται,

τὸ κρεῖττον ἐκ τοῦ χείρονος καὶ τ' ἀγαθὸν ὡσαύτως,
ἐκ τοῦ κακοῦ καὶ πονηροῦ τοῦ Θεοῦ συνεργοῦντος,
ὁποῖα τοίνυν ἐκ Θεοῦ καὶ ποῖα τ' ἐκ δαιμόνων
καὶ τ' ἀγαθὰ προσδέχεται τὰ πονηρὰ δ' ἐκπτύει·
ἀλλὰ τελείων μὲν ἀνδρῶν τὸ ἐπιγνῶναι ταῦτα,
τῶν νοῦν ἐχόντων ὑγιῆ καί γε λελογισμένον,
αὐτῶν τὸ διακριτικὸν καὶ ἄπταιστον ἐν πᾶσιν·
ὁποία μὲν ἡ τοῦ Θεοῦ, ποία δὲ τῶν δαιμόνων
τοῦ συνειδότος ποία δὲ ἔννοια καθειστήκει·
ἀλλ' εἴπω σοι παράδοξα ξένα καὶ ὑπὲρ φύσιν,
ἅπερ ἐργάζεται Θεὸς εἰς οὓς αὐτὸς ἐθέλει,
καὶ οὐχ ἡ φύσις ταῦτα γε οὔθ' ἡ στοιχείων κράσις,
ἐπείπερ παντοδύναμος καὶ λέγεται καὶ ἔστιν,
δημιουργὸς καὶ ποιητὴς τῶν ἁπάντων κτισμάτων,
ἔνθα γὰρ ἂν καὶ βούληται νικᾶται νόμος ἅπας,
ἀλλὰ καὶ φύσεως θεσμοὶ οὐκ ἔστι τὸ κωλῦον,
αὐτῷ γὰρ πάντα δυνατά, ἀδυνατεῖ δὲ οὔτε,
ἀλλ' ἔνθα θέλει ὑφαιρεῖ τὰ τῆς φύσεως πάθη·
οἰκονομῶν παράδοξα καὶ ὑπὲρ φύσιν ξένα
καὶ ὅσα βούλεται ποιεῖ εἰς οὓς αὐτὸς ἐθέλῃ
εἰς γενεὰς καὶ γενεὰς ἄχρι τῆς συντελείας,
ἐκ τούτων εἴπω σοι τινὰ περὶ τῶν ξένων ὅσα
τοὺς ὅρους ὑπερβαίνουσι καὶ φύσιν ἀνθρωπείαν·
πᾶσα γυνὴ τότε γεννᾷ ἄχρις ἂν πάντως βλέπῃ
ἐν ἑαυτῇ τὸν ἐθισμὸν αὐτῆς τὸν κατὰ μῆνα,
ἐπὰν δὲ ξηρανθήσεται οὐκέτι συλλαμβάνει,
ἀλλ' οὖν θελήσει τοῦ Θεοῦ ἐγέννησαν καὶ πλεῖσται
γεγηρακυῖαι καὶ ῥυσσαὶ ἔξω τῆς ὥρας οὖσαι,
ἡ Σάρρα μὲν τὸν Ἰσαάκ, Ἄννα τὴν Θεοτόκον,
ἡ Ἐλισάβετ αὖθίς τε τὸν Πρόδρομον Χριστοῦ μου,
καὶ ἄλλαι πλεῖσται πολλαχοῦ ἐν παλαιᾷ καὶ νέᾳ
τοῦ δὲ Χριστοῦ τὴν γέννησιν τῆς ἐξ ἁγνῆς Παρθένου,
ἑκὼν μὲν ὑπερβήσομαι ἀνέκφραστος δὲ πέλει,
τῶν δὲ θαυμάτων τῶν αὐτοῦ παραδράμω τὸ πλῆθος
κωφῶν, ἀλάλων, καὶ τυφλῶν, χωλῶν καὶ ξηροχείρων,
ἅπερ ἐργάκει ἔκπαλαι καὶ νῦν καὶ εἰς τὸ μέλλον
ἐποίησε καὶ τὸν Σαμψὼν ἀνδρικώτατον ἄγαν,

καὶ αὖθις μὲν τὸν Ἰωσὴφ ὡραῖον ἐν τῷ κάλλει,
τὸν Σολομῶντα φρόνιμον ὑπὲρ ἀνθρώπους πάντας
καὶ Ἕλληνας ἐσόφισε πρὸς ὠφέλειαν ἄλλων
καὶ ἔγραψαν, ἃ ἔγραψαν καὶ εἶπον ἅπερ εἶπον,
γραμματικήν, ῥητορικήν, καὶ τὴν φιλοσοφίαν,
ἰατρικὴν καὶ τὰ λοιπὰ καὶ τὴν ἀστρονομίαν,
καὶ τί τὸ μεγαλύτερον οὐ λέγω καὶ τὸ μεῖζον ;
εἰς τρίτον ἦρεν οὐρανὸν τὸν Παῦλον παραδόξως,
ὡσαύτως δὲ καὶ Φίλιππον ἐκ Γάζης μὲν ἡρπάκει,
εὑρέθη δὲ εἰς Ἄζωτον θᾶττον καὶ παραυτίκα,
τὸν Ἀββακοὺμ αἰθέριον ἦξεν εἰς Βαβυλῶνα,
καὶ ἐξ αὐτῆς τοῖς θερισταῖς, ὡς ἐν ῥιπῇ, ἀπέδω,
τοῦ Ἠλιοὺ δὲ καὶ Ἐνὼχ τὸ τέρας παραδράμω,
καὶ τὴν μετάθεσιν αὐτῶν, ἔτι γὰρ ζῶσιν οὗτοι·
οὐ γὰρ ἡ φύσις ἐνεργὸς οὐθ' ἡ στοιχείων κράσις
εἰς ταῦτα πάντα γέγονεν οὔμενουν, δέσποινα μου,
ἀλλ' ἡ πρόνοια Θεοῦ εἰργάκει ὑπὲρ φύσιν,
ἵνα κατανοήσωμεν, ὡς διὰ τούτων πάντων,
τὴν ἐξουσίαν τὴν αὐτοῦ καὶ δύναμιν ὡσαύτως,
ἐρεῖ δ' οὐδεὶς τῷ πλαστουργῷ τί μ' ἐποίησας οὕτως·
ὁ κεραμεὺς ἐκ τοῦ πηλοῦ τοῦ ἰδίου, ὡς οἶδας,
σκεύη διάφορα ποιεῖ· ἐξουσίαν γὰρ ἔχει·
τὰ μὲν τοιούτων εἰς τιμὴν τὰ δὲ εἰς ἀτιμίαν,
πρὸς ἔνδειξιν τῆς ἑαυτοῦ σοφίας καὶ ἰσχύος,
καὶ λέξω σοι καὶ ἕτερον πρὸς τούτοις καὶ θαυμάσεις
ἡμεῖς ὁ περιούσιος λαὸς ὁ τοῦ Κυρίου,
τὸ ἔθνος δὴ τὸ ἅγιον χριστιανῶν τὸ γένος,
ἔχομέν τι καὶ περισσὸν ὑπὲρ πάντα τὰ ἔθνη,
ὅστις καθάρῃ ἑαυτὸν ἐκ πάσης ἁμαρτίας
ἀπὸ παντὸς τε μολυσμοῦ καὶ ψυχὴν καὶ τὸ σῶμα,
δι' ἀρετῆς καὶ πόνου τε καὶ τῶν καλῶν ἱδρώτων,
δοχεῖον οὗτος γίνεται Πνεύματος τοῦ ἁγίου,
ὃ καὶ φωτίζει τὸν αὐτὸν καὶ σοφίζει ἐξόχως,
καθὼς Προφήτας ἅπαντας πρὸς δὲ καὶ Ἀποστόλους,
καὶ ὁδηγεῖ εἰς ἅπασαν πρᾶξιν ἀρίστην τοῦτον
ἐπὰν δὲ τοῦτο ἔνοικον κτήσηταί τις, κυρία,
καὶ δέξηται τὴν ἔλλαμψιν ἐν τῇ ψυχῇ τὴν τούτου

καλὴν ἀλλοίωσιν αὐτὸς ἀλλοιοῦται καὶ ξένην,
καθώσπερ καί τις εἴρηκε τῶν ἁγίων ὧδέ πως :
ὁ ὑπὲρ φύσιν γὰρ Θεὸς ὅπου δ' ἂν ἐνδημήσῃ
ἐκεῖ τὰ πλεῖστα γίνονται πραγμάτων ὑπὲρ φύσιν,
τὸ Πνεῦμα, ἔνθα τοῦ Χριστοῦ, ἐκεῖ ἐλευθερία,
ἐφ' οὓς ἐθέλῃ πνέον δὴ καὶ ὅσον καὶ ἡνίκα,
τὸ δέ γε ἑξῆς νενόηκας, ὡς δοκεῖ μοι τοῦ λόγου,
καὶ τῶν δαιμόνων κάκιστα πάθη καὶ ἐνθυμήσεις
ἐκ τῆς καρδίας τῆς αὐτῶν καὶ τῆς ψυχῆς διώκει,
πλὴν οὐκ ἐπίσης ἅπασι τὴν σοφίαν καὶ γνῶσιν
δωρεῖται καὶ τὴν μέθεξιν τῆς χάριτος τὸ Πνεῦμα
ἀλλά γε πρὸς τὴν κάθαρσιν ἀναλόγως ἑκάστῳ,
ἢ ὁλικῶς καὶ ὑψηλῶς ἢ μέρος ὑφειμένως,
καθόσον πάντως ἐκχωρεῖ ἡ κάθαρσις ἡ τούτου·
τοσοῦτον οὗτος δέχεται οὐχ ὅσον ἐγὼ λέγω,
καὶ λέξω σοι παράδειγμα καὶ γνώσει τὸ λεχθέν μοι,
ὥσπερ ἀσκὸς ἀνάμεστος ὕδατος πεπλησμένος,
ἄχρι τοῦ στόματος αὐτοῦ καὶ αὐτῶν χειλέων
ἀδύνατον τοῦ δέξασθαι ἔνδοθεν τοῦτον πνεῦμα·
τὸν ἄνεμον ἐνταῦθά μοι πνεῦμα νόει, κυρία,
ἐπὰν δ' ἐκβάλῃς ἐξ αὐτοῦ, τοῦ ἀσκοῦ δηλονότι,
ὕδωρ ὀλίγον ἢ πολὺ καὶ διάκενος οὗτος
γενήσεται, ὡς εἴρηται, δέχεται τότε πνεῦμα
καθόσον πάντως ἐκχωρεῖ ἡ κένωσις ἡ τούτου·
ἀσκοὺς δὴ νόησον ἡμᾶς γέμοντας, φεῦ μοι, πάθη
καὶ ἁμαρτίας μᾶλλον δε καὶ ἀνομίας πλέον,
ὅσον ἐκ τούτων ἕκαστος καθαρθῇ τῶν πταισμάτων
διὰ θερμῶν δακρύων τε διὰ τῆς μετανοίας,
τοσοῦτον οὗτος δέχεται τῆς χάριτος τὸ πνεῦμα,
ἂν δέ γε κένωσις μὴ ᾖ, ἤτοι κάθαρσις ῥύπου,
ἀμήχανον τοῦ Πνεύματος τὴν εἴσοδον ἐκεῖσε,
καθὼς σοι τὸ παράδειγμα ὑπέδειξεν εὖ μάλα·
σαπρῷ δοχείῳ γάρ φησιν οὐ πιστεύεται μῦρον,
ὁ Παῦλος δέγε εἴρηκεν, ὁ θεῖος τε καὶ μέγας,
ἐν ἄλλοις ἄλλο χάρισμα, ἐν ἄλλοις πάλιν ἄλλο,
χαρίσματα διάφορα καὶ διαιρέσεις πλεῖσται,
ἑκάστῳ δίδονται φησὶ πρὸς τὸ συμφέρον δέ γε

φανέρωσις τοῦ Πνεύματος πρεπόντως, ἁρμοζόντως,
τῷ μὲν διὰ τοῦ Πνεύματος νέμει λόγον σοφίας,
ἄλλῳ δὲ λόγον γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα,
πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ αὐτὸ ἓν γε Πνεῦμα,
ἑκάστῳ καθὼς βούλεται διαιροῦν ἐν ἰδίᾳ,
ἐν τούτοις μόνοις ἐνεργεῖ ἡ θεία χάρις τότε
καὶ ἐκριζοῖ τὰ κάκιστα, φυτεύει δὲ τὰ κρείττω
ὁπότε δεῖ, καὶ ἔνθα δεῖ, καὶ ὅσα δεῖ πλουσίως,
ὑπὲρ τὴν φύσιν τὴν ἡμῶν τὴν ἀνθρωπίνην ταύτην
τοῖς δὲ μὴ οὖσι καθαροῖς ἡ φύσις τῶν σωμάτων
τῇ κράσει τούτων τῇ ποιᾷ μόνῃ οὐχ' ὑπὲρ φύσιν,
ἵν' ἐγκεντρίσῃ τὰ χρηστὰ ἀντὶ τῶν ἐναντίων,
καθότι καὶ προείπομεν ἄνωθεν ἐν τῷ λόγῳ,
ὑπὸ Θεοῦ τοῦ παντουργοῦ λογικοὶ δὴ κτισθέντες,
τῷ δέ γε πάντως λογικῷ ἕπεται ἐξ ἀνάγκης
τὸ εἶναι αὐτεξούσιον κύριον τῶν πρακτέων,
πᾶσα γὰρ φυσιολογικὴ αὐτεξούσιος ἔστι,
λοιπόν, κατὰ προαίρεσιν, ἡ κακία τυγχάνει,
κατὰ προαίρεσιν κακοὶ γινόμεθα οἱ πάντες,
οὐ κατὰ φύσιν, ἄπαγε, μὴ οἴου τοῦτο ὅλως,
οὐ γὰρ αἰτία τῶν κακῶν ἡ φύσις ἡμῶν πέλει
ἀλλ' ἀπὸ ἕξεως μαθεῖν τὰ τῆς κακίας ἔστιν,
ἡ ἕξις δὲ οὐ φυσική, διδακτὴ δ' ἔστι μᾶλλον,
λοιπὸν ἐκ προαιρέσεως τὸ κακῶς ἡμᾶς ἦχθαι,
πᾶσα γὰρ ἕξις τοῦ κακοῦ ἐπίκτητος τυγχάνει,
ὅτι δὲ οὐ πεφύκασι φυσικαί πως αἱ ἕξεις,
ἐκ τοῦ μὴ ἔχειν τὰς αὐτὰς δῆλον τοὺς πάντας ἕξεις,
ἀλλ' ἄλλας ἄλλους κεκτῆσθαι, ἄλλους δὲ πάλιν ἄλλως,
τὰ δέ γε φύσει ἐν ἡμῖν τὰ αὐτὰ παρὰ πᾶσι·
λοιπόν, ὡς αὐτεξούσιοι καὶ λογικοὶ κτισθέντες,
αἱρεῖται ἕκαστος ἡμῶν εἴτι τάχα καὶ θέλει,
εἴτε τὰ ἔργα τοῦ φωτὸς εἴτε τοῦ σκότους πάλιν,
εἴτε τὸ ψεύδεσθαι αὐτὸν εἴτε τὸ ἀληθεύειν,
ἢ τόγε πάλιν σωφρονεῖν ἢ τὸ ἀκολασταίνειν,
ἂν τ' ἀγαθὸν ἐκλέξηται τοῦ χείρονος προκρίνας
γίνεται θέσει καὶ Θεὸς καὶ υἱὸς τοῦ Ὑψίστου
ἂν δὲ τὸ χεῖρον ἕληται, υἱὸς τοῦ διαβόλου,

καὶ τούτων μάρτυς δέδεικται ποτὲ ἡ Αἰγυπτία,
ἐν ἀμφοτέροις γέγονε δοχεῖον ἡ Μαρία
τοῦ διαβόλου πρότερον, τοῦ Θεοῦ δ' ἐπ' ἐσχάτων·
καὶ Πελαγίαν ἤκουσα τὰ ὅμοια Μαρίας
καὶ πράξασαν καὶ δράσασαν πρὸς δὲ καὶ Εὐδοκίαν.
Ἰδού σοι τοίνυν εἴρηκα, ἐν τίσι μὲν ἡ χάρις
καὶ πρόνοια ἡ τοῦ Θεοῦ οἰκονομεῖ τὸ δέον
καὶ συνεργεῖ ἐκτέμνουσα τὰ παρὰ φύσιν πάθη
καὶ ἀντ' αὐτῶν τὰς ἀρετὰς ἐγκεντρίζει πρεπόντως·
εἰ τάχα φέρεται ῥητὸν ἐν τῷ Εὐαγγελίῳ,
οὐ δύναται τὸ πονηρὸν δένδρον καρποὺς ποιῆσαι
καλούς, ἀλλὰ μεταβληθὲν εἰς ἀρετὴν εὖ οἴσει,
καὶ Παῦλος ὁ Ἀπόστολος ὡσαύτως Κορινθίους,
ὁ ψυχικὸς μὲν ἄνθρωπος οὐ δέχεται τὸ Πνεῦμα
ἀλλὰ καὶ μάλα δέξεται, εἴγε μεταβληθείη,
οὐκ εἶπε γὰρ οὐ δέξεται ἀλλ' οὐ δέχεται εἶπε·
καὶ αὖθις οὖν ἑτέρωθι οὐ δύναται τοῦ γνῶναι,
οὐκ εἶπεν οὐ δυνήσεται ἀλλ' οὐ δύναται εἶπε·
τὸ μὲν γὰρ ἐνεστῶτος εἶ, τὸ δὲ μέλλοντος χρόνου·
ὥσπερ γάρ, εἴ τις σίδηρον ἠνθρακωμένον ἴδοι,
εἴπειεν ἂν τοῖς μετ' αὐτοῦ ψυχρὸς οὐ δύνατ' εἶναι,
ἀλλὰ δυνήσεται ψυχρὸς μετὰ μικρὸν γενέσθαι·
οὕτω μοι νόει, δέσποινα, ἐπὶ τῶν εἰρημένων,
πλὴν ἐνεργεῖ καὶ ἐν κακοῖς ποτε ἡ θεία χάρις
καὶ προφητεύει ἐν αὐτοῖς κατά τινας, ὡς οἶμαι,
οἰκονομίας εὐχρήστους καὶ χρείας ἀναγκαίας,
προέφη πάλαι Βαλαὰμ καὶ ὁ Σαοὺλ τὸ μέλλον
καὶ Καϊάφας αὖθίς τε καὶ Ναβουχοδονόσορ·
τὸ Πνεῦμα δὴ τὸ ἅγιον εἰς αὐτοὺς ἐνεργῆσαν
βεβήλους ὄντας καὶ αἰσχρούς, δι' αἰτίας εὐλόγους,
σημεῖα δέ γε ἐπιτελεῖ πρὸς ὠφέλειαν ἄλλων,
παραχωροῦντος τοῦ Θεοῦ καὶ δαίμονας διώκει,
ἐν τοῖς τοιούτοις, ὅτε χρὴ οἰκονομεῖν προσφόρως,
τανῦν δὲ ἱκανούσθω σοι ὁ ἀπόλογος οὗτος,
ἀρκούντως γὰρ εἰρήκαμεν εἰς ταύτην σου τὴν πεῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

υχή. Τῶν τικτομένων διατὶ τὰ πάθη καὶ συμπτώσεις,
ἆρα τὸ κῦρος ἡ ψυχὴ κέκτηται τῶν τοιούτων ;
ἢ τοῦ Θεοῦ ἡ πρόνοια καὶ στοιχείων ἡ φύσις ;
ἀλλ' ἤκουσα καὶ τῆς Γραφῆς, ἐκτὸς Θεοῦ, οὐδέν τι
οὔτε ἐγένετο ποτὲ οὔτε γενήσεταί τε,
λοιπὸν Θεὸς ὁ αἴτιος καὶ ζητῶ τὴν αἰτίαν,
φράσον τὸν τρόπον μοι τανῦν, ἵν' ὅπως μὴ πλανῶμαι,
ἰϱξ. Μάθε καὶ τοῦτον σύντομον, κυρία μου, τὸν λόγον,
ὡς δύναμις γὰρ εἴπω σοι τὴν λύσιν τῶν δυσφράστων,
πῶς νῦν ἄλλος φρενόληπτος, ἄλλος γὰρ ἀρτίφρων ἔφυ,
ἄλλος ξηρὸς καὶ κάθυγρος, ἄλλος καὶ πάρειμος,
παλμούς τε δέχεται συχνοὺς καὶ μελῶν σηπεδόνας,
ἄλλος θερμός, οἰνόφλυξ τε, ἄλλος ψυχρὸς ἐκτόπως
ἄλλος φρενήρης τὰ πολλὰ καὶ μωρὸς ἄλλος πάλιν,
ἄλλος τυφλὸς ἐκ γενετῆς, ἄλλος δ' ἐπειλημμένος,
ἄλλος κωφός, ἄλλος χωλός, ἄλλος δ' ἐξηραμένος,
ἄλλα τε πέφυκε πολλὰ τῶν παθῶν ἐν ἀνθρώποις·
τέσσαρας γίνωσκε καιροὺς ἐξηλλαγμένους πάνυ·
ἔαρ καὶ θέρος, δηλαδή, φθινόπωρον, χειμῶνα·
ἔαρ ὑγρόν τε καὶ θερμόν, ὑγρὸν ἐκ τοῦ χειμῶνος,
ὡς γειτνιῶντα μάλιστα καὶ τέλος ὂν ἐκείνου,
θερμὸν δὲ πάλιν πέφυκεν, ὡς θέρει προσεγγίζον·
ἴδε δὲ ξένην ἀγωγὴν καὶ θαύμασον τὸν κτίστην,
ἀρχὴ χειμῶνος τὸ ψυχρόν, ὑγρότης τελευταῖον,
τούτου τὸ τέλος δέ, ἄλλου πάλιν ἀρχὴ τυγχάνει·
τὸ θέρος δ' αὖ ἐξ ἔαρος τὴν ἀφορμὴν λαμβάνει,
τὴν θερμασίαν καταρχὴν τέλος τὴν ξηρασίαν,
ἡ ξηρασία θέρους δέ, ἀρχὴ τοῦ φθινοπώρου,
ξηρὸν γὰρ τοῦτο καὶ ψυχρὸν συνομοροῦν χειμῶνι·
χειμὼν δὲ δέχεται ψυχρόν, ὡς τέλος φθινοπώρου.
ὕπεισι δέ γε σὺν αὐτῷ ὑγρότης τελευταίως
ἀλλ' ἴδε κρᾶσιν θαυμαστὴν πῶς ἐνοῖ τἀναντία
καὶ τὸ ψυχρὸν μὲν πρὸ μικροῦ τυγχάνον ὑγρὸν
τὸ δ' αὖ ὑγρὸν ξηραίνεται λαμβάνει δὲ καὶ θέρμην,

τὸ δὲ ξηρὸν ψυχραίνεται· τίς καλῶς ταῦτα κρίνοι
ἐπεὶ τετράστοιχον ἡμῶν τὸ σῶμα καθειστήκει
ἐκ γῆς, ἀέρος καὶ πυρός, ὕδατος τοῦ τετάρτου
τούτοις ἰσόστοιχα τινὰ συνείρει μοι Δεσπότης
αἷμα καὶ φλέγμα καὶ χολὴν ξανθὴν τὴν μέλαινάν τε
ἐκ τοῦ ἀέρος δέχεται τὴν εἰσροὴν τὸ αἷμα,
ἐκ γῆς δὲ πάλιν ἡ χολὴ ἡ μέλαινα τυγχάνει,
τὸ φλέγμα δὲ τὴν σύστασιν ἐκ τῶν ὑδάτων ἔχει,
ἐκ τοῦ πυρὸς δ' αὖ ἡ χολὴ ἡ ξανθὴ συνηρτύθη·
εἰσὶ δ' ἡμῖν καὶ τέσσαρες εὐφυῶς ἡλικίαι,
ἀρχή, ἀνήβασις, ἀκμή, καὶ παρακμὴ προφόρως
παίδων, ἀνδρῶν, γερόντων τε, καὶ τῶν ἐσχατογήρων,
ὡς ἰατρῶν διδάσκουσιν οἱ παῖδες σὺν τῇ φύσει,
αὗται δ' εἰκάζονται καιροῖς τοῖς τέτταρσι τοῦ χρόνου,
εἰ θέλεις δ' εἰκονίσομεν τὴν Γραφὴν ἀριδήλως,
ἐπεὶ γοῦν ἀπεδείξαμεν τὸ αἷμα ἐξ ἀέρος,
τὸ φλέγμα δέ γ' ἐξ ὕδατος τὴν γέννησιν ὡς ἔχειν
τὴν δὲ χολὴν τὴν μέλαιναν ἐκ γῆς ξηρᾶς ὡς ἔχειν
ἐκ τοῦ πυρὸς δὲ τὴν χολὴν τὴν ξανθὴν συνηρτῆσθαι,
λαμβανομένου φλέγματος, χυμοῦ χειμῶνα νόει,
ὑγρὸς γὰρ οὗτος καὶ ψυχρός, ὡς οἱ ἐσχάτου γήρως,
χυμοῦ δὲ πάλιν αἵματι συγκιρνωμένου, ἔαρ,
ὑγρὸν γὰρ τοῦτο καὶ θερμόν, ὡς παίδων, εὐκρασία,
αἵματος δέ γε τῇ χολῇ συνηνωμένου, θέρος·
θερμὸν γὰρ τοῦτο καὶ ξηρόν, ὡς ἄνδρες ῥωμαλέοι
τῆς δὲ χολῆς γε τῇ χολῇ, φθινόπωρον τυγχάνει.
ξηρὸν γὰρ τοῦτο καὶ ψυχρόν, ὡς τὸ μεσαιπολίων·
παρέλκον ἀφηγήσασθαι ἡλικιῶν τὰς θέσεις.
τὰς ἰδιότητας αὐτῶν μεταλλαγάς, αἰτίας,
ἀλλ' εἰ δοκεῖ σοι, φράσωμεν, ὡς δύναμις, καὶ ταῦτα
καὶ δὴ κατανοήσωμεν τὴν πάντεχνον σοφίαν
τὸ μέγεθος, τὴν καλλονὴν τοῦ Θεοῦ καὶ Δεσπότου
καὶ μεταβῶμεν ἐξ αὐτῶν εἰς τὰς παθῶν αἰτίας·
γεννᾶται παῖς, καὶ νόει μοι, πόθεν ἔξεισι πρῶτον,
οὐχ, ὡς ἐκ πάλης παλαιστὴς ἱδρώτων πεπλησμένος,
ἐκ τῆς νηδύος τῆς μητρὸς οὐ κάθυγρος ἀλλ' ὕδωρ,
ἱδρὼς δ' οὐχ ὕδωρ ἄρ' ἐστίν, ἐκ θέρμης προηγμένος,

καὶ λέβης γὰρ ἐκ τῆς ἀρχῆς δέχεται ψυχρὸν ὕδωρ,
ἔσω τε μένει τὸ ψυχρὸν ἕως ψυχρὸν τυγχάνει,
ἀλλ᾽ ὁπηνίκα δέξηται τὴν θερμασίαν, τότε,
ὅρα μοι πάλιν θαυμαστὴν δύο τῶν ἐναντίων,
καὶ νίκην περιβόητον καὶ ξένην ἀριστείαν,
ὡς λαλητὴ καθίσταται καὶ χωρὶς τῶν σαλπίγγων,
κρείττονι γὰρ ὑποχωρεῖ τὸ χεῖρον καὶ μὴ θέλον,
μᾶλλον δὲ σάλπιγξ ἔνεστιν ὁ κοχλασμὸς τῇ νίκῃ
ὕδωρ μὲν σπόρον δέξαι μοι καὶ λέβητα γαστέρα,
ἀντὶ δὲ θέρμης, λάβε μοι, φύσεως ἐνεργείας,
ἐντεῦθεν ἀποδείξαντες τῶν παίδων ἡλικίαν
σαφεῖ τῷ παραδείγματι λέβητι κεχρημένοι
ἀπάρωμεν εἰς τὴν ἀνδρῶν τῷ λόγῳ καὶ τὰ ταύτης
κατίδωμεν τεράστια, ἀλλοίωσίν τε ξένην,
ὡς εὔκαιρον ἐστὶν εἰπεῖν δεξιᾶς τοῦ Ὑψίστου,
αὕτη μου ἡ ἀλλοίωσις καὶ σὺν Δαυῒδ χορεῦσαι
μνησθῆναί τε Κυρίου μου ἔργων καὶ θαυμασίων.
τίνες δ᾽ αἱ ἰδιότητες αἱ ταύτης καὶ οἱ τρόποι ;
θερμὴ τὸ πρῶτον καὶ ξηρὰ ἐν τῷ τελευταίῳ·
τὴν γὰρ ἀρχὴν λαμβάνει μοι ἐκ παίδων ἡλικίας,
ἢ συστοιχεῖ τῷ ἔαρι, τέλει χειμῶνος ὄντι,
τέλος χειμῶνος γὰρ ὑγρόν, ἀρχὴ δὲ ἦν τὸ ψῦχος,
ἐξ ἔαρος οὖν τὴν ἀρχὴν λαμβάνοντος τοῦ θέρους,
ἀνάγκη τὴν ἀρχὴν εἶναι θερμόν, ξηρὸν δ᾽ ἐν τέλει·
ἀλλ᾽, ὡς ἐν παραδείγματι, σαφὲς θήσομεν τοῦτο,
τέσσαρες εἴπομεν καιρούς, τέσσαρα τὰ στοιχεῖα,
τὰς ἡλικίας τέσσαρας, τὰ σύνθετα δ᾽ ὡσαύτως·
ἔχομεν ἄλλα τέσσαρα ἐν τῷ τοῦ μέρους μέρει,
μέρος δὲ χρόνου ἔαρ εἶ, καὶ θέρος καὶ χειμών τε,
καὶ τὸ φθινόπωρον, ἰδού, τέσσαρα ταῦτα μέρη·
τῶν καιρῶν ὄντων οὖν μερῶν, τὸ ὅλον γὰρ ὁ χρόνος,
σοὶ μέρους μέρος τι δοκεῖ ὁ νυχθήμερον χρόνος·
χρόνος γὰρ λέγεται δισσῶς ἀκαριαῖον ὅλον·
τὴν νύκτα οὖν χειμῶνα μοι καί γε τῷ θέρει νόει·
ψυχρὰ γὰρ αὕτη καὶ ὑγρά, ὡς ἔστιν ἐγνωσμέναι,
ἐξ ἐπιπνοίας αὐρικῆς, ἑωθινῆς τε δρόσου,
τοιαύτην γίνωσκε καλῶς καὶ τὴν γερόντων φύσιν·

ὅταν, ὡς γίγας, δράμῃ γε ἥλιος, καλός, μέγας,
ἄρτι φυγὼν τὴν δνοφερὰν νυκτερινὴν ἀχλύα
ὥσπερ νυμφίος ἐκ παστοῦ χαρίεντι προσώπῳ
καὶ μειδιῶσιν ὀφθαλμοῖς τοὺς θεωμένους τέρπων,
ὡς βρέφος ἄρτι τῆς γαστρὸς ἐκδὺς τῆς σκοτομήνης,
καὶ λάμψοι φῶς φανότατον ἐκ ζοφερᾶς ἀχλύος,
αὖρα δ' ὑπείκει προφανῶς, ἐμμένει δ' ἔτι δρόσος,
καὶ προσλαμβάνει σὺν αὐτῇ τὴν ἡδυτάτην θέρμην,
οὐ τοῦτο ἔαρ ἄντικρυς; οὐ παίδων ἡλικία;
ὅταν δ' εἰς μέσον πόλου στῇ, ὥσπερ ἐπὶ τρυτάνης,
τοσοῦτον ὕψος ἀνιὼν καὶ τοσαῦτα μοχθήσας,
καὶ δρόσος μὲν ἀμαλδυνθῇ παντὸς δ'αὐχμὸς καὶ καύσων
ὥσπερ ἀνὴρ φερόπονος καὶ τληπαθὴς ἐξόλως
πολλὰ μογήσας καὶ παθὼν οὔ ποτε στῇ τῶν δρόμων·
οὐ ποθεινὴ γὰρ ἄνεσις ὄντι σπουδαίῳ τούτῳ
ἐπίτασις δὲ μάλιστα μέχρις αὐτῆς ἰσχύος
προθύμως τε θερμαίνεται ξηραίνεται δὲ κόπῳ,
αὐτὸ τὸ θέρος δείκνυσιν οὐκ ἀνδρῶν ἡλικίαν;
ὅταν δὲ βάδην κάτεισιν ὡς πρὸς δυσμὰς καὶ ζόφον
ἀποβαλὼν μὲν τὸ θερμὸν ἔχων ξηρὸν δὲ μόνον,
καὶ προσλαμβάνων τὸ ψυχρόν, ὡς δὴ νυκτὶ θιγγάνων,
ἐχούσῃ μέν γε τὸ ψυχρὸν ὑγρὸν προσλαμβανούσῃ,
ὡς κεκυφώς, ἠσθενηκώς, ἐκ μόχθου γηραλέος,
μόλις ὅμως δὲ κάτεισι κατὰ πρανοῦς πεδίου
γερόντων δείκνυσι ξηρὰν ψυχράν τε ἡλικίαν·
ἀλλ' ἐπειδή περ ὁ κλεινὸς πένταθλος διηνύθη,
ἐν τούτῳ δ' ἀπεδείξαμεν ἡλικιῶν τὰς φύσεις,
καθώσπερ ὑπεσχόμεθα τὰ λοιπὰ προσθετέον
ἐπεὶ δὲ προεθέμεθα παθῶν αἰτίας φράσαι
τῶν μὲν νηδύϊ παρ' αὐτῇ τοῖς παισὶ προσφυέντων
τῶν δὲ καὶ μετὰ γέννησιν καὶ πρόοδον εἰς βίον,
ἐν ἑαυτοῖς συλλήπτορα Χριστὸν ἐνστερνισμένοι,
εἴπωμεν κατὰ δύναμιν αὐτὰ τῶν παθημάτων
ὅθεν καὶ πῶς ἐγγίνονται ἄλλα μὲν ἐν νηδύϊ,
ἄλλα δ' εἰς φάους ἀγωγήν, καὶ τὰ μὲν παραμένει
τὰ δὲ τὴν γέννεσιν ὁμοῦ καὶ διάλυσιν ἔχει,
τὰ δὲ πολὺν μεμένηκε καιρὸν τῇ παρατάσει,

εἶτα δὴ μεταβέβληται καὶ ῥεῖ χωροῦν τὰ πόρρω
ὡς μηδὲ ὄντα πρότερον ἢ τὴν ἀρχὴν φανέντα,
ἄλλοι δέ πως κολάζονται ἄλλοι δ' ἀνέτως ζῶσιν
ἄλλοι δουλεύουσιν εἰς γῆν κλίνοντες τὸν αὐχένα
ἄλλοι δ' αἰχμαλωτίζουσιν, ἄλλοι δὲ τυραννοῦσιν
ἄλλοι δ' αἰχμαλωτίζονται καὶ ἄλλοι τυραννοῦνται
οἷά τε γίνονται πολλὰ φύρδην ἐν τοῖς ἀνθρώποις,
δυνατῶς ἔχων ὁ Θεὸς παραγαγεῖν τῷ λόγῳ
ψυχὰς φύσιν ἀσώματον ἁπλῆν τὸ κατ' οὐσίαν,
καθώσπερ ὑπεστήσατο τὴν φύσιν τῶν Ἀγγέλων,
αὐτὸς γὰρ ἐστὶ τῶν ψυχῶν καὶ τῶν Ἀγγέλων κτίστης
κτίσαι τε ταύτας τῶν παθῶν ἀμιγεῖς ὡς Ἀγγέλους,
τὰ πάθη γὰρ τῶν ὑλικῶν οὐχὶ τῶν ἀσωμάτων,
εἰ μή πού τις ἐπίτασιν τὴν πρός τι πάθος λέγοι·
ὅπερ ἐστὶ καὶ δέδεικται τοῦτο κἂν τοῖς ἀΰλοις
τῶν μὲν ἐφ' ᾗ γεγένηνται τάξει μεμενηκότων
τῇ πρὸς Θεὸν ἐγγύτητι ἀεὶ τεθεουμένων
τῶν δ' ἐκκλινάντων τοῦ καλοῦ πρὸς τὸ χεῖρον ἀφρόνως
οἵπερ κτισθέντες ἀγαθοὶ πρὸς τοῦ κοινοῦ δεσπότου
παροίστρησαν, ὡς δάμαλις οἴστρῳ κατηπειγμένη,
καὶ μεῖζον ἐφαντάσθησαν τῆς ἑαυτῶν οὐσίας,
οὐχὶ κτισθέντες πονηροί, γενόμενοι δ' ὑστέρως,
οὕτως οὖν ἔχων δυνατῶς καὶ τὰς ψυχὰς ἀρτίσαι
μονοειδεῖς καὶ λογικὰς μόνον ἁπλᾶς τῇ φύσει,
οὐχ οὕτω δὴ πεποίηκεν ἀλλ' ἄλλον καινὸν τρόπον
δημιουργεῖ τὸν ἄνθρωπον μικτὸν ἐξ ἐναντίων,
ἐξ ἑαυτοῦ τὸ λογικόν, ἔμψυχον θεὶς ἀφθόνως,
ἐκ γῆς λαβὼν δὲ τὸ φθαρτὸν ἑνοῖ τὰ διεστῶτα,
ὡς ἂν ἐκ τούτου μάλιστα τὴν ἐξουσίαν δείξῃ,
ἐν ἑαυτῷ τῶν αἰσθητῶν καὶ νοητῶν ἁπάντων·
εἰ πάντα γὰρ μονοειδῆ, ἁπλᾶ κατεσκευάκει,
ἐδόκει ἂν τῶν νοητῶν μόνων Θεὸς τυγχάνειν·
ὡς καὶ νῦν παρεισάγουσι τινες τῶν ἀβελτέρων
ἄλλον Θεὸν κηρύττοντες τῶν καλῶν παροχέα,
ἄλλον δὲ πάλιν τῶν κακῶν, ἀφρόνως, ἀνοήτως,
ἀγνοοῦντες οἱ τάλανες κακὸν μὴ ὑφεστάναι
εἴτουν μή τινα σύστασιν ἔχειν ἐν ὑποστάσει·

τὴν ἐκτροπὴν γὰρ τοῦ καλοῦ δέον κακὸν γινώσκειν
ὥσπερ σκοτίαν λέγομεν τὴν φωτὸς ἀπουσίαν,
τοῦ γὰρ ἡλίου δύναντος ὕπεισεν ἡ σκοτία,
τούτου δὲ πάλιν λάμψαντος ὑπόστασιν οὐκ ἔχει,
ἅπαντα ταῦτα προειδὼς ὡς ἐννοιῶν Δεσπότης
τὰς ὑποβάθρας ἐξ αὐτῶν τῶν γείσσων ἀνεσπάκει,
ὡς εἰ καὶ κτίζει τις κακὰς ἐννοίας πλὴν εἰς ἄμμον,
ὅπως ἂν εὐδιάλυτα παντάπασι τυγχάνει,
φοραῖς ἀνέμων, ζωηροῦ πνεύματος ἀπηχήσει,
ὑδάτων ἐπικλύσεσι πηγῆς ἐξ ἀκηράτου,
εἴπατε γὰρ φρενοβλαβεῖς, ψευδόμενοι τὴν κλῆσιν,
αὐχεῖτε γὰρ ἀπὸ Χριστοῦ τὴν κλῆσιν ἔχειν μάτην
πῶς ἐξουσιαστὰς δισσούς, τὰς γνώμας ἐναντίους,
τὴν κτίσιν πᾶσαν διοικεῖν ἀφρόνως λοιδορεῖτε;
καὶ ταῦτα λέγοντος Χριστοῦ ἐν τοῖς Εὐαγγελίοις,
κυρίοις οὐδεὶς δύναται δυσὶ δουλεύειν ἅμα·
εἰ οὖν κυρίοις τίς δυσὶν οὐ δύναται δουλεύειν,
ἐναντιόφροσι Θεοῖς ἀρεστῶς τίς δουλεύσει;
ἢ θάτερον μισήσειε, τὸν δ' ἄλλον ἀγαπήσει,
καθὰ φησὶν ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις,
ἐξήλεγκται τὸ μυσαρὸν φρόνημα τῶν αἰσχίστων
καὶ προσκυνεῖται εἷς Θεὸς ἀνὰ πᾶσαν τὴν κτίσιν,
τρισὶν ἐν ὑποστάσεσιν οὐ μὴν ἀλλοθελήτοις,
ἓν γὰρ τοῖς τρισὶ θέλημα καὶ μία κυριότης·
τρεῖς ὑποστάσεις σέβομεν θεότητα δὲ μίαν,
οὐ τρεῖς Θεοὺς δὲ λέγομεν ἀλλ' ἢ τρεῖς ὑποστάσεις
ἐν μιᾷ τῇ Θεότητι, δυνάμει, ἐξουσία,
ὃς μετὰ τὴν παραγωγὴν οὐρανοῦ δὴ καὶ γῆς τε
πνοὴν πτηνοῖς ἐπέθηκεν καὶ κτήνεσιν ὁμοίως,
τὰ μὲν ἐξ ὕδατος ποιῶν τὰ δ' ἐκ τῆς γῆς, ὡς οἶδε,
πλὴν ἐν γενέσει καὶ φθορᾷ, οὐκ ἀναζῇ γὰρ αὖθις,
ἐκ τούτου δείκνυται σαφῶς ὡς αἰσθητῶν δεσπόζει·
οὐ γάρ τις ἐν τοῖς μὴ αὐτοῦ μετ' ἐξουσίας πράττει,
ἀλλ' ἴδε τὴν παραγωγήν πῶς παραδοξοτάτη,
οὐρανὸν γῆν ἐποίησε βλέπε τὴν δυναστείαν
πῶς ἐκ μὴ ὄντων ἄριστα στοιχεῖα κατειργάκει
Ἀγγέλους ὑπεστήσατο, τὴν ἐξουσίαν νόει·

ἐγὼ τοῦ θρόνου κύριος, τὸν θρόνον γὰρ εἰργάκειν
οὐ μὴν ὁμότιμος ἐμοὶ ὁ θρόνος· πῶς γὰρ τοῦτο·
πλὴν ἔντιμος τοῖς ὑπ' ἐμὲ οὐδ' αὐτὸν δὲ πάντως
ἀλλ' ἢ τὸν καθεζόμενον φρίττουσι καὶ τιμῶσι
ταῦτα τὰ πρῶτα κτίσματα εἶτα τὰ μετὰ ταῦτα
στοιχεῖα ταῦτα λέγονται· δηλοῦσι γὰρ τὴν τάξιν·
ἐκ γὰρ αὐτῶν συντέθειται ὁ ἄνθρωπος, κυρία,
τοῦ παντουργοῦ τῷ νεύματι· οὐδὲν χωρὶς γὰρ τούτου·
ὡς γὰρ εἴτις τεχνήσαιτο ναυπηγός καλὴν νῆα,
ἔνθοιτο ταύτῃ δ' ἄρμενα ἁρμόδια τῷ σκάφει,
ἔτι ἀγκυροβόλια, πηδάλια, τούς κάλως,
ἱστία, κώπας σὺν αὐτοῖς, πρὸς δὲ καὶ τὴν κεραίαν,
μιλτώσει ταύτην δ' ἔντεχνα. ὅπερ ἐστὶ πιττώσει,
κατὰ θαλάσσης δ' ὤσειε τοῦ πλέειν ἀκινδύνως,
καὶ φορτηγεῖν τὰ κάλλιστα πάντα τῶν ἀγωγίμων
αὐτὸς δ' οἴκοι καθέζοιτο φιλῶν τὴν ἡσυχίαν,
οὐκ ἄρα κύμασι πολλοῖς, σπιλάσι τε καὶ πέτραις,
σκοπέλοις καὶ ἀμπώτισι καὶ τῇ ἀναρροιβδήσει
χειμῶσιν, ὄμβροις, λαίλαψιν, οἷα πολλὰ συμβαίνει.
ἂν τύχῃ καὶ κατὰ βυθὸν ἀπίῃ σὺν τῷ φόρτῳ,
εἰ δὲ ναῦς οὐκ εὐπορεῖ πλεῖν, κυβερνήτου δίχα,
εἰς κόσμον ὅλον ἄπειρον, οὕτω καλὸν καὶ μέγαν,
εἰς νοῦν βάλλεις τὸ σύνολον ἀκυβέρνητον εἶναι;
τὰ μὲν στοιχεῖα γίνωσκε, καθάπερ τινα νῆα,
ἅπερ τὰ μὲν ἐκόμισα τὰ δ' ἔχει τὰ δὲ μέλλει,
καὶ ὡς οὐκ ἔνεστι περᾶν μῆκος πολὺ θαλάσσης,
ἄνευ νηὸς ἀκύμαντα ποντοπορούσης φόρτον,
οὐδὲ στοιχείων δυνατὸν χωρὶς ἐλθεῖν εἰς φάος,
οὕτω τοῦ Θεοῦ κρίναντος καὶ τάξαντος προνοίᾳ·
ὡς ναῦς ἀκυβέρνητος ἐγγὺς τοῦ ναυαγίου·
οὕτω καὶ κτίσις πλὴν Θεοῦ προνοίας οὐδὲν πέλει,
ἐμοὶ δὲ τοῦτο μέλημα τῶν μελημάτων μεῖζον
πῶς βουληθεὶς τὸν ἄνθρωπον ὁ Θεὸς πλαστουργῆσαι,
ζῶον τεθῆναι λαλητὸν καὶ εἰκόνι τιμῆσαι,
οὐχὶ στερρὸν εἰργάσατο οὐξ ἐξ ἑνὸς στοιχείου,
οὕτω γὰρ δυσδιάλυτος ὑπῆρχεν ἂν εἰσάπαν,
ὡς τὰ ἁπλῆς καθέστηκεν οὐσίας πεφυκότα

ἀφ' οὗ γὰρ τὸ πῦρ γέγονε, προστάξει τοῦ Δεσπότου,
οὔτε τὸ φῶς ἠμαύρωσεν οὔτ' ἔσβεσε τὸ φλέγον
ἀὴρ δ' ὡσαύτως καὶ ἡ γῆ καὶ ὕδωρ μένει πάλιν,
ἀνθρώπους δ' ἄλλους εἶδον χθές, σήμερον δ' ἄλλους βλέπω,
αὔριον δ' ἄλλους ὄψομαι καὶ ζητῶ τὴν αἰτίαν
ἑτέρων δ' ἂν ἠνώτισμαι Θεὸς φιλῶν ἀνθρώπους
πῶς μὴ πεποίηκεν αὐτοὺς ἀγήρως, ἀθανάτους,
ὡς ἀπολαύειν τῶν ἐν γῇ πάντων ἐν δαψιλείᾳ,
εἰ δ' ἐν γενέσει καὶ φθορᾷ τί κτηνῶν διαφέρει ;
εἰμὴ καὶ μᾶλλον πλείονα φέρει τὴν ἀτιμίαν·
ἐκείνων γὰρ ἄλλο φθονεῖ τὴν πάρδαλιν μοι νόει,
ἡ κάμηλος μνησικακεῖ, πλεονεκτεῖ δὲ ἄρκτος
ἁρπάζει λύκος, ἵππος δὲ μαιμᾷ ἐπὶ θηλείας,
ὁ δὲ ταὼν καινοδοξεῖ, περιστερὰ λαγνεύει,
καὶ τἄλλα δ' ἄλλοις δέδενται παθήμασι τῶν ζώων,
ἀλλ' ὅμως μετὰ τὴν φθορὰν οὐκ ἀνίστανται πάλιν,
ὡς ἂν λόγον ὑφέξουσι τῶν κακῶς πεπραγμένων·
εἰσὶ δὲ τούτοις ἄνθρωποι περιπεσόντες, οἶμαι,
εἰ μὴ βαπτίσουσιν αὐτοὺς δάκρυσι μετανοίας,
πρὸ τοῦ τὸν βίον ἐκλιπεῖν, παραδοθῶσι σκότει,
ἆρ' οὐχὶ κρεῖττον ἦν αὐτοῖς μηδόλως ἀναστῆναι,
εἴπερ ἀνάστασις αὐτοῖς πρόξενος τιμωρίας·
ἀλλά μοι τίς ἀμφότερα καλῶς διευκρινήσει,
ὡς ἐξ ἀπόπτου τὴν καλὴν λαλῶν διδασκαλίαν,
καὶ τὴν ἀλήθειαν γυμνὴν εἰσφέρειν ὧδε λέγει·
τὸν βίον στάδιον μικρὸν τουτονί, γίνωσκέ μοι,
τοὺς δ'εὐγενεῖς τε καὶ χρηστοὺς τῶν παίδων τοὺς ἀνθρώπους,
καὶ τίς γὰρ εὐγενέστερος ἀνθρώπων εὑρεθείη ;
τὴν γένεσιν ἐκ τοῦ Πατρὸς τῶν φώτων ἐσχηκότων
τὰς ἡδονὰς δὲ μάστιγας, τὸν σατὰν μονομάχον,
ὅταν οὖν πᾶσαν μηχανὴν κινήσας τὸ τοῦ λόγου
τούτους εὑρήσει κρείττονας τῶν ἑαυτοῦ μαστίγων
πρὸς τὸν Πατέρα τὸν χρηστὸν ἄκων ἐξαποστέλλει
ὁ δ' ἄσμενος δεξάμενος ἀξιοῖ κληρουχίας,
ὡς εἴτις παῖδα τὸν αὐτοῦ νικήσαντα τὴν μάχην
ἦλθες ἐκ πολεμίου προσφιλέστατόν μοι τέκνον,
ἐδόξασας γεννήτορα τὸν σοῦ ἐπὶ τῇ νίκῃ

καὶ δέχουμαι τὴν ἀμοιβὴν τῶν πόνων τὸν σὸν κλῆρον,
ὅνπερ σοι προητοίμασα πρὸ κτίσεως τοῦ κόσμου,
σὺ δ' ἤθελες τὴν βάσανον μέχρι τερμάτων εἶναι
καὶ τίς οὕτως ἐξίσχυσε τὰς μάστιγας ὑποῖσαι,
ὡς μὴ καταπεσεῖν αὐταῖς, κἂν ἦν στερρὸς ὡς λίθος,
ἀλλὰ καὶ ἄλυτον δεσμὸν ᾔρου μοι τὸν σὸν εἶναι,
καὶ τίς οὕτω φρενόληπτος ἐν φυλακῇ τυγχάνων,
ὡς μὴ πειρᾶν εἰς δύναμιν ὡς ταύτης ἀποδράσαι,
καὶ τὰ δεσμὰ κατὰ μικρὸν συντρίβειν καὶ λεπτύνειν
ὡς ἂν ἡ τούτου λέπτυνσις ᾖ τούτου σωτηρία,
ᾔρου δὲ καὶ τοῖς πάθεσιν ὅλως ἐγκαλινδεῖσθαι
καὶ τὴν εἰκόνα τοῦ Θεοῦ μολύνειν αἰσχρουργίαις,
μὴ θέλων τὴν ἀνάστασιν ὡς ἀμοιβὴν πρακτέων;
ποῦ γὰρ οὐκ ἂν ἐτράπησαν ἄνθρωποι κακουργίας,
εἴπερ μεμυσταγώγηνται ἀνάστασιν μὴ μέλλειν,
ἢ πῶς οὐκ ἦν ἀλλόκοτον πνοῇ τετιμημένον,
τοῦ παντοκράτορος Θεοῦ εἴτουν, τῇ ἐμφυσήσει,
μὴ αἰωνίως ζῆν αὐτὸν ζωῇ τῇ ἀκηράτῳ,
τὸν θάνατον οὐκ ἔγωγε θνῆσιν, ὡς πολλοί, λέγω
ἀλλὰ διαβατήριον πρὸς τὰς ἐκεῖθεν λήξεις,
οὐκ ἄλλο γάρ τι θάνατος ἢ φθορὰ τῶν προσκαίρων
ὡς δὴ πιστεύομεν καλῶς θανάτῳ τοῦ Κυρίου·
οὐκ οὖσα γὰρ ἀκήρατος πρὸ πάθους ἡ ληφθεῖσα
ὑπὸ τοῦ κτίστου σὰρξ ἡμῶν ἄφθαρτος μετὰ πάθος
κατεσκευάσθη φαίνουσα τὴν παλιγγενεσίαν
τὴν ἐκ τῆς ἀναστάσεως ἡμῖν γενησομένην,
γέννησις γὰρ ἡ σαρκικὴ τῶν συμπτωμάτων γέμει,
ἐπεὶ δὲ εἴπομεν πολλὰ περί τε τῶν στοιχείων,
ἡλικιῶν τε καὶ καιρῶν, θέσεων, καὶ συνθέτων,
εἴπωμεν κατὰ δύναμιν καὶ περὶ συμπτωμάτων,
πῶς ἄλλα μὲν ἐν τῇ γαστρί, ἄλλα μετὰ τὴν γένναν,
ἀνθρώποις συνεσκίρρωται τῶν παθῶν ἐκ προνοίας,
εἰ γὰρ ἀλλόκοτά τινα παράγονται τῷ βίῳ,
ἀλλ' οὖν καὶ ταῦτα πρόνοιαν πιστεύομεν εἰσφέρειν
τῇ παραθέσει τοῦ καλοῦ κηρύττομεν τὸ φαῦλον,
ὡς φεύγομεν τὴν μίμησιν, τῷ φόβῳ τοῦ κινδύνου,
ὥσπερ ζηλοῦμεν τὸ καλόν, συμφέρον τῇ ἐφέσει,

αὐτίκα γοῦν, εἰ τύχοιεν ἀμφοῖν ἡ συζυγία,
ὡς ἐκ θερμῆς συνθέσεως εὐκράτως συγκειμένης,
ἔχει δὲ τὴν ὑγρότητα ἀνάλογον τῇ θέρμῃ,
τούτοις τὰ σώματα καλά, ὡραῖα καὶ εὐμήκη,
εἰ θέρμη δὲ πλεονεκτεῖ, μειονεκτεῖ δ' ὑγρότης
αἱ ψυχαὶ τούτων σταθεραί, βρίθουσαι τῇ συνέσει·
εἰ θέρμη δὲ μειονεκτεῖ, πλεονεκτεῖ δ' ὑγρότης,
ἐξίτηλοι πεφύκασιν οὗτοι καὶ παρειμένοι,
παλμούς τε δέχονται συχνοὺς καὶ μελῶν σηπεδόνας,
μὴ δυναμένης οὖν καλῶς τῆς φύσεως μορφῶσαι
τὸ κύημα, παράγεται πρὸς ἀλλοκότους θέας,
ἔστι δὲ τοῦτο νοσερὸν τέρας λελωβημένον,
ἀδύνατον, ἠσθενηκός, καί τινος λελειμμένον
τῶν ἁρμοδίων ὀφθαλμῶν, ἴσως χειρῶν, δακτύλων,
ἢ καὶ λοξὸν βλέπον, μωρὸν καὶ παρατετραμμένον
ὑπερβολὴν καὶ ἔλλειψιν δεχόμενον πολλάκις,
οἷς δὲ ξηρά τε καὶ θερμὴ τυγχάνει συνουσία,
τῆς ὑγρανίας παντελῶς ἔρωτι φλογωθείσης,
φρενόληπτόν τε καὶ ξηρὸν τὸ κύημα τυγχάνει,
εἰ γὰρ ἐγκωμιάζομεν τὴν ἀνδρῶν ἡλικίαν,
οὖσαν θερμήν τε καὶ ξηράν, ἀλλ' οὖν τῇ συμμετρία,
ἐπείτοιγε θαυμάζομεν καὶ τὸν ἀ δρεῖον ἄνδρα,
ἀλλὰ τὸν θράσους γέμοντα μυκτηρίζομεν πάλιν,
ὡσαύτως δὲ καὶ τὸν δειλόν, καλὴ δ' ἡ συμμετρία,
ὁ μὲν γὰρ τῷ δωρήματι κέχρηται συμφερόντως
οἰκονομῶν τὸν πόλεμον ὁπηνίκα καὶ δέοι,
τὸν δ' ἔβλαψε τὸ δώρημα μὴ χρώμενον φρονίμως,
ἀλλὰ πηδῶν τ' αὐτόβουλον πρὸς πόλεμον ἀφρόνως
καὶ πίπτοντα καὶ τοῖς ἐχθροῖς γελώμενον, ὡς θέμις,
οὕτως οὖν παρεστήσαμεν ὅσα περ ἐν νηδύϊ
τούτων δὲ γίνονται πολλά, ὡς ἐξ ἀβελτηρίας,
καὶ μέθης δὲ κατέβλαψε τὸν σπόρον ἀκρασία,
ἐντεῦθεν γίνονται πολλὰ τέρατα καὶ νοσώδη,
ἀλλ' ὅμως ἔλεγχος εἰσὶν ἀκολασίας ταῦτα,
ἐγρηγορότως πείθοντα χωρεῖν πρὸς συνουσίαν,
ὅθεν καὶ τούτων προφανῶς γονεῖς αἰτιατέον,
μιγνυμένους ταῖς γυναιξὶν οὔσαις ἐν ταῖς ἐμμήνοις·

σημεῖον ὅθεν τίκτεται τούτοις ἀκολασίας,
ἐρωτιῶντες δ' ἕτεροι χρῶνται τῇ συνουσίᾳ,
τοῖς δ' ἐκκαυσοῦται τὸ ὑγρὸν ἄκρᾳ φιληδονίᾳ
καὶ γίνεται κατὰ ξηρὸν εἰκότως τὸ παιδίον,
εἰς ἔλεγχον ἀρίδηλον πατέρων ἀκρασίας·
γεννᾷ καὶ πίθηξ πίθημα, αἰθίοπα δ' αἰθίοψ,
καὶ φαλακροὶ δὲ φαλακρῶν, καὶ νοσωδῶν νοσώδεις,
τῶν παίδων γίνονται πολλοί, καὶ τοῦτο τῶν πατέρων,
ἀλλ' ὅμως πολλὰ κάλλιστα ἐστὶν εὑρεῖν ἐκ τούτων,
ἄνθρωποί τε παιδεύονται μὴ ζῆν ἐν ἀσωτίᾳ
ὡς μήτοι αὐτὰ τέκωσιν ὀνείδη τῷ σφῶν γένει,
ταῖς ἄλλων παιδευόμενοι κακίσταις τιμωρίαις,
αὐτοὶ δ' αὐτοῖς διδάσκαλοι γίνονται τῶν βελτίστων
πρὸς ἀρετήν τ' ἐπίδοσιν δέχονται τὴν μεγίστην,
σοφίας τ' ἐπιμέλλονται καὶ τοῦ σώφρονος βίου,
ὅπως ἂν μὴ παντάπασιν ἄχρηστοι καθορῶνται
εἰδυῖα γὰρ ἡ πάνσοφος πρόνοια τοῦ δεσπότου,
καὶ πρὶν γενέσεως αὐτῶν ἑκάστου τὸ συμφέρον
οὕτως αὐτοὺς παραχωρεῖ γίνεσθαι καθεκάστην·
οὐ μὴν τοὺς πάντας, καὶ γὰρ ἦν ἐξίτηλον τὸ γένος·
καὶ τούτοις μὲν ἡ συμφορὰ γίνεται σωτηρία
ἐκείνους δ' αὖ συνήνεγκεν εἴργουσα τῶν χειρίστων,
ἔμελλον γὰρ λῃσταί τινες καὶ φονεῖς γεγονέναι,
οὐ μὴν ἀνέγκλητοι γονεῖς οἱ τούτων σῳζομένων,
ἀρρήτοις κρίμασι Θεοῦ ἢ κακῶν εἰργομένων·
καὶ ταῦτα μὲν πεφύκασι τἀντῇ νηδύϊ πάθη,
ἐγὼ δ' ἐπαίρων ἀξιῶ τὸν τῶν Ἑβραίων νόμον,
κελεύοντα λιθάζεσθαι τοῦ λωβοῦ τὸν πατέρα,
τὸν καθαρμὸν τῆς γυναικὸς μὴ μείνας τ' ἀκρασίᾳ,
ὁ τῶν Λακώνων εὔβουλος ἔμοι γε νομοθέτης,
μηδὲ ταῖς γυναιξὶν ἀργεῖν συγχωρῶν τὸ παράπαν,
ὡς ἂν ἐρρωμενέστερα τίκτωνται καὶ τὰ βρέφη·
τὰ δὲ καὶ μετὰ γέννησιν καὶ ταῦτα συμφερόντως
ὁ μὲν μέλλων ὁρᾶν, κακῶς τοῦ βλέπειν ἐστερήθη,
ὁ δὲ δοῦλος ἐγένετο· κακὸς γὰρ εἰ δεσπότης·
ὁ δὲ πένης· ὁ πλοῦτος γὰρ οὐ συνηνέγκει (1) τούτῳ·

(1) Ἴσως: συνενέγκοι.

ἐχρήσατο γὰρ εἰς κακὸν ἂν εἶχεν ἴσως τοῦτον,
ὁ δὲ μέλλων ἐξαπατᾶν, τοῦ λαλεῖν ἐστερήθη
ἄλλος πρὸς φόνον ἕτοιμος, τὴν δεξιὰν αὐάνθη,
καὶ τούτοις τὰ παθήματα ἰάματα τυγχάνει,
ἀλλ' ἴδε ἀγαθότητα καί γε φιλανθρωπίαν,
τὸν ἄνθρωπον, ὃν ἔπλασεν, ὁ Θεὸς ἐλεήσας
θνητὰ αὐτοῦ καὶ τὰ δεσμὰ πεποίηκε πανσόφως,
λύσιν κακῶν τὸν θάνατον δοὺς καὶ ἐλευθερίαν.

Τὸν δὲ περὶ τῶν ἐκτρωμάτων λόγον διατὶ τὰ μὲν νεκρὰ γεννῶνται τὰ δὲ μίαν ἡμέραν ζῶσιν ἢ καὶ δύο τῇ ἀνεφίκτῳ τοῦ Θεοῦ δικαίᾳ προνοίᾳ καταληπτέον

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ψυχή. Ὁ σατανᾶς δὲ πῶς φοιτᾷ εἰς τὴν ἡμῶν καρδίαν;
καὶ πῶς ἐνσπείρει ἐν αὐτῇ ἀπρεπεῖς ἐνθυμήσεις,
αἰσχράς, βεβήλους, ἐναγεῖς καὶ πονηρὰς ἐννοίας;
καὶ τί ἄν τις καὶ δράσειεν ὡς ταύτας ἀποτρέπῃ;
ἂν δέ γε τοῦτ' ἀμήχανον τέως γινώσκειν ταύτας,
τὸ οἷαι μὲν ἀπὸ Θεοῦ ποῖαι δὲ ἐκ δαιμόνων,
ἵνα ἀνθίσταται ποσῶς ὡς δύναμις πρὸς ταύτας,
καὶ ἐκδιώκῃ πόρρωθεν αὐτὰς ὡς θανασίμους,
καὶ ἐκκαθάρῃ ἑαυτὸν ἐκ τῶν αἰσχίστων τούτων,
ὡς οἶκος καὶ γενήσεται Τριάδος τῆς ἁγίας,
καὶ ἐνοικήσῃ εἰς αὐτὸν ὡς ἔντιμον δοχεῖον,
σὺν τῷ Πατρὶ καὶ Πνεύματι ὁ Υἱός τε καὶ Λόγος·
καὶ πῶς δὴ συνεχώρησε τοῦτο Θεὸς γενέσθαι;
καὶ εἴασε τὸν κάκιστον πολεμεῖν τοὺς ἀνθρώπους;

Σάρξ. Ἀρχῆθεν πλάσας ὁ Θεὸς τὸν ἄνθρωπον ἐκ γαίης,
ψυχὴν ἐνέπνευσεν αὐτῷ τὴν λογικὴν καὶ θείαν
καὶ βασιλέα ἔδειξε τῶν ἐπιγείων πάντων·
ὁρῶν δ' ὁ κάκιστος ἐχθρός, ὁ ἀποστάτης δαίμων,
τὴν τούτου δόξαν καὶ τιμήν, τὸ οἷα καὶ πηλίκη,
ἐφθόνησεν ὁ δόλιος τὸ μέγεθος τῆς δόξης
καὶ θᾶττον σκέπτεται κακῶς ἐξῶσαι τοῦτον ταύτης,
ὡς ἑαυτὸν ἐξ οὐρανοῦ ἐκ τῆς Ἐδὲμ ἐκεῖνον·
ἡ πρόνοια δ' ἡ τοῦ Θεοῦ εἰδυῖα γοῦν τὸ μέλλον,
καὶ τὸ ἐσόμενον αὐτὸ ἐπιτεχνᾶται τοῦτο,

καὶ πρὸς ἀντιπαράταξιν καὶ πόλεμον καὶ μάχην,
καὶ πονηρίαν τοῦ ἐχθροῦ ὁπλίζει καὶ ἐνδύει
τὴν τοῦ ἀνθρώπου δὴ ψυχὴν μήπως γυμνὴν εὑρίσκων
καὶ ἄοπλον ὁ ἐναγὴς ὀλέσειεν αὐτίκα·
ὥπλισεν ὅπλοις δυνατοῖς ταύτην δυσὶ μεγάλοις,
ἐκ τῆς ἀλόγου φύσεως τῇ λογικῇ συνάψας,
ἐπιθυμίαν καὶ θυμὸν πρὸς βοήθειαν ταύτης,
καὶ ἄμυναν τοῦ πονηροῦ καὶ καθαίρεσιν τούτου.
τοῦ ἔχειν ταῦτα συνεργὰ πρὸς πᾶσαν καλὴν πρᾶξιν,
ἣν ἀγαπᾷ ἐργάζεσθαι πρὸς θεραπείαν τούτου
καὶ εὐαρέστησιν αὐτοῦ τοῦ Θεοῦ δηλονότι.
τὰ δύο ταῦτα, δέσποινα, τυγχάνουσι μητέρες
τῶν ἀρετῶν ἢ κακιῶν οὐχ' ἁπασῶν, ἀλλά γε
τῶν φυομένων παρ' αὐτῶν, οὐ μὴν τοῦ λογικοῦ γε,
τὸ δέ γε *πῶς* καὶ *διατί*, ὡς προϊὼν ὁ λόγος
δηλώσει σοι σαφέστατα. λοιπόν μοι πρόσχες ὧδε·
τὸ μὲν ἐπιθυμητικὸν κέκτηται τὴν ἀγάπην
καὶ δι' αὐτῆς πρὸς οὐρανὸν ἐπαιρόμεθα ἄνω
καὶ σπεύδομεν, ὡς ἐφικτόν, Ἀγγέλοις ὁμοιοῦσθαι
καὶ συναφθῆναι, ὡς ἐνόν, τῇ θείᾳ φύσει πάντες·
τὸ δέ γε πάλιν θυμικὸν κέκτηται τὴν ἀνδρείαν
ὡς δι' αὐτῆς καὶ παίωμεν τὸν διάβολον τάχα
ἀλλ' εἴπωμεν καὶ τροπικῶς εἰς θεωρίαν ἄλλην·
τὰ δύο ταῦτα τοιγαροῦν θυμός, ἐπιθυμία
τυγχάνει δῆθεν ὁ καλὸς σῖτος καὶ σπόρος πάντως,
ὃν ἐν τῇ χώρᾳ ἔσπειρεν εἰς τὴν ἡμῶν καρδίαν,
ὁ κτίστης, ὁ δημιουργός, ὁ καλὸς γεωπόνος,
ὑπνώττοντες δ' οἱ ἄνθρωποι, ὅτε Ἀδὰμ καὶ Εὔα ;
ὕπνόν μοι νόησον αὐτῶν τὰ τρία πάθη ταῦτα,
ἀπροσεξίαν, λήθην τε, καὶ τὴν ἀναισθησίαν,
ἐνέσπειρε καὶ ὁ ἐχθρὸς ἐν τῷ τροφίμῳ σίτῳ,
τὰ ἄχρηστα ζιζάνια ἐν μέσῳ δὴ τοῦ σπόρου,
τὰ πάθη τὰ ὀλέθρια, τὴν ἐσφαλμένην κρίσιν,
καὶ ὑποκύψας ταῖς ὁρμαῖς τῶν ἡδονῶν ἀλόγως,
τὸ τῆς ψυχῆς ἀδούλωτον φρόνημα, ὦ κυρία,
τῷ τῆς σαρκὸς ἐδούλωσε κακῶς καὶ παρὰ φύσιν·
καὶ βέβρωκεν, ὃ βέβρωκεν, εἴτι καὶ ἦν τὸ ξύλον,

ἐξ ἐπηρείας ὄφεως καὶ φθόνῳ διαβόλου,
φθαρτὸς γενόμενος αὐτὸς ὁμοίως καὶ ἡ κτίσις,
ἤτοι τὰ τέσσαρα αὐτὰ στοιχεῖα τὰ μεγάλα
καὶ γὰρ οὐκ ἐνεδέχετο φθαρτοῦ τοῦ δαιτυμόνος
ὄντος τὸ ἐνδιαίτημα ἄφθαρτον διαμένειν
ἀλλὰ τοιοῦτον καὶ αὐτό, οἷος καὶ ὁ δεσπότης,
καὶ οἷος μὲν ὁ ἔποικος καὶ τὸ οἴκημα τοῖον,
καὶ τὸ καλὸν τῆς φύσεως ἐπεσκοτίσθη, φεῦ μοι,
καὶ τἆλλα πάντα τὴν αὐτὴν τροπὴν ὑλομανοῦντα
τοὺς χείρονας ἐξήνθησαν βλαστοὺς ἀντὶ κρειττόνων,
ὡς συμφυέντα ἐν αὐτῇ διὰ χλεύης τοῦ πλάνου,
καὶ οἱ βλαστοὶ ἀνέδραμον πρὸς τὸ κτηνῶδες θᾶττον,
ὡς γίνεσθαι τὰ φυσικὰ ἔκτοτε παρὰ φύσιν,
καὶ αὔξεται ἀμφότερα καὶ συναναβλαστάνει
καὶ τὰ καλὰ καὶ τὰ κακὰ σπέρματα ἐν τῷ ἅμα,
ἄχρι τοῦ τέλους τῶν καιρῶν τῆς συντελείας, λέγω,
καὶ εἴασεν ὁ γεωργὸς τὰ νόθα τῶν σπερμάτων,
ἃ ὁ ἐχθρὸς ἐνέσπειρεν ἐν τῷ τροφίμῳ σίτῳ
οὐχ ὡς ἀεὶ κατακρατεῖν τῶν κρειττόνων σπερμάτων,
ἀλλ' ὡς αὐτὴν τὴν ἄρουραν, οὕτω γὰρ τὴν καρδίαν
κατονομάζει τροπικῶς διὰ τῆς ἐγκειμένης
ἐν ἑαυτῇ δυνάμεως φυσικῆς, ἥτις ἔστιν,
τὸ λογικὸν τὸ τῆς ψυχῆς τὸ εἰσδεσπόζον τούτων,
τὸν μὲν ξηραίνειν τῶν βλαστῶν τὸν δὲ κάρπιμον δεῖξαι,
ἂν δὲ μὴ τοῦτο γένηται τῷ πυρὶ τῆς γεέννης,
ὁρίζει τὴν διάκρισιν τῆς γεωργίας πάσης,
τὸ γοῦν διανοητικὸν καὶ λογικόν, κυρία,
ἄμικτον πῶς ἐστὶν αὐτὸ καὶ ἰδιάζον τούτων
ἐπιθυμίας καὶ θυμοῦ εἰκὼν Θεοῦ ὑπάρχον,
ἐκ τούτου οὖν ἡ φρόνησις καὶ ἡ δικαιοσύνη
τὴν γέννησιν πῶς ἔχουσι καὶ διὰ τούτων κρίνει,
ἐκ τῶν καλῶν τὰ μὴ καλὰ κἀκτῶν κακῶν τὰ κρείττω,
ἡ κρίσις τούτου ἡ ὀρθὴ διάκρισις καλεῖται
καὶ ἄνευ διακρίσεως ἔωλος πᾶσα πρᾶξις
καὶ ὅσα ἁμαρτήματα τοῦ λογικοῦ τυγχάνει
μειζόνως καὶ κολάζονται ὑπὸ τοῦ θείου νόμου
ἐλάττω δέγε τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας·

τὴν σωφροσύνην δὲ γεννᾷ ἐπιθυμία· αὖθις
δὲ τὴν ἀνδρείαν ὁ θυμός, τὰς τέσσαράς γε ταύτας
γενικωτάτας ἀρετάς, κατὰ φύσιν γὰρ αὗται.
ταύταις ἀντίκεινται κακῶς ταῖς ἀρεταῖς ἐγγύθεν
ὀκτὼ κακίαι τοῦ ἐχθροῦ μιᾷ ἑκάστῃ δύο·
ἡ μία καθ' ὑπερβολήν· κατ' ἔλλειψιν δ' ἡ ἄλλη,
τοῦ μέντοι γε λογιστικοῦ, τοιῶσδε τῇ φρονήσει
ἡ πανουργία ἄνωθεν, κάτωθεν ἀφροσύνη,
ὁμοίως δὲ παρέπονται καὶ τῇ δικαιοσύνῃ,
πλεονεξία ἄνωθεν, καὶ ἀνισότης κάτω,
ὡσαύτως καὶ τοῦ θυμικοῦ τῇ ἀνδρίᾳ καὶ ταύτῃ
πέλει, θρασύτης ἄνωθεν, δειλία κάτω αὖθις,
τοῦ δέ γε ἐπιθυμητικοῦ πάλιν τῇ σωφροσύνῃ,
ἀκολασία ἄνωθεν, ἠλιθιότης κάτω·
ὅσα κινήματα ψυχῆς καλά τε καὶ μὴ οὕτως
ἐν τῇ καρδίᾳ φύονται ἐμπαθῶς ἢ καὶ ἄλλως
τοῦ λογισμοῦ καθίσταται ἢ καλῶς ἢ ἑτέρως,
τὸ κρίνειν καὶ λογίζεσθαι τὰ τοιαῦτα ὡς θέλει,
ἤτοι δειλίαν, θράσος τε, φόβον καὶ φθόνον, λύπην,
ἐπιθυμίαν καὶ θυμὸν καὶ ἡδονὰς καὶ τἄλλα·
τοιοῦτον εἴτι καὶ ἔστι τῶν ψυχῆς κινημάτων,
τῆς προαιρέσεως αὐτῆς, ἡ ποιὰ τούτων χρῆσις
καὶ ἡ διάκρισις· πρὸς δὲ τοῦ συνειδότος μᾶλλον,
πρὸς τὸ καλὸν ἢ τὸ κακὸν τὴν ἔκβασίν πως ἄγει,
οὔτ' ἐπαινετὴ ἢ ψεκτὴ ἡ ὕλη τῶν τοιούτων,
ἀλλ' οὖν ἡ γνώμη τῶν καλῶς ἢ κακῶς γε χρωμένων,
καθ' ἑαυτὰ οὔτ' ἀρετὴν οὔτε κακίαν, λέγω,
ἂν πρὸς τὸ χεῖρον ἡ ῥοπὴ γένηται τῶν τοιούτων,
τῷ τότε, πάθη γίνονται ταὐτὶ καὶ λέγονταί γε,
ἂν δέ γε πρὸς τὸ βέλτιον, ἐπαινεῖται ἡ ὕλη,
καὶ γίνονταί γε ἀρεταὶ δεξιαί τε καὶ φίλαι,
καὶ ἐξορίζονται καλῶς τὰ παρὰ φύσιν πάθη,
ὡς ἤδη καὶ προεῖπόν σοι ἐν τῷ δευτέρῳ λόγῳ,
εἰς τό γε τρισκαιδέκατον κεφάλαιον ἐκείνου,
καθώσπερ γὰρ ὁ σίδηρος τυπούμενος τῇ γνώμῃ
τοῦ τεχνιτεύοντος αὐτὸν πρὸς ὅπερ ἂν ἐθέλῃ
καὶ νεύσῃ ἡ ἐνθύμησις, τοιγάρ τοι τοῦ τεχνίτου,

πρὸς τοῦτο σχηματίζεται ὑπείκων τῷ τεχνίτῃ,
ἢ ξίφος τι πολέμιον πρὸς σφαγὰς τῶν βαρβάρων
ἢ πάλιν τι γεωργικὸν γίνεται ἐργαλεῖον·
οὕτω μοι νόει καὶ τὸν νοῦν ἐπὶ τὰς ἐνθυμήσεις
ἄγει καὶ φέρει τὰς αὐτάς, ὡς βούλεται καὶ θέλει,
καὶ τοῦτο δῆλον πέφυκεν ἐκ πάντων τῶν ἀρχαίων
τῶν Ἀσκητῶν καὶ Μοναχῶν τῶν ἀγωνιζομένων,
τὰ πάθη πῶς ὑπέταξαν τὰ παρὰ φύσιν πάντα,
ἅπερ βλαστάνει τῆς ψυχῆς τὸ τριμερές, κυρία,
ὅτι ἐχρῶντο ἅπαντα δεόντως τἀναντία,
λοιπὸν ἀπαριθμήσω σοι ὀλίγα ἄττα τούτων·
εἰσὶ μὲν τοῦ λογιστικοῦ ἁμαρτήματα τάδε·
ἡ ἀπιστία, δέσποινα, ἡ αἵρεσις ὁμοίως,
ἡ ἀφροσύνη σὺν αὐταῖς ἡ ἀδιακρισία,
ἡ βλασφημία ἅμα τε καὶ αἱ συγκαταθέσεις,
ἀλλ' ὅρα καὶ τὴν ἴασιν τούτων καὶ θεραπείαν
ἡ πίστις ἡ ἀδίστακτος ἡ πρὸς Θεόν, ὡς οἶδας,
τὰ δόγματα τὰ ἀληθῆ, ἡ συνεχὴς μελέτη
λογίων τῶν τοῦ Πνεύματος, προσευχὴ καθαρά τε,
πρὸς τούτοις ἀδιάλειπτος εὐχαριστία μᾶλλον.
Εἰσὶ δὲ καὶ τοῦ θυμικοῦ ἁμαρτήματα αὖθις·
τὸ μίσος, τὸ ἀσυμπαθές, πρὸς δὲ ἡ ἀσπλαγχνία,
ὁ φθόνος, τὸ μνησικακεῖν, ἡ μῆνις σὺν τῷ κότῳ,
ἰῶνται ταῦτα εὐχερῶς ὑπὸ τῶν ἐναντίων·
τὰ ἐναντία πέφυκε τοῖς ἐναντίοις ἄκος,
τῇ συνεργίᾳ τοῦ Θεοῦ καὶ βοηθείᾳ τούτου,
ὑπὸ φιλανθρωπίας μὲν καὶ τῆς φιλαδελφίας,
καὶ συμπαθείας τοιγαροῦν καὶ ἀνεξικακίας,
καὶ τῆς χρηστότητος αὐτῆς καὶ τῆς ἀγάπης μᾶλλον,
τὸ δέ γε ποῖον, ποίου δή, ἀναίρεσις τυγχάνει;
οἱ εὖ φρονοῦντες ἴσασι· καὶ ὁ νοῶν νοείτω·
τοῦ δ' αὖ ἐπιθυμητικοῦ γεννήματ' αὖθις τάδε·
γαστριμαργία ἡ μαινάς, καὶ σὺν αὐτῇ πορνεία
ἀκαθαρσία κάκιστον, ἀσέλγεια ὡσαύτως,
ἐπιθυμία δόξης τε καὶ φιλοχρηματία
ἀλλ' ἀναιροῦνται καὶ ταυτὶ ὑπὸ τῶν τούτοις αὖθις,
ἀντιμαχούντων καθὼς χρή, ἃ ἵνα εἶεν ταῦτα·

ἐγκράτεια, νηστεία τε, κακοπάθεια, πόνος,
ὁ τῶν χρημάτων σκορπισμὸς καὶ ἡ ἀκτημοσύνη
τῶν ἀθανάτων ἔφεσις πρὸς δὲ καὶ βασιλείας
τῆς τοῦ Θεοῦ καὶ ὄρεξις ἡ τῆς υἱοθεσίας,
τὸ δέ γε ποῖον, ποίου δή, ἀναίρεσις, γινώσκεις·
πρὸς τούτοις δὲ καὶ τοὺς ἐκ τῶν λογισμῶν τῆς κακίας
πρὸς τούτων οἶδα φύεσθαι θυμοῦ κ' ἐπιθυμίας.
ὁ πρῶτος τούτων πέφυκεν ὁ τῆς γαστριμαργίας·
πρὸς τούτῳ καὶ ὁ δεύτερος ὁ τῆς πορνείας, οἴμοι,
σὺν τούτοις τρίτος ἔνεστιν ὁ τῆς φιλαργυρίας·
ὁ δέ γε τούτων τέταρτος ὁ τῆς ὀργῆς καὶ αὖθις·
τῆς λύπης πέμπτος πέφυκεν, τῆς ἀκηδίας ἕκτος·
πρὸς τούτοις οὖν ὁ ἕβδομος, ὁ τῆς κενοδοξίας,
ὁ δ' ὄγδοος καὶ ὕστατος τῆς ὑπερηφανίας,
τούτων δ' ὁποῖοι μὲν θυμοῦ καὶ αὖ ἐπιθυμίας
πρὸς δὲ καὶ τοῦ λογιστικοῦ τοῦ κατάρχοντος τούτων.
μαθεῖν, εἴγε θελήσειας, πρόσχες ὧδε καὶ εἴσῃ·
ἐπιθυμία μὲν γεννᾷ τὸν τῆς γαστριμαργίας
καὶ τῆς πορνείας ἐν ταὐτῷ καὶ τῆς φιλαργυρίας
κενοδοξίας, λύπης τε, τοὺς πέντε τούτους (λογισμούς), φεῦ μοι,
τοῦ θυμικοῦ γεννήματα, οἶμαι, οἱ τρεῖς γε οὗτοι,
ὁ τῆς ὀργῆς καὶ λύπης τε καὶ ὁ τῆς ἀκηδίας,
ἀλλὰ διπλῆν τὴν γέννησιν ὁ λογισμὸς τῆς λύπης
ἐξ ἀμφοτέρων τῶν μερῶν ἔχει τὰς ὕλας οὗτος,
ἐκ τοῦ θυμοῦ ὁ κάκιστος καὶ τῆς ἐπιθυμίας
πῇ μὲν ὡς ἀπὸ τοῦ θυμοῦ, πῇ δὲ ἐξ ἐπιθυμίας
ἡ ἀτονία τοῦ θυμοῦ πρὸς τοὺς λελυπηκότας
λύπην γεννᾷ μὴ σθένουσα τούτοις ἀντιλυπῆσαι,
ἡ δέ γε στέρησις αὐτὴ ἡ τῶν καταθυμίων
τὴν σκυθρωπὴν διάθεσιν ποιεῖ τῇ διανοίᾳ
ὡς λύπην θᾶττον γίνεσθαι τῆς ἡδονῆς οὐκ οὔσης
ἐπιθυμίας καὶ θυμοῦ τὸ ἀποτέλεσμά γε
τὴν ἡδονὴν ἐργάζεται ἐξ ἀμφοτέρων τούτων
ὡς μὲν ἐπιτυγχάνοντα λύπην καὶ ἄχθος (α) εἶναι,
ἀγαθὸν προσδοκώμενον τίκτει ἐπιθυμίαν

(α) Ἐν ἄλλοις : ἄγχος εἶναι.

παρὸν δέ, αὖθις ἡδονήν, ἥτις χαρὰ καλεῖται
κακὸν δὲ προσδοκώμενον φόβον, παρὸν δὲ λύπην,
διὸ τινὲς εἰς τέσσαρα τὸ πάθος διαιροῦσιν
ἐπιθυμίαν, ἡδονὴν καὶ αὖ φόβον καὶ λύπην
τῆς ὑπερηφανίας δὲ καὶ τῆς κενοδοξίας,
δυοῖν χειρόνων τουτωνὶ καὶ μείζω τὴν κακίαν
δοκῶ ἐκ τοῦ λογιστικοῦ τὴν γένεσιν ὡς ἔχειν
καὶ δι' αὐτῶν πεπτώκασιν τινὲς ἐκ τῶν Ἀγγέλων·
ἐκτὸς γὰρ πάντες Ἄγγελοι θυμοῦ κ' ἀπιθυμίας
ἐκ τῆς ἀλόγου φύσεως εἴπερ οὐδὲν ἐν τούτοις
ἀλλὰ διπλῆν τὴν γέννησιν ὁρῶ τοῦ πάθους τούτου,
τῆς δόξης λέγω τῆς κενῆς πάντων κακῶν τῆς ῥίζης,
ὡς ἀπὸ τοῦ λογιστικοῦ καὶ τῆς ἐπιθυμίας,
ἀπὸ δὲ τούτων τῶν ὀκτὼ περιεκτικωτάτων
ἀποτελεῖται ἅπασα ἁμαρτία καὶ πάθος·
ἀλλ' ἔχουσι πολέμια ἐναντία καὶ οὗτοι
καὶ ἀναιροῦνται ὑπ' αὐτῶν, ὡς πάγος ὑπὸ θέρμης,
ὑπ' ἐγκρατείας τοιγαροῦν πρὸς δέ γε καὶ νηστείας
γαστριμαργία ἥττηται, ἡ ἀναιδὴς μαινάς τε,
ὑπὸ τοῦ θείου πόθου τε καί γε τῆς τῶν μελλόντων.
ἐπιθυμίας ἀγαθῶν καὶ φόβου τῆς Γεέννης,
νηστείας, ἀγρυπνίας τε, καὶ προσευχῆς ἀπαύστου,
ἡ πύρωσις ἡ σαρκική, τουτέστιν ἡ πορνεία·
ὑπὸ τῆς συμπαθείας δ' αὖ τῆς ἐλεημοσύνης,
ὡς οὔσης μεταδοτικῆς καὶ αὐτῆς τῆς ἀγάπης,
ὡσαύτως καὶ τῆς πίστεως καί γε τῆς ξενητείας,
φιλαργυρία ὄλλυται τὸ τέκνον ἀπιστίας
ὀργὴ ὑπ' ἀγαθότητος, πραότητος, ἀγάπης,
καὶ τῆς χρηστότητος αὐτῆς, καὶ τῆς φιλανθρωπίας
ὑπὸ χαρᾶς πνευματικῆς ἡ κατὰ κόσμον λύπη,
πρὸς δὲ καταφρονήσεως τῶν ἡδονῶν τοῦ κόσμου,
ὑπ' ἐργασίας δὲ κρυπτῆς τῶν ἀρετῶν, ὡς θέμις,
ψυχῆς τε ταπεινώσεως κενοδοξία τάχος
ὑπὸ τοῦ μὴ ἐξουθενεῖν τινὰ καὶ κατακρίνειν,
ὡς ὁ μεγάλαυχος ποτὲ Φαρισαῖος ἐκεῖνος,
ἀλλ' οὖν ἡγεῖσθαι ἔσχατον σαυτὸν παντὸς ἀνθρώπου
καὶ ἐπιγράφειν τῷ Θεῷ, κἂν εἴτι κατορθώσῃς,

ἡ τοῦ Θεοῦ ἀρνήτρια, ἡ ὑπερηφανία,
ὅστις ἐθέλει τοῖς ὀκτὼ μάχεσθαι καὶ παλαίειν,
οἷς ἀπηριθμησάμεθα καὶ τρέπειν κατὰ κράτος,
ἰδοὺ δεδήλωκα αὐτῷ ὧδε τὴν ἧτταν τούτων
ἄλλως γάρ πως οὐ δύναται μονομαχεῖν πρὸς τούτοις,
ἀλλ' ὁ νικήσας μὲν τοὺς τρεῖς καὶ τοὺς πέντε καθεῖλε,
τὸν πρῶτον, δέσποινα, φημί, τὸν ἕβδομον καὶ τρίτον
δι' ὧν ἐπείρασε ποτὲ καὶ τὸν Χριστόν μου οὗτος,
ὁ ἀντικείμενος Σατὰν ὁ ἀποστάτης δράκων,
οὗτοι γὰρ τούτου πέλουσιν οἱ πρῶτοι μονομάχοι,
καὶ τῇ κακίᾳ προὔχοντες ὑπὲρ τοὺς ἄλλους πέντε,
μήτηρ δὲ τούτων τῶν τριῶν ἡ φιλαυτία πέλει,
ταύτης δὲ μήτηρ καὶ τροφὸς ἐστὶν ἐπιθυμία,
καθώσπερ καί τις εἴρηκεν τῶν πρακτικῶν γερόντων
τὴν σαρκικὴν ἀνάπαυσιν καὶ τὴν κενοδοξίαν
οἱ τρεῖς καὶ πρῶτοι τῶν ὀκτὼ τοῖς ὑποτασσομένοις
τοῖς δέ γε ἡσυχάζουσιν, οἱ πέντε πολεμοῦσιν,
ὁ μὲν τοὺς τρεῖς καταβαλὼν συγκαθεῖλε τοὺς πέντε,
ὁ δέ γ' ἐκείνων ἀμελῶν οὐδ' ἕτερον νικήσει,
τὰ δ' ἀπὸ τούτων τῶν ὀκτὼ κυϊσκόμενα πάθη.
τίς ἂν ἐξαριθμήσειεν ἄπειρα καὶ ποικίλα,
ὡς ὑπὲρ ἄμμον θαλασσῶν καὶ οὐρανοῦ τὰ ἄστρα
τυγχάνει τούτων ὁ ἐσμός, κυρία, καὶ τὸ πλῆθος,
καὶ οἱ γεννήτορες αὐτοὶ πρὸς τούτοις καὶ τὰ τέκνα
τυγχάνει τὰ ζιζάνια τὰ παρὰ φύσιν ὄντα,
ἅπερ ὁ κάκιστος ἐχθρὸς ἐνέσπειρε τῷ σίτῳ·
σῖτον οὖν ἤδη εἴπομεν τῶν ἀρετῶν τὸ πλῆθος,
ἃ φυσικῶς ἐσπάρησαν εἰς τὰς τριττὰς δυνάμεις
ψυχῆς, φημί, τὸ λογικὸν καὶ τὴν ἐπιθυμίαν,
ναὶ δὴ καὶ εἰς τὸ θυμικόν, ὡς πρὸ μικροῦ ἐρρέθη,
εἰς λογικόν, τὴν φρόνησιν καὶ τὴν δικαιοσύνην,
τὴν σωφροσύνην εἴπομεν εἰς τὴν ἐπιθυμίαν,
τὴν δὲ ἀνδρείαν εἰς θυμόν, ἡ τετρακτὺς δὲ αὕτη
τυγχάνει δῆθεν ὁ καλὸς σπόρος καὶ σῖτος τάχα,
καὶ πάντες μὲν οἱ ἐμπαθεῖς λογισμοί, ὦ φιλτάτη,
διὰ τριῶν γε τουτωνὶ τὴν ψυχὴν πολεμοῦσιν
ἢ τὸ ἐπιθυμητικὸν ἐρεθίζουσι ταύτης

ἢ τοίνυν τό γε θυμικὸν ἐκταράσσουσιν αὖθις,
ἢ πάλιν τὸ λογιστικὸν ταύτης ἐπισκοτοῦσιν·
ἐκ τούτου καὶ συμβαίνει μοι τὸν νοῦν ὀφθαλμιάσαι
πρὸς θεωρίαν τὴν καλὴν τοῦ Πνεύματος τὴν ἄνω,
ἀλλά γε καὶ πρὸς προσευχῆς ἐνδημίαν ὀκλάζειν,
τούτων δὲ πάντων ἔξαρχος τὸ λογικὸν τυγχάνει,
ἐπέχον καὶ ἐπιστατοῦν τῶν ἀμφοτέρων μάλα
ἄγει καὶ φέρει τὰς αὐτάς, ὡς βούλεται καὶ θέλει,
καὶ ἡγεμὼν ὁ λογισμὸς τῶν ἀρετῶν τυγχάνει,
τῶν δὲ παθῶν οὐχ ἡγεμὼν ἀλλ' αὐτοκράτωρ μέγας
ὁ νοῦς ἐστὶ τὸ λογικὸν τῆς ψυχῆς, δέσποινά μου,
οὐκ ἔστι μὲν ἐκριζωτὴς τῶν παθῶν ὁ γεννάδας,
ἀλλ' οὖν γε ἀνταγωνιστὴς δυνατὸς καὶ ἀνδρεῖος
ἐξημεροῖ καὶ τῶν ἠθῶν καὶ τῶν παθῶν τὰς ὕλας
νικῶν σβεννύει φλεγμονὰς ἀτιθάσσους ἀγρίας
καὶ τὰς σωμάτων ἡδονὰς καὶ τὰ τῶν οἴστρων βέλη
καὶ ἀποπτύει τὰς αὐτάς, εἰ καὶ βαρεῖαι λίαν,
πλὴν οὐκ εἰς πάντας ἡ αὐτὴ ἀριστεία καὶ νίκη,
ἀλλ' ἐν οἷς εὐσέβεια ἐξ ὅλης τῆς καρδίας,
καὶ φόβος ἔστι τοῦ Θεοῦ καὶ μνήμη τοῦ θανάτου,
οὗτοι γὰρ μόνοι δύνανται κρατεῖν σαρκὸς τὰ πάθη,
καθώσπερ καίτις ἔφησεν οὑτωσὶ τῶν ἁγίων,
οὐ πᾶσιν ἐστὶ βάσιμος ἡ ἀρετὴ καὶ ῥάστη,
ἀλλ' ὀλίγοις κομιδῇ τοῖς ἐγκρατῶς βιοῦσι
κυριωτάτη δὲ πασῶν ἡ φρόνησις τυγχάνει,
ἥτις πολλὰ καὶ συνεργεῖ τῷ λογικῷ εἰς πάντα·
εἰ μὲν καλῶς ἡνιοχεῖ καὶ κυβερνᾷ πρεπόντως
τὰ δύο μέρη τῆς ψυχῆς θυμόν, ἐπιθυμίαν,
οὐ γάρ εἰσὶ τοῦ λογικοῦ ἀλλά γε τῆς ἀλόγου
φύσεως μέρη τὰ αὐτὰ καὶ ὑπείκει τῷ λόγῳ,
ὡς ἂν κελεύῃ καὶ κινῇ, ἐν οἷς αὐτὸς ἐθέλῃ,
ἐπαίνων τότε γίνεται ἡ ὕλη τῶν τοιούτων,
ὅτι εἰργάκει ἀρετὴν καί γε δικαιοσύνην·
τὸ παρὰ φύσιν ἀποδράς, τὸ κατὰ φύσιν ἕδρα,
καθότι καὶ προείπομεν πολλάκις ἐν τῷ λόγῳ,
ἂν δέ γε ταύτας οὐ καλῶς ἀλλ' ἄγαν ἐσφαλμένως,
δι' ἔλλειψιν καὶ ὕφεσιν διακρίσεως, ἥνπερ

ἀκρίτως παραπέμπεται τῇ διανοίᾳ τούτου,
τὸ δὴ ψευδές, ὡς ἀληθές, ἀκρίτως δεχομένη,
ὡς οἴεσθαι τὰ πράγματα χρηστὰ τὰ φαῦλα εἶναι,
καὶ τὰ χρηστὰ ἀνάπαλιν φαῦλα νομίζειν εἶναι,
τό γε πικρὸν πάλιν γλυκὺ καὶ τὸ γλυκὺ πικρίζον,
τὸ σκότος τίθεται, ὡς φῶς, καὶ ἔμπαλιν τοῦτό γε,
εἰ οὕτω ταῦτα γε κρινεῖ, ὅπερ ἀπείη λόγε,(1)
κακία τοῦτο γίνεται τότε καὶ ἁμαρτία
καὶ ἄχρηστα ζιζάνια καὶ τρέπεται καὶ θάλλει
καὶ καταδυναστεύουσι τυραννικῶς τῇ βίᾳ
καὶ ἀποπνίγουσι κακῶς τὸ τρόφιμον τοῦ σίτου,
ὡς ἅτε ἀχρωμότερα καὶ παρὰ φύσιν ὄντα,
οὐ δύνανται τὰ φυσικὰ μετὰ τῶν παρὰ φύσιν
σπερμάτων συναυξάνεσθαι, οὐκ ἔχει τοῦτο φύσιν
τὰ τῆς σαρκὸς θελήματα ἡ παρὰ φύσιν βλάστη,
τῆς ἡδονῆς μοι νόησον καὶ τὸ φρόνημα ταύτης,
καὶ εἰ νεκρώσομεν αὐτὰ μετὰ πόνων καὶ κόπων,
αὐξάνονται τὰ τῆς ψυχῆς, ὡς ὄντα κατὰ φύσιν.
καὶ ἀρετὰς μὲν ἔχομεν φυσικῶς πάντως πλείστας
τὰ πάθη δὲ οὐ φυσικῶς ἀλλά γε παρὰ φύσιν.
εἰ γὰρ ὑπῆρχε φυσικὴ ἡ κακία, κυρία,
οὐκ ἂν ἐκολαζόμεθα ἀλλ' οὐδὲ πάλιν ἄλλοι
κατορθωκότες ἀρετὴν μισθοὺς ποτ' ἐκαρποῦντο·
εἰ δὲ εἰς φύσιν γίνονται τὰ παρὰ φύσιν πάθη
ἐξ ἀμελείας τῆς ἡμῶν ῥᾳθυμίας καὶ ὄκνου,
πολλῷ μᾶλλον γενήσονται, εἰ θελήσομεν μόνον,
αἱ κατὰ φύσιν ἀρεταὶ καὶ αὖθις ἐν τῇ φύσει
ἀναδραμεῖν, ἐπανελθεῖν εἰς τὸν οἰκεῖον τόπον,
διὰ σπουδῆς, ὡς δυνατόν, καὶ τῆς ἐπιμελείας,
τούτου γὰρ χάριν εἴασεν ὁ σοφὸς γεηπόνος
τὸ ἐμφυὲν τῷ σπέρματι σὺν αὐτῷ τοῦ βλαστάνειν
κρειττόνως προθυμούμενος ἵνα μὴ γυμνωθῶμεν
τῶν βελτιόνων τοῦ θυμοῦ τῆς τε ἐπιθυμίας
τῇ βλάστῃ τῇ ἀχρήστῳ γε, ὡς συνεκριζωθέντων,
οὐκοῦν, εἰ τοῦτο πάθοιεν ἡ ἀνθρωπίνη φύσις,

(1) Ἴσως : οὗπερ ἀπείη λόγος.

λοιπόν γε ἄλλο τι ἐστὶν ἡμᾶς τὸ συνεργῆσον,
πρὸς σχέσιν τὴν οὐράνιον συνάφειαν τὴν ἄνω
ὡσαύτως τῆς ἀγάπης δὲ ἀφαιρεθείσης πάντη
καὶ πῶς συναφθησόμεθα τῷ γε Θεῷ, ὡς θέμις,
ἀποσβεσθέντος τοῦ θυμοῦ ποῖον ἕξομεν ὅπλον
κατὰ τοῦ προσπαλαίοντος ἐχθροῦ καὶ ἀποστάτου,
ὡς οἶσθα, ταῦτα πέφυκεν ὅπλα ψυχῆς τὰ δύο
ἐπιθυμία καὶ θυμός, ὡς ἤδη σοι προέφην,
καὶ εἴπερ ταῦτα ἐξ αὐτῆς ἀφαιρεθῶσιν ἄρτι,
λοιπὸν γυμνὴ πρὸς πόλεμον ἐξελθεῖν οὐκ ἰσχύσει
καὶ πρὸς ἀντιπαράταξιν τῶν πονηρῶν δαιμόνων
τοῖς κατά σάρκα δὲ πᾶσι μὴ δὴ περιπατοῦσιν
ἀλλ' οὔτε δὴ κατὰ ψυχὴν ἀλλὰ μὴν κατὰ πνεῦμα,
οὗτοί γε ἐγκεντρίζουσι τὰ χρηστὰ ὡς ἐπίπαν,
οἱ δέ γε ὄντες ἐν σαρκὶ τὰ τῆς σαρκὸς φρονοῦσι,
καὶ ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὸ πνεῦμα,
καθὼς καὶ Παῦλος φθέγγεται ὁ θεῖός τε καὶ μέγας,
οὐδὲ οἱ ὄντες ἐν σαρκὶ Θεῷ εὐχρεστοῦσι·
τὸ τῆς σαρκὸς γὰρ φρόνημα ἔχθρα εἰς τὸν Θεόν γε,
τῷ νόμῳ γὰρ τῷ τοῦ Θεοῦ κἂν ὅλως οὐχ ὑπείκει
τὸ φρόνημα τοῦ πνεύματος καὶ ζωὴ καὶ εἰρήνη·
ὁ σπείρων εἰς τὴν σάρκα δὲ ἐκ τῆς σαρκὸς θερίσει
φθοράν τε καὶ θνητότητα καὶ ὁ σπείρων εἰς πνεῦμα
θερίσει ἐκ τοῦ πνεύματος ζωὴν τὴν αἰωνίαν.

Ψυχή. Εἰπέ μοι τὴν παραφορὰν τουτωνὶ τῶν προσώπων
καὶ τὶς καλεῖται σαρκικὸς πνευματικὸς δ' ὁποῖος
ὡσαύτως δὲ καὶ ψυχικός, οἱ τρεῖς ἀγνώριστοί μοι.

Σάρξ. Ἄνθρωπος μέντοι σαρκικὸς λέγεται ὁ δουλεύων
ἐπιθυμίαις τῆς σαρκὸς καὶ ἡδοναῖς ὡσαύτως
καὶ ἐκπληρῶν ἐν ἅπασι τὰ θελήματα ταύτης,
καὶ ἄρχει μὲν τοῦ κρείττονος τὸ χεῖρον, φεῦ, εἰς τοῦτον
καὶ ψυχικὸς δὲ λέγεται ὁ ἀμελὴς καὶ χαῦνος
ὁμοῦ πρὸς πράξεις τὰς καλὰς καὶ ἀρετὰς τὰς ὧδε,
μηδέν τι ἐργαζόμενος τῶν ἀμφοτέρων ὅλως
ἀλλά γε πρὸς τὴν αἴσθησιν καὶ ὄρεξιν, κυρία,
καὶ κίνησιν τὴν καθ' ὁρμὴν φυσικὴν μόνη ζώῃ,
πνευματικὸν δὲ λέγομεν τὸν ἐρῶντα τῶν ἄνω,

καὶ ὀπτικὸν τὸ τῆς ψυχῆς ἔχοντ' ἐκεῖ διόλου
καὶ ἀθανάτων ἀγαθῶν ἐφιέμενον ὅλως
τὰς ἡδονὰς καταπατεῖν τὰς ἀρετὰς διώκειν
τὴν σάρκα δ' ὑποτάξαντα τῷ πνεύματι δουλεύειν
ἀλλ' εἰ κελεύεις, εἴπω σοι καὶ ἄλλως περὶ τούτου,
τοὺς κατὰ φύσιν ἅπαντας ζῶντας τοίνυν ἀνθρώπους
κικλήσκουσί πως ψυχικούς, οἵτινες ἂν καὶ εἶεν,
τοὺς παρὰ φύσιν πάλιν δὲ σαρκικοὺς τούτους φαῖεν
οἱ δὲ μεθαρμοζόμενοι τὴν φύσιν καὶ τὸ πνεῦμα
πνευματικοὶ κικλήσκονται εἰκότως καὶ δικαίως
πρὸς δὲ καὶ ἄλλας λέξομεν καὶ τρισσὴν τροπὴν ἔτι
ἀλλήλοις πῶς ἀντίκεινται ἡ ψυχὴ καὶ τὸ σῶμα,
εἰ μὲν κρατήσει τῆς ψυχῆς ἡ σάρξ σαρκικὸς οὗτος,
εἰδὲ κρατήσει ἡ ψυχὴ καὶ δουλώσει σὴν σάρκα,
πνευματικὸς καθίσταται ὁ ἄνθρωπος ἐκεῖνος,
ἂν δὲ εἰρήνη ἐπ' ἀμφοῖν καὶ ἀρτία ἐν τούτοις,
μήτε καλὸν μήτε κακόν, ψυχικὸς οὗτος τότε
ὡς τὴν ζωὴν τὴν φυσικὴν καὶ μηδὲν πλέον ζῴη,
οὐ γὰρ εἰς σάρκα ἔσπειρεν ἵνα φθορὰν θερίσῃ,
καὶ ψυχικὸς ὠνόμασται, μεσότης γὰρ τοῦτό γε
οἶδεν ὁ Παῦλος κάλλιστα τοὺς σαρκικοὺς ἀνθρώπους
ψυχὴν ὡς ἔχοντας καὶ αὖ τοὺς πνευματικοὺς σῶμα
ἀλλ' οὖν διὰ τὴν σύγκρισιν τῶν δύο γοῦν ἀνθρώπων
πρὸς δὲ καὶ ἐπικράτειαν τοῦ πλείονος ἐν τούτοις
τέθεικε τὰ ὀνόματα τοῖς τρόποις ἐφαρμόσας
πρὸς τούτοις οἶδα ἔγωγε τινὰς ἑτέρους ὄντας
εἰς ὃν προείρηκα βαθμὸν τὸν μέσον πρὸ ὀλίγου·
εἰσὶ γὰρ φύσει ἀπαθεῖς, τοὺς ἠλιθίους λέγω,
καὶ σωφρονοῦσιν ἄκοντες, πόνου δίχα καὶ κόπου,
ἀλλ' οὖν γε τούτοις ἔγωγε οὐκ ἔχω χάριν ὅλως.
ἀκούσιον ἡ ἀρετὴ καὶ σωφροσύνη τούτων,
εὐνοῦχοι γὰρ μητρὸς κοιλίας γεννηθέντες,
οὐκ ἤλυθεν εἰς βάσανον οὔτε ἐδοκιμάσθη
ἡ τούτων σωφροσύνη γε. διὰ πείρας καὶ κόπου,
οὐδ' ἐκ μελέτης οἱ αὐτοί, οὐδέ γε ἐκ παιδείας,
καὶ τὸ ἐκ φύσεως καλὸν ἀδόκιμον τυγχάνει,
τὸ δὲ γ' ἐκ προαιρέσεως ἄξιον τῶν ἐπαίνων·

τὰ γὰρ πλεονεκτήματα τῆς φύσεως, ὡς οἶσθα,
οὐ τῶν ἐχόντων ταῦτά γε ὁ ἔπαινος τυγχάνει,
καὶ τὸ ἐγκώμιον, ψυχή, ἀλλὰ τοῦ δεδωκότος·
ποία γὰρ χάρις τῷ πυρὶ τῷ καίειν καὶ φωτίζειν ;
δυοῖν ταὐτὶ ἐκ φύσεως παρὰ Θεοῦ γὰρ ἔχει,
χιόνι χάρις τίς ἐστὶν ὅτι λευκὴ ψυχρά τε,
ἡλίῳ τὸ φωτίζειν τε, φαίνει γὰρ κἂν μὴ θέλῃ,
χαρίζου μοι τὸ βούλεσθαι τὰ βελτίονα, φίλε,
χαρίζῃ δέ μοι ἐὰν ᾖς σαρκικός, ἐμπαθής τε,
καὶ πτερωθεὶς εἰς οὐρανὸν ὑπὲρ σάρκα φανήσῃ
γενόμενος πνευματικὸς ὑπεραρθεὶς τῶν κάτω.
ἐγὼ καὶ σὺ οὐκ ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι πάντως,
καθὼς ὁ Παῦλος γέγραφε ποτὲ τοῖς Κορινθίοις,
εἴγε τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν ὅλως,
εἰ δέ τις, ὅστις καὶ ἐστί, πνεῦμα Χριστοῦ οὐκ ἔχει,
οὗτος οὐκ ἔστι τοῦ Χριστοῦ ἀλλὰ τοῦ ἀλλοτρίου,
καὶ καθὼς ἐφορέσαμεν τοῦ χοϊκοῦ ἀνθρώπου
εἰκόνα δὴ τὴν εἰς ψυχὴν ζῶσαν γεγενημένην
οὕτω καὶ νῦν, εἰ θέλομεν, φοροῦμεν τὴν εἰκόνα
τὴν ἐπουράνιον, φημί, ἀνθρώπου τοῦ δευτέρου,
ἣν καὶ εἰς Πνεῦμα ἅγιον ζωοποιοῦσαν οἶδα,
ὅσοι γοῦν ἔλαβον αὐτὸν ἔδωκεν ἐξουσίαν
τούτοις αὐτῷ πιστεύσασι τέκνα Θεοῦ γενέσθαι,
ἀλλά γε τούτους καὶ θεούς, εὖ γε, τῆς εὐκληρίας,
οὐ κατὰ φύσιν ἀλλὰ μὴν κατὰ χάριν καὶ θέσιν
τὸ δέ γ᾽ ἑξῆς νενόηκας, ὡς οἶμαι, δέσποινά μου,
ἀλλ᾽ ἐπαναληψώμεθα ὡς ἐξ ἀρχῆς τὸν λόγον
τὴν ἀνακεφαλαίωσιν καὶ πλάσιν τοῦ ἀνθρώπου
καὶ περὶ ταύτης λέξωμεν ὀλίγα αὖθις ἅττα,
ἵν᾽ ὅπως ἀκριβέστερον τὰ προρρηθέντα γνοίης,
ποιήσας πᾶσαν ὁ Θεὸς τὴν ὁρωμένην κτίσιν
πρὸς δὲ καὶ τὴν ἀόρατον, τοὺς δύο λέγω κόσμους
τὸν αἰσθητὸν καὶ νοητὸν καὶ τὰ ἐν μέσῳ τούτων
ἐσκόπησε παράδοξον ἔργον ἔτι ποιῆσαι,
ζῶον μικτόν γε ἐξ ἀμφοῖν λογικῆς καὶ ἀλόγου
καὶ πάσης φύσεως κτιστῆς ἐμφερὲς δηλονότι,
καὶ τὸ ἐννόημα αὐτοῦ εἰς ἔργον δὴ ἐξάγει,

καὶ ἔπλασε τὸν ἄνθρωπον ζῶον μικτόν τοιόνδε
καὶ σκόπει τὸ μυστήριον τὸ ὑπὲρ λόγον ξένον
τῶν ὄντων πάσας φύσεις τε ἤδη προγεγονότων
ἀθροίσας, συμφορήσας τε, τοὺς λόγους, τὰς κινήσεις
ἐκ τούτων πάντων ἔρανον ποιήσας παραδόξως
ἐκ γῆς λαμβάνει τὸ ξηρὸν καί γε ψυχρὸν τὸ ταύτης,
καὶ τὴν χολὴν τὴν μέλαιναν ποιεῖται θαυμασίως
ἐκ δὲ τοῦ ὕδατος αὐτοῦ τὸ ψυχρὸν καὶ ὑγρόν τε
πήξας τὸ φλέγμα κάλλιστα· ἀπὸ δὲ τοῦ ἀέρος
αὖ τὸ ὑγρόν τε καὶ θερμὸν εἰς αἷμα τοῦτο χρώσας
ἐκ τοῦ πυρὸς δὲ τὸ θερμὸν καὶ τὸ ξηρὸν συμμίξας,
καὶ βάψας τὴν ξανθὴν χολὴν ἐποίησεν, ὡς οἶδεν
ἐκ τῶν φυτῶν τὸ θρεπτικὸν καὶ τὸ αὐξητικόν τε
ἐκ τῶν ἀλόγων ζώων δὲ τόγε αἰσθητικόν τε,
ἐκ δέ γε λίθων καὶ αὐτῶν τῆς ἀναισθήτου ὕλης
τὸ στεγανὸν καὶ συνεχὲς τοιγαροῦν ἐν τοῖς κώλοις,
τὸ νοερὸν καὶ λογικὸν καὶ ἀνώλεθρον πάλιν·
ἐκ τῶν Ἀγγέλων ἔχομεν, ὧν κοινωνοῦμεν τούτοις,
παρὰ Θεοῦ δὲ τὴν πνοὴν ἐν ζωῇ ἀθανάτῳ,
αὐτὴν τὴν ἄϋλον ψυχὴν ἀσώματον καὶ θείαν
οὐκ ἐξ οὐσίας τῆς αὐτοῦ, ἄπαγε, δέσποινά μου,
ἀλλ' ἐκ τῆς οὐσιοποιοῦ δυνάμεως τῆς τούτου
ἔννουν καὶ ζῶσαν τὴν αὐτὴν λογικὴν νοεράν τε,
κτίσας αὐτὴν ἀσώματον καὶ ἄϋλον, ὡς οἶδεν,
ἁπλῆν καὶ αὐτεξούσιον τιμήσας θείᾳ δόξῃ
ἡ κατ' εἰκόνα λέγεται τοῦ Θεοῦ γεγονέναι
οὐσία ἀδιαίρετος ψυχὴ καὶ νοῦς καὶ λόγος
λόγος δ' ὁ ἐνδιάθετος, οὐ μὴν ὁ διὰ γλώσσης
προφορικὸς λεγόμενος καὶ λαλούμενος ἔξω,
ἃ δὲ καὶ λόγος τῆς ψυχῆς εἰσὶ τῆς ἀσωμάτου
ὁμοφυᾶ καὶ σύγχρονα καὶ ὁμοούσιά γε
τοίνυν καὶ συναΐδια τυγχάνουσιν αὐτῇ γε
μὴ χωριζόμενα ποτὲ ἢ τεμνόμενα ὅλως,
ἢ πάλιν διϊστάμενα ἀπ' ἀλλήλων τὰ τρία,
καθάπερ γὰρ οὐδ' ὁ Πατὴρ δύναται χωρισθῆναι
ἐκ τοῦ Υἱοῦ καὶ Πνεύματος ἡ Τριὰς ἡ ἁγία,
ἡ μία δύναμις αὐτῶν καὶ μία βασιλεία

μία οὐσία καὶ μορφὴ πρὸς δὲ καὶ ἐξουσία,
ὡσαύτως γε καὶ τὸ αὐτοῦ κατ' εἰκόνα τοιοῦτον
φύσις μία ἀχώριστος ψυχὴ καὶ νοῦς καὶ λόγος,
εἰκὼν πρὸς τὸ ἀρχέτυπον τὴν ὁμοιότητ' ἔχει
κατά τι τὴν διαφορὰν τοῦ χαρακτῆρος φέρει,
ἐπεὶ οὐ κἂν ὁμοίωμα ἀλλὰ ταὐτὸν ἐκείνῳ
τὸ ἀπαράλλακτον παντὶ ἀναδειχθείη ἄν πως
κτιστὴ μὲν ἐστιν ἡ εἰκὼν ἄκτιστον δὲ ἐκεῖνο,
τοῦτο ἐστὶ τὸ λογικὸν τῆς ψυχῆς ἅπαν μέρος,
ὃ κατ' εἰκόνα τοῦ Θεοῦ καὶ ὁμοίωσιν ἔστι·
τὸ καὶ οὐσία τῆς ψυχῆς λεγόμενον κυρίως,
τὸ δέ γε ταύτης θυμικὸν ἐπιθυμητικόν τε
συνεκεράσθησαν αὐτῇ ἐκ τοῦ ἀλόγου μέρους
καὶ συνετέθη σύνθετα τῷ λογικῷ συνεῖναι
τὸ δέ γε ***πότε***, ἀγνοῶ, ὁ κτίσας μόνος οἶδε,
καὶ μέρος μὲν εἰσὶ καὐτῆς, ὡς αὐτή, καὶ συνόντα,
πλὴν οὐκ εἰσὶν αὐτὰ ψυχὴ κατ' οὐσίαν καὶ φύσιν,
καθὼς ὁ λόγος καὶ ὁ νοῦς, οὐμενουν, δέσποινά μου,
οὐδέ γε ἴδια αὐτῇ καὶ συνουσιωμένα,
ἀλλὰ ποτὲ μὲν ἴδια, οὐκ ἴδια πάλιν,
ἐνταῦθα μέντοι ἴδια καὶ ἀναγκαῖα ὅπλα,
συνδεδεμένη σώματι καὶ χρείας τούτων οὔσης
πρὸς συμπλοκὴν καὶ πόλεμον τῶν πονηρῶν δαιμόνων
καὶ δεῖται τούτων ἐκ παντὸς ἄχρις ὑπάρχει ὧδε,
καθὼς τὸ σῶμα δέεται ἐνδύματος καὶ σκέπης,
ἐκστᾶσα δὲ τοῦ σώματος, τούτων οὐδόλως χρεία
μετὰ τὴν ἐξανάστασιν τὴν κοινὴν καὶ καθόλου
ἀλλ' ἀφαιροῦνται ἐξ αὐτῆς, ὡς ἀλλότρια ταύτης,
τὸ δέ γε ***πῶς*** καὶ ***διατί*** προείπομεν, φιλτάτη,
ὡς λόγον ἤδη δεύτερον, ὡς ἐφικτόν, τῆς βίβλου
εἰς τό γε τρισκαιδέκατον κεφάλαιον τὸ τούτου
καὶ μάρτυρα τεθείκαμεν Γρηγόριον τῆς Νύσης,
ἀλλ' ὅθεν οὖν ἐξέβημεν ἐπανιτέον πάλιν
ταύτην, ὡς εἶναι, καὶ διπλῆν λογικὴν ἄλογόν τε
καὶ αὖθις δέ γε καὶ τριπλῆν γνωρίζεις διὰ τούτων,
λογιστικοῦ καὶ θυμικοῦ ἐπιθυμητικοῦ τε
καὶ πάλιν λέγεται ἁπλῆ κατὰ τόν δε τὸν τρόπον

διὰ τὸ εἶναι ἄποσον καὶ ἀσχημάτιστόν πως
οὐδ' εἰς τριχῇ διάστασιν οὐ πηλικότητ' ἔχειν
χρῶμα καὶ βάρος οὐδαμῶς οὔτε ἀντιτυπίαν
καὶ διὰ τοῦ λογιστικοῦ κοινωνεῖ τοῖς Ἀγγέλοις
διὰ δυάδος τῆς ἑξῆς θυμοῦ τ' ἐπιθυμίας
ὡς τῆς ἀλόγου φύσεως κοινωνεῖ τοῖς ἀλόγοις
καὶ ἐκ ψυχῆς καὶ σώματος σοφῶς καὶ ἄριστά γε
τὸν ἄνθρωπον ἐποίησε ζῶον μικτόν, ὢ θαῦμα,
καὶ ἡ μὲν πλάσις πέφυκε τοιαύτη τοῦ ἀνθρώπου.
Ψυχή. Θαυμάζειν δέ μοι ἔπεισιν πῶς ἡ ψυχή, παιδίσκη,
ὡς οὖσα θείας φύσεως, ἀΰλου, ἀσωμάτου,
τῶν ὑλικῶν ἐφίεται καὶ ἐνσωμάτων τούτων,
καὶ τῶν ῥεόντων καὶ φθαρτῶν πάσῃ δυνάμει ὅλως
ἀντιλαμβάνεται αὐτὴ καθὼς τῶν ἀθανάτων
ποία γὰρ ἔφεσις ἐστὶν ἄϋλον φύσιν οὖσαν
τῶν αἰσθητῶν ὀρέγεσθαι καὶ ἐνύλων πραγμάτων
ὁπόταν μᾶλλον φυσικῶς ἰδίαν ἕξιν ἔχῃ
ἐπὶ τὰ θεῖα ἔφεσιν ὁλικῶς κινουμένην ;
Σάρξ. Ἐπείπερ κτίσμα ἡ αὐτὴ καὶ τρεπτὴ ἐστὶ πάντως,
πᾶν γὰρ κτιστόν τε καὶ τρεπτόν, ὡς σύνθετον ὑπάρχον
μόνης τῆς θείας φύσεως ἀκτίστου καὶ ἀτρέπτου
καὶ ἀσυνθέτου καὶ ἁπλῆς, ὡς ὑπὲρ φύσιν οὔσης,
ψυχὴν δ' ἁπλῆν. ἀσώματον, οὐσίαν ζῶσαν πάντως,
καὶ λογικὴν καὶ νοερὰν καὶ αὐτεξούσιόν γε
θελκτικὴν ἐποίησε καὶ ἐνεργητικήν τε,
αὕτη δ' ὡς αὐτεξούσιος, ἐθελότρεπτος πέλει,
ἐπεὶ διπλῇ συντέθειται καὶ δύο μέρη ἔχει
εἰς μίαν δὲ ὑπόστασιν ταῦτα συνεκεράσθη
τὸ μὲν αὐτῆς τὸ λογικὸν τὸ δ' ἄλογον τυγχάνει,
μερίζονται δ' ὡς ἔφημεν, εἰς τρία αἱ δυνάμεις
λογιστικὸν καὶ θυμικόν, ἐπιθυμητικόν τε,
φαμὲν τῷ μέρει τῷ ἑνὶ τῷ θειοτέρῳ ταύτης·
τοιγαροῦν τῷ λογιστικῷ τῇ λογικῇ οὐσίᾳ
τῇ τῶν Ἀγγέλων κοινωνεῖ, ὡς πρὸ μικροῦ σοὶ ἔφην,
διὰ δυάδος τῆς ἑξῆς θυμοῦ τ' ἐπιθυμίας
λοιπὸν συμπαραβάλλεται καὶ τοῖς ἀλόγοις αὐτη,
ὡς δήπου πᾶν τὸ ὅμοιον τῷ ὁμοίῳ καὶ χαίρει,

τὸ λογικὸν ταῖς λογικαῖς δυνάμεσι ταῖς ἄνω,
καὶ ἀμβροσίας τῆς ἐκεῖ ἐφίεται διόλου·
τὸ δ' αὖθις τοίνυν ἄλογον τοῖς ἀλόγοις ὁμοίως,
καὶ τῆς αὐτῶν κατὰ πολὺ ὀρέγεται διαίτης·
τῶν δύο γοῦν τούτων μερῶν ἐναντίως ἐχόντων
πρὸς ἑαυτὰ δὴ μάχονται ἀεί, ὡς ἐν παλαίστρᾳ,
τίνος αὐτῶν γενήσεται τὸ θέλημα καὶ πρᾶξις
καὶ μάχης οὔσης ἐπ' ἀμφοῖν σαρκὸς ψυχῆς, κυρία,
ἡ σάρξ κατὰ τοῦ πνεύματος, τὸ πνεῦμα τῆς σαρκός γε,
τὸ μὲν τῶν ἄνω γλίχεται, ὡς κατὰ φύσιν ὄντων,
ἡ δὲ τῶν κάτω φυσικῶς καὐτὴ διακειμένη
ἀλλὰ βαρεῖά τις ἐστὶ κατωφερὴς καὶ μάλα
τῆς ἁμαρτίας ἡ ῥοπὴ φύσεως τῆς ἀλόγου
τῷ βάρει καὶ συγκατασπᾷ φρόνημα τῆς ψυχῆς γε
εἰς πάθη τὰ ὀλέθρια, πρὸς ἡδονὰς ἀτόπους
ἀλλ' ἐσχηκυῖα ἡ ψυχὴ τὸ λογικὸν τὸ ταύτης
καὶ τὸ διανοητικὸν τὸ τοῦ νοὸς προβλέπει
τὰς ἐφ' ἑκάτερα ῥοπὰς τῆς ξυνωρίδος ταύτης
ὁ νοῦς δ' ὥσπερ τις ἡγεμὼν ἢ αὐτοκράτωρ μέσον,
ἱστάμενος τῶν ἐννοιῶν καὶ διαιρῶν καὶ κρίνων,
τοὺς κρείττονας τῶν λογισμῶν ἀπό γε τῶν χειρόνων,
τοὺς μὲν αὐτῶν ἀσπάζεται, τοὺς δὲ ἀποδιώκει,
σκέπτεται τοίνυν, ὡς κριτής, καὶ κρίνει τὸ συμφέρον,
εἴτε τὸ φύσιν δίκαιον, εἴτε τὸ παρὰ φύσιν·
εἰσὶ δυνάμεις τοῦ νοὸς γενικαὶ τάχα αὗται
ἀγχίνοια, καὶ σύνεσις, κατάληψις ὡσαύτως,
πρὸς ταύταις καὶ ἐντρέχεια καὶ τετρακτὺς γὰρ αὕτη
ἐκ τοῦ διανοητικοῦ μέρους ἀπογεννᾶται,
δυνάμεις τρεῖς δὲ εἴπομεν τῆς ψυχῆς. ἅσπερ ἔχει,
λογιστικὸν καὶ θυμικόν, ἐπιθυμητικόν τε
δύο δὲ μέρη τὴν αὐτὴν λογικὴν ἄλογόν τε,
οὕτω φησὶ καὶ ὁ πολὺς Δαμασκοῦ Ἰωάννης
τοῦ λογικοῦ ἡ φρόνησις καὶ ἡ δικαιοσύνη,
τοῦ δέ γ' ἐπιθυμητικοῦ ἐστὶν ἡ σωφροσύνη,
ἡ δὲ ἀνδρεία τοῦ θυμοῦ γεννήματα οἰκεῖα,
φρονήσεως μὲν ἴδιον τό γε βασιλικόν τε
καὶ τὸ τὰ βάθη ἐρευνᾶν τοῦ Θεοῦ ἐν συνέσει

δικαιοσύνης αὖθις δὲ τὸ ἴσον κατὰ πάντα
καὶ τό γε διαιρετικὸν ἀπονέμειν ἐν κρίσει
τῶν μαχομένων λογισμῶν τὸ οἰκεῖον ἑκάστῳ
ἡ εὖ τούτων πρὸς ἕκαστα διαίρεσις δικαία
τῆς σωφροσύνης πάλιν δὲ τὸ καθαρόν, ἁγνόν τε,
ἡ εὔθυμος τοῦ πνεύματος χαρὰ καὶ εὐφροσύνη
ἀνδρείας τὸ ἐνστατικόν, ἀνένδοτον πρὸς πόνους,
καὶ λόγχη τῆς ὑπομονῆς, τέμνειν τὸ παρὰ φύσιν·
ἀλλ' εἴπωμεν σαφέστερον παραδείγματος χάριν
μικρὸν ἐνταῦθα νόημα καὶ γνώσῃ τὰ ρηθέντα
τῷ νόμῳ γὰρ τῷ τοῦ Θεοῦ καὶ ἐντολῇ τῇ τούτου
συνήδεται καὶ συμφωνεῖ μάλιστα καὶ ὁ νόμος
ὁ τοῦ νοὸς καὶ τῆς ψυχῆς, τὴν συνείδησιν λέγω,
καὶ ταύτην μὲν ἀσπάζεται καὶ θέλει καὶ ποθεῖ γε
τῆς ἁμαρτίας δὲ αὐτῆς ὁ νόμος, ὦ κυρία,
ἡ προσβολὴ τοῦ πονηροῦ ἐπιβαίνει τῷ νόμῳ
τῷ ἐν τοῖς μέλεσιν αὐτοῦ τοῦ σώματος, ὦ θαῦμα,
ἐπιθυμία ἥδ' ἐστὶ καὶ κίνησις ἡ ταύτης
ἀντιστρατεύεται κακῶς τῷ νόμῳ τοῦ νοός γε,
τῇ συνειδήσει δηλαδὴ τῇ καὶ φιλούσῃ νόμον
τὸν τοῦ θεοῦ, καὶ θέλουσαν τὴν ἐντολὴν τὴν τούτου,
αἰχμαλωτίζει τὴν ψυχὴν καὶ πείθει ταύτην οὕτως,
μισοῦσαν καὶ μὴ θέλουσαν ὅλως τὴν ἁμαρτίαν
διὰ τῆς λείας καὶ αἰσχρᾶς ἡδονῆς τῆς ἀτόπου,
καὶ τῆς τοῦ σώματος αὐτοῦ ἐπιθυμίας, οἴμοι !
δουλεῦσαι βίᾳ ἄκουσαν τῇ ἁμαρτίᾳ, φεῦ μοι,
τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἡμῶν τῆς ἀσθενείας
καὶ συναντιλαμβάνεται καὶ δύναμιν παρέχει
τῷ νόμῳ τοῦ νοός ἡμῶν κατὰ τοῦ νόμου πάντως
τοῦ ἐν τοῖς μέλεσιν ἡμῶν συνηνωμένου ὄντος,
ἐπιθυμία ἥδ' ἐστί : μέρος ἐκ τοῦ ἀλόγου
τῆς ψυχῆς, ὡς προέφημεν, πολλάκις ἐν τῷ λόγῳ

Ψυχή. Καὶ πότ' ἀντιλαμβάνεται ἡμῶν ἡ θεία χάρις ;

Σάρξ. Ὅταν τις ἔχῃ τοῦ Θεοῦ τὸν φόβον καὶ ἀγάπην
ἐν τῇ καρδίᾳ ἑαυτοῦ καὶ μέμνηται θανάτου,
καὶ ὅταν πάντως γρήγορσις προσδέχῃ καὶ μελέτῃ
ὑπομονὴ εὐχάριστος ἐστὶν ἐν τῷ ἀνθρώπῳ.

Ψυχή. Ψυχὴ καὶ σῶμα κατ' ἀρχὰς φιλίαν καὶ ἀγάπην
ἐκέκτηντο πρὸς ἄλληλα, ἐν εἰρήνῃ ἐδίουν.
καὶ **πῶς** καὶ **πότε** γέγονεν ἐν ἀμφοτέροις ἔχθρα,
εἰπέ μοι, τί τὸ αἴτιον, εἰς τὸ σχίσμα τὸ τούτων·

Σάρξ. Ἡ ἔχθρα καὶ ὁ πόλεμος τῆς σαρκὸς πρὸς τὸ πνεῦμα
μετὰ παράβασιν αὐτὴν τῷ γένει τῶν ἀνθρώπων
καὶ παραδείσου ἔκπτωσιν ἐπεισῆλθε τῷ τότε,
ἐξ ἐπηρείας γυναικὸς καὶ φθόνῳ διαβόλου
καὶ συνεργίᾳ ὄφεως τοῦ ἐπαράτου, φεῦ μοι !

Τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ χρὴ εἰδέναι ὡς ἴδια μὲν τοῦ σώματος μόνου τομὴ καὶ ῥεῦσις καὶ μεταβολή· καὶ μεταβολὴ μὲν ἔστιν ἡ κατὰ ποιότητα, ἤγουν θερμασίαν καὶ ψῦξιν καὶ τὰ τοιαῦτα· ῥεῦσις δὲ ἡ κατὰ κένωσιν· κενοῦται γὰρ ξηρὰ καὶ ὑγρὰ καὶ πνεῦμα, ὧν καὶ τῆς ἀναπληρώσεως χρῄζει· τομὴ δὲ ἀπὸ τῆς ζωῆς εἰς θάνατον τέμνουσα αὐτὸ τῆς ἀπὸ τῶν στοιχείων ἑνώσεως, δι' ὧν συνετέθη, καὶ εἰς φθορὰν ἀπολύουσα μετὰ τὴν τοῦ πνεύματος ἀναχώρησιν· ἴδια δὲ τοῦ λογικοῦ μέρους τῆς ψυχῆς: τὸ διανοητικόν, ἡ εὐσέβεια, ἡ γνῶσις τῶν ὄντων, ὁ ἐνδιάθετος λόγος, ἡ νοερὰ αἴσθησις· αἱ νοήσεις τῶν νοητῶν, αἱ γενικαὶ δύο ἀρεταὶ φρόνησις καὶ δικαιοσύνη, αἱ ἐπιστῆμαι, τῶν τεχνῶν οἱ λόγοι, τὸ βουλευτικόν, τὸ προαιρετικόν, καὶ τὸ μνημονικόν, τὸ δέ γε φανταστικὸν καὶ αἱ τοῦ σώματος αἰσθήσεις, ἴδια εἰσὶ τοῦ ἀλογωτέρου μέρους αὐτῆς· τούτων τὰ μὲν ἔχει καὶ φέρει τοῦ σώματος καὶ τῆς παρούσης ἐξερχομένη ζωῆς, τὰ δέ, οὔ, ἔστι δ' ὅτε καὶ ἀπὸ τῶν οὐκ ἰδίων τινα μεθ' ἑαυτῆς ἐπιφέρεται· ψυχῆς δὲ φύσει ἀλλότρια πάντῃ καὶ οὐδαμῶς ἴδια· φθόνος, μνησικακία, δειλία ἡ ἐμπαθής, καὶ φόβος· πάθη γὰρ ταῦτα ψυχῆς οὐκ ἴδια· μεθ' ὧν, εἰ συναπέλθῃ τοῦ σώματος ἐκδημήσασα, ὁ πατὴρ τοῦ φθόνου, ὡς ἰδίαν θεράπαιναν γνωρίσας αὐτὴν πρὸς ἑαυτόν, εἰς Ἅδου μυχοὺς ἐπισπᾶται· Χρὴ δὲ γινώσκειν ὅτι ἡ μὲν πρώτη τοῦ νοῦ κίνησις νόησις λέγεται· ἡ δὲ περί τι νόησις, ἔννοια καλεῖται, ἥτις ἐπιμείνασα καὶ τυπώσασα τὴν ψυχὴν πρὸς τὸ νοούμενον ἐνθύμησις προσαγορεύεται· ἡ δὲ ἐνθύμησις ἐν ταὐτῷ μείνασα καὶ ἑαυτὴν βασανίσασα καὶ ἀνακρίνασα φρόνησις ὀνομάζεται· ἡ δὲ φρόνησις πλατυνθεῖσα ποιεῖ τὸν διαλογισμόν, ἐνδιάθετον λόγον ὀνομαζόμενον· ὃν ὁριζόμενοι φασὶ κίνημα ψυχῆς πληρέστατον ἐν τῷ διαλογιστικῷ γινόμενον, ἄνευ τινὸς ἐκφωνήσεως· ἐξ οὗ τὸν προφορικὸν λόγον φασὶ προέρχεσθαι, τὸν διὰ γλώσσης λαλούμενον.

Σάρξ. Καὶ περὶ τούτων ἱκανῶς εἰρήκαμεν ὧδέ πως
λοιπὸν ἀρτίως εἴπω σοι περὶ τοῦ διαβόλου,
πῶς παρεχώρησεν αὐτὸν πολεμεῖν τοῖς ἀνθρώποις
Θεὸς ὁ πάντων ποιητὴς καὶ πλάστης καὶ δεσπότης
καὶ οὐκ ἐξήλειψεν αὐτὸν ἀπὸ τοῦδε τοῦ κόσμου,
τὰ νῦν μοι πρόσχες ἐνταυθοῖ καὶ γνώσῃ τὴν αἰτίαν
οὗτος ὁ βίος στάδιον καὶ σκάμμα τῆς ἀνδρείας
μὴ φαινομένου τοῦ ἐχθροῦ οὐ φανεροῦνται φίλοι.
καὶ στρατιῶται δόκιμοι τοῦ βασιλέως τοίνυν,
μὴ γινομένης μάχης τε οὐ γίνεται ἡ νίκη,
οὐδὲ μισθοὶ καὶ στέφανοι τοῖς ἀγωνιζομένοις
ἐὰν μὴ ᾖ παλαίσματα οὐδὲ τιμαὶ καὶ γέρα,
ἐὰν μὴ ᾖ τὰ σκάμματα οὐδὲ βραβεῖα ἔσται,
μὴ ὄντος αὖθις πειρασμοῦ οὔτε ἄνεσις ἔσται,
ἐὰν μὴ θλῖψις καὶ κλαυθμός, οὐδὲ χαρὰ καὶ γέλως,
ἐὰν μὴ γένηται χειμών, οὔτε θέρος φανεῖται
λοιπὸν οὖν εἴασεν αὐτὸν πολεμεῖν τοῖς ἀνθρώποις
ἵν' ὅπως δύο γίνωνται πράγματα συμφερόντως
αὐτὸς μὲν ὡς νικώμενος μειζόνως ἀνιᾶται,
ὡς ἅτε δὴ ἀσώματος ἡττώμενος καὶ πίπτων,
ὑπὸ σωμάτων εὐτελῶν ἀδρανῶν καὶ γηΐνων,
καὶ ἄνθρωποι μετὰ σαρκὸς στεφανωθῶσιν αὖθις
καί, ἣν αὐτὸς ἀπώλεσε ποτὲ ἁγιωσύνην,
κτήσονται ταύτην ἄνθρωποι σαρκικοὶ καὶ γεώδεις
καὶ λήψονται καὶ τὴν αὐτοῦ τὴν πρῴην κληρουχίαν,
ἣν εἶχε πρὸ τοῦ ἐκπεσεῖν τοῦ ἀνωτάτου κόσμου·
ὢ τῆς προνοίας τοῦ Θεοῦ, κυρία, τῆς πανσόφου·
τὴν πονηρὰν προαίρεσιν τοῦ σατανᾶ λαμβάνει
καὶ τὴν κακίαν τὴν αὐτοῦ εἰς ἀφορμὴν βελτίστην
πρὸς σωτηρίαν τῶν πιστῶν καὶ τιμὴν τε καὶ δόξαν,
καθάπερ δὴ καὶ ἰατροὶ καὶ ταῖς ἐχίδναις χρῶνται
πρὸς νοσημάτων ἴασιν ἀπαλλαγήν τε πόνων,
καί τισιν ἄλλοις ἑρπετοῖς εἰς ῥῶσιν τῶν σωμάτων,
καθὼς καὶ τὸ μισάδελφον πάλαι τῶν αὐταδέλφων
καὶ γνώμην καὶ προαίρεσιν ἐχρήσατο εἰς δέον
τοῦ Ἰωσήφ, ὡς ἔλαβεν εἰς ὑπόθεσιν τοίαν,
οἰκονομίας τῆς αὐτοῦ συγχωρήσας αὐτούς γε

πωλῆσαι τὸν αὐτάδελφον κατὰ φθόνον καὶ μῖσος
τοῦ βασιλεῦσαι τὸν αὐτόν, ὡς ἠθέλησε πάντως,
οὕτω δὴ συνεχώρησε τῷ σατανᾷ παλαίειν,
ἵν' οἱ νικῶντες ἄνθρωποι στεφανωθῶσι πάντες
νικήσαντες τὸν πώποτε πρῶτον ἐν τοῖς Ἀγγέλοις.
ὁ βίος οὗτος στάδιον καὶ ἀρετῆς τὸ σκάμμα
ὅσον οἱ πόνοι μείζονες καὶ στέφανοι τοσοῦτον
ὅσον αἱ θλίψεις μέγισται, καὶ τὰ βραβεῖα τοῖα,
τὸ μέτρον τῆς ὑπομονῆς, ἀντίδοσις τῶν ἄθλων·
μικρὸς τυγχάνει ὁ ἀγών, μείζους αἱ ἀντιδόσεις,
καθώσπερ δὴ καὶ πρὸ μικροῦ ἐδίδαξεν ὁ λόγος
καὶ βλέπε ἀγαθότητα, Θεοῦ κηδεμονίας
τοὺς πόνους συνεκλήρωσε ζωῇ μὲν τῇ παρούσῃ
ὥστε συγκαταλύεσθαι τῇ βραχύτητι ταύτης
τὰ ἀλγεινά, τὰ λυπηρά, ἔνθα μικρὸς ὁ βίος,
τὸ μοχθηρὸν ἐπίκηρον, τὸ δ' ἀγαθὸν οὐχ οὕτως
ἀλλά γ' ἐταμιεύσατο πρὸς ζωὴν τὴν ἀγήρω
ὥστε συμπαρεκτείνεσθαι τὰς ἀμοιβὰς ἀφθάρτους
καὶ βασιλείαν τὴν ἐκεῖ καὶ λῆξιν αἰωνίαν·
ἐγὼ θαυμάζω, δέσποινα, καὶ ἀπορῶ πρὸς τοῦτο
πῶς ἡ ψυχὴ ἀσώματος ὡς οὖσα κατὰ φύσιν
τοὺς πρὸς αὐτὴν παλαίοντας ὁμοουσίους ὄντας
ὁρᾶν αὐτοὺς οὐ δύναται, ὡς εἰσὶ κατὰ φύσιν,
ἀλλ' οἶμαι τούτου αἴτιον ἡ τῆς σαρκὸς παχύτης
ὅταν αὐτὴν ἐκδύσηται ἕξει τὸ βλέπειν τούτους.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Ψυχή. Παιδίσκη, ὡς προείρηκας ἐν τῷ δευτέρῳ λόγῳ
αἱ τρεῖς δυνάμεις τοῦ νοὸς εἰσὶν ἐν ἐγκεφάλῳ,
μνημονικόν, φανταστικόν, διανοητικόν τε
καὶ ἐποπτεύει ἐξ αὐτῶν καὶ ἐφορᾷ τὰ πάντα·
ἀλλ' εἴπερ οὗτος καὶ πληγῇ νυνὶ πληγὴν μεγάλην
ἀπὸ σιδήρου χαλεπῶς, εἴτε ἑτέρου εἴδους,
ὤλωλεν ἤδη καὶ τὰς τρεῖς ὁ νοῦς δυνάμεις τούτου,
οὐ μέμνηται τοῦ οἰουνοῦν, οὐ διακρίνει ὅλως.
καὶ τὸ συνοῖσον οὐ νοεῖ οὔτε μὴν τὸ συμφέρον

ἀλλ' ἔστιν ἀνενέργητος καὶ ἀπρακτεῖ τελείως·
ἄρα ἐκστᾶσα ἡ ψυχὴ τοῦ παρόντος σαρκίου
ἡ καθαρὰ καὶ ἄϋλος καὶ ἀνελθοῦσα ἄνω
πρὸς τὴν αὐτῆς κεφαλήν, αὐτὸν δὴ τὸν Χριστόν μου
πῶς ἔσται ταύτῃ δυνατὸν μνημονεύειν τῶν τῇδε
πατέρων δὴ καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων,
καὶ δέησιν ὑπὲρ αὐτῶν προσφέρειν καὶ πρεσβείαν
ὡς ἤδη μοι προείρηκας εἰς λόγον σου τὸν τρίτον
μὴ ἔχουσα τοῦ σώματος τὰ μέλη τε καὶ μέρη
μήτε ἐγκέφαλον αὐτὸν ἀλλ' οὐδὲ τὴν καρδίαν
δι' ὧν ὁ νοῦς περιπολεῖ ὡς ἐπίπαν καὶ μένει,
ἀλλ' οὐδὲ ὄργανα αὐτά, ἃ τὴν φωνὴν ἐκπέμπει,
καὶ ἔστιν ἀνενέργητος, τοῦ σώματος ἀπόντος,
καὶ τοῦτο δῆλον φαίνεται ἀπὸ παραδειγμάτων
ἀδύνατον κιθαρῳδὸν μὴ ἔχοντα κιθάραν
τὴν μουσικὴν ἐνδείξασθαι· καὶ αὐλητὴν ὁμοίως
ἐν ἀπορίᾳ τῶν αὐλῶν αὐλητικὴν δεικνύναι·
ψυχὴν φημὶ κιθαρῳδόν, κιθάραν δὲ τὸ σῶμα
λοιπὸν εἰπὲ καὶ λῦσόν μοι τὴν ἀπορίαν ταύτην.
Σάρξ. Πάνυ μοι φαίνῃ ληθαργὸς καὶ ἐπιλήσμων ὅλη,
προείρηκά σοι ἄνωθεν ἐν τῷ λόγῳ τῷ τρίτῳ
ὅτι ἐκτὸς τοῦ σώματος ὁ νοῦς πολλά γε πράττει,
καὶ ἀγαθὰ καὶ πονηρὰ καὶ ὑμνεῖ καὶ δοξάζει
ἐνδιαθέτῳ λόγῳ τε τὸν Κύριον, ὡς θέλει,
καὶ ὅτι θέλει ὁ αὐτὸς οὐδὲν γὰρ τὸ κωλῦον
τὰ νῦν γε ὅτε δέδεται ἡ ψυχὴ τῷ σαρκίῳ
λοιπὸν λυθεῖσα ἐξ αὐτοῦ τῷ τότε μᾶλλον πλέον
δοξολογεῖ τὸν Κύριον, καὶ ὑμνεῖ ἀκωλύτως
πρεσβεύει καὶ ὑπὲρ ἡμῶν καὶ μέμνηται τῆς φύτλης
ὡς οὖσα ἀεικίνητος οὐδέποτε καθεύδει
τὸ γὰρ ὑμνεῖν καὶ εὐλογεῖν σὺν τοῖς Ἀγγέλοις ταύτην,
ἀργοῦντος τοῦτο οὐκ ἐστὶν ἀλλ' ἐνεργοῦντος μᾶλλον
καθὼς διδάσκει με χορὸς ὁ σύμπας τῶν Πατέρων·
τοῦ λόγου τοῦ προφορικοῦ ἄρτι ἔχομεν χρείας
εἰς τὴν παροῦσαν ἐνταυθοῖ ζωὴν καὶ βίον τοῦτον,
καὶ ἄλλως πως οὐ δύναται ἅτερος μὲν θατέρου
ἐνθύμημα καὶ βούλημα μαθεῖν, εἰ μὴ προβαίνει

ὁ λόγος ὁ προφορικὸς ἀπὸ τοῦ στόματός γε
εἰσδύσει δὲ εἰς ἀκοὰς ἑτέρου δι' ἀέρος,
ἄλλως γάρ πως οὐ πέφυκεν, ἄτερ μορίων πάντων
τοῦ σώματος ἐνδείκνυσθαι ἡ ψυχὴ ἐν τοῖς ὧδε,
τὰς ἐνεργείας ἑαυτῆς καὶ τὰς δυνάμεις ἅμα
τὸ κινητὸν τὸ πορευτὸν καὶ λαλητὸν ὡσαύτως,
ἐργαστικόν, γνωριστικόν, γελαστικὸν καὶ τ' ἄλλα
καταλιποῦσα δὲ ταὐτὶ ἐνθάδε τὰ ὑλώδη
καὶ ἀνελθοῦσα ἄνωθεν εἰς τὸν ἐπάνω κόσμον
τὸν νοητὸν καὶ νοερὸν καὶ ἄϋλον ἐκεῖνον
τοιαύτη, οὖσα καὶ αὐτὴ τῇ οὐσίᾳ καὶ φύσει,
ἐκεῖσε τούτων δέ τινος τῶν ὑλικῶν οὐ δεῖται
τοῦ ἐγκεφάλου οὐδαμῶς, οὔτε μὴν τῆς καρδίας,
πλὴν τό γε ταύτης ὀπτικὸν ὅπερ ὁ νοῦς τυγχάνει
σύνεστι πάντοτε αὐτῇ ἀχώριστος διόλου,
λοιπόν γε τοῦ προφορικοῦ λόγου ἐκεῖ οὐ χρεία
ἀλλ' ἢ τοῦ ἐνδιαθέτου, ὅς γε τυγχάνει πάντως,
ἐνθύμημα καὶ νόημα γεννήματα δὲ ταῦτα
τῆς ψυχῆς καὶ τοῦ νοός· ὄμμα γὰρ οὗτος ταύτης·
οὐχ ἕτερον γὰρ ἔχουσα παρ' ἑαυτὴν τὸν νόον
ἀλλ' ὅπερ ἐστὶν ὀφθαλμὸς ἐν σώματι, κυρία,
τοῦτο καὶ νοῦς ἐν τῇ ψυχῇ μέρος αὐτῆς τὸ κρεῖττον,
αὐτὸς γεννᾷ νοήματα ἀπαθῶς, ἀσωμάτως,
κινούμενος, ὡς δέδεικται, θεόθεν κατὰ φύσιν,
ἄνευ τινὸς γινόμενος ἐκφωνήσεως οὗτος,
προφορικὸς δὲ λέγεται λόγος καὶ ῥῆμα αὖθις
ὁ διὰ γλώσσης καὶ φωνῆς ἐξηχούμενος ἔξω,
καὶ τί μοι τὸ σωματικὸν παράδειγμα προβάλλῃ
τὸ αἰσθητὸν καὶ ὑλικὸν καὶ παχὺς καὶ γεῶδες,
κιθάραν καὶ κιθαρῳδόν, τὰ αἰσθητὰ γὰρ ταῦτα
πρὸς αἰσθητὰ συγκρίνονται καὶ παρεικάζονταί γε,
μὴ δόκει τὸ ἀσώματον οἷον δὴ καὶ τὸ σῶμα
κατὰ πολὺ ἀπέοικεν ἐκείνου τοῦτο ἴσθι,
ἀλλὰ δήπου τὸ ὅμοιον ὁμοίῳ συγκρινέσθω
τῶν ὁμοίων ἡ σύγκρισις, οὐχὶ τῶν ἀνομοίων·
λοιπὸν μὴ οἴου τὴν ψυχὴν ὥσπερ τυγχάνει ὧδε
περικειμένη σώματος τὸ βάρος καὶ τὸ πάχος

καὶ δίχα τούτου οὐδαμῶς ἐνεργεῖ τι τῶν ὧδε
τοιαύτην εἶναι καὶ ἐκεῖ ἐκδυσαμένη τοῦτο
ἀλλά γε καταλάμπεται καὶ φωτίζεται ὅλη
ὑπὸ τοῦ θείου μὲν φωτὸς ἐκείνου τοῦ μεγάλου
καθόσον καί γε ἐγχωρεῖ ἡ κάθαρσις ἡ ταύτης
ὥσπερ τὸ πῦρ εἰς σίδηρον διΐεται καὶ ἔνδον
πρὸς τὴν παχύτητα αὐτοῦ εὐπετῶς διαβαῖνον
τὸ ὅλον πῦρ ἐργάζεται πυρφόρον ἐξαστράπτον
καὶ γίνεται ὁ μελανός, φωτοειδής, ἐκλάμπων,
καὶ ὁ ψυχρός, πάλιν θερμὸς καὶ καίων ὑπὲρ φύσιν
καὶ ὁ ἁπτός, ἀπρόσιτος, ἄλλος ἐξ ἄλλου πέλων,
οὕτω μοι νόει ἔλλαμψιν καὶ φωτισμὸν ἐκεῖνον
ἐγγίνεσθαι ἐν τῇ ψυχῇ καὶ ἐνεργεῖν τῷ τότε
ἀντὶ πάντων τοῦ σώματος ὀργανικῶν μορίων
ὥστε καὶ λαλεῖν καὶ βλέπειν τὴν αὐτὴν καὶ ἀκούειν,
ἄριστα καὶ αἰσθάνεσθαι τῆς θείας χαρμοσύνης
καὶ λάμψεως Ἀγγελικῆς πρὸς δὲ καὶ θεωρίας
πρὸς τούτοις καὶ διαγωγῆς τῶν ἁπάντων δικαίων
πλὴν νοητῶν καὶ νοερῶς καὶ ἀσωμάτως λέγω.
πέφυκε δέ γε νοητὸν καὶ νοερόν, κυρία,
τὸ διαφεῦγον τὰς ἡμῶν αἰσθήσεις πέντε ταύτας
καὶ διὰ μόνου τοῦ νοὸς νοούμενον εὖ μάλα
ἀσώματος, ἀκάματος, ὅρασις θεία, ὄψις,
τὰ νοητὰ καὶ νοερὰ ἀκάμπτως ὁρῶσα
τοιούτου ὄντος καὶ αὐτοῦ ἀΰλον κατὰ φύσιν·
εἴρηται δέ γε νοερὸν ἐκ τοῦ ἐρᾶν τῶν ἄνω,
ἂν δὲ παράδοξον δοκῇ καὶ ξένον τὸ ῥηθέν σοι,
λέξω μικρὸν παράδειγμα καὶ γνοίεις ὅπερ εἶπον·
κατ' ὄναρ εἶδες πώποτε τοιάνδε θεωρίαν,
ὡς ἐν ἐκστάσει γε τυχόν, μεγάλην ἐκκλησίαν
λαμπράν, τερπνήν, ἐπέραστον, ὡραίαν καὶ τῇ θέσει
τῆς σῆς πατρίδος πόρρωθεν ἀπῳκισμένην πάντη
ἐκεῖσε ξένα κατιδών, θεάματα τοιάδε·
μαρμάρων βλέπεις καλλονὴν διαφορὰν ποικίλην
καὶ τῶν μουσῶν τὴν σύνθεσιν πρὸς δὲ καὶ τῶν ψηφίδων,
κηρία ἅπτοντα πολλὰ ἀλλὰ μὴν καὶ φατνία
καὶ τὴν λοιπὴν εὐπρέπειαν τῆς ἐκκλησίας πᾶσαν

ἀνθρώπους ἱεροπρεπεῖς, ἐντίμους, καὶ ὡραίους,
ἡδὺ τὸ μέλος ἐν αὐτῇ ᾄδοντας καὶ ὑμνοῦντας·
εὗρες ἐκεῖ καὶ φίλον σου, ὃν πρὸ πολλοῦ τοῦ χρόνου
οὔτ' εἶδες μὲν οὔτ' ἤκουσας τὶ περὶ τούτου ὅλως,
ἀλλ' εἶχες τούτου ἐφετῶς τὸ πρόσωπον ἰδέσθαι,
ᾧ προσλαλῆσαι ἔδοξας τὰ καταθύμιά σου
σὺ δὲ ἀρτίως. φράσον μοι, πῶς ἐκεῖ παραγένου;
τὸ σῶμα γάρ σου ἔκειτο ὑπνῶττον ἐν τῇ κλίνῃ
ἔμψυχον, ἔμπνουν, ζωηρόν, οὐκ ἄψυχον γε πάντως
σὺ μετὰ ποίου σώματος ἐκεῖσε παραγένου,
πόδες δὲ ποῖοι ἔδραμον καὶ ἀπῆλθον τ' ἐκεῖσε,
ὄμμα δὲ ποῖον ἔβλεπε τὸ ὂν ἐκεῖσε κάλλος,
ὦτα δὲ ποῖα ἤκουον τὰς ᾠδὰς ἐν τῷ ἤχῳ,
στόμα δὲ ποῖον τὸ ἐκεῖ καταφιλοῦν τοῦ φίλου,
προσομιλοῦν γε τῷ αὐτῷ φιλικῶς καὶ ἡδέως,
ἐρεῖς μοι πάντως ὅτι περ ἀσωμάτως τὰ πάντα
καὶ εἶδον καὶ μεμύηκα νοερῶς καὶ ἀΰλως
τοῖς νοεροῖς γε τοῦ νοὸς ὀφθαλμοῖς δηλονότι,
ὅπερ τυγχάνει ἀληθὲς καὶ ἄλλως πως οὐκ ἔστιν·
οὕτω μοι νόει καὶ ψυχὰς τὰς ἐκεῖ ἀνιούσας
ὡς δῆθεν αἰσθητήρια καὶ ἐνεργείας ἔχειν
τὸ ὀπτικόν, τὸ λαλητόν, τ' ἀκουστικὸν καὶ τ' ἄλλα,
πλὴν νοερὰ καὶ ἄϋλα, ὡς ἤδη σοι προέφην,
ἐν τούτοις πᾶσιν ἐνεργὸς ἡ θεία φύσις πέλει,
πρὸς πᾶσαν χρείαν τὴν ἐκεῖ καθυπουργοῦσα ταύταις
οὐκ ἀκοῆς δεήσονται οὐ γλώσσης τὸ παράπαν,
ἀλλ' ἄνευ τοῦ προφορικοῦ λόγου μεταδιδοῦσι
τὰ ἴδια νοήματα καὶ βουλεύματ' ἀλλήλαις
καθὼς καὶ πάντες Ἄγγελοι, αἱ οὐρανῶν δυνάμεις·
ἀλλὰ τὰ παραδείγματα τὰ αἰσθητά, κυρία,
τοῖς αἰσθητοῖς συγκρίνονται παρεικαζόμενά πως,
ἀδύνατον τὸ αἰσθητὸν τῷ νοητῷ συγκρῖναι
καὶ τό γε πάλιν νοητὸν πρὸς αἰσθητὸν καὶ σῶμα
οὔτε παρόμοιον τουτὶ τυγχάνει ἢ καλεῖται
οὔτε δὲ πάλιν ὅμοιον οὔτ' ἴσον, ὡς εἰκάζω,
ἀλλὰ καὶ πάνυ πέφυκεν ἀνόμοιον πρὸς τοῦ τοῦτο
ἀλλ' οὖν γε τὸ ἀσώματον, πρὸς ἀσώματα πάλιν

καὶ σῶμα αὖθις καὶ αὐτὸ πρὸς σῶμα εἰκαστέον
ἀσύγκριτα γὰρ πέλουσι τὰ ἄνα πρὸς τὰ κάτω
τὸ ἄϋλον πρὸς ἔνυλον, ἀσώματον πρὸς σῶμα·
εἰ δέ τις ἐθελήσειεν ὅλα συγκρίνειν ὅλοις,
οὐκ ἂν εἴη παράδειγμα ἀλλὰ ταὐτότης μᾶλλον,
μὴ δυναμένη γοῦν ἐγὼ τὸ νοερὸν συγκρίναι
σωματικὰ καὶ εἰπόν σοι παραδείγματα ὧδε·
μὴ δὴ μεφθείην παρὰ σοῦ μήτε μὴν παρ᾽ ἑτέρου
καὶ ἄκουσον τὸ αἴτιον τῆς ἐμῆς ἀγροικίας·
ὁ νοῦς γεννᾷ νοήματα ἀπαθῶς, ἀσωμάτως,
ἐν τῇ καρδίᾳ τῇ ἐμῇ ἀγνώριστα τοῖς πᾶσι,
δευτέραν γέννησιν αὐτὸς σωματικὴν ἣν θέμις
διὰ χειλέων ἀπορεῖ ἐκφράσαι καὶ γνωρίσαι
τὰ κεκρυμμένα ἔνδοθεν τοῖς πᾶσι ἀριδήλως
τὸ πῶς εἰπεῖν ἀμηχανῶ τὸν τρόπον οὐκ εἰδυῖα
ἃ ἡ καρδία μου γεννᾷ, γεννήσει ἀσωμάτῳ
σωματικῶς μὴ δύνασθαι γεννῆσαι διὰ λόγου
προφορικοῦ καὶ φανερὰ τοῖς πᾶσι καταστῆσαι·
εἰ γὰρ ἠδύνατο εἰπεῖν, ἔγνως ἂν ἴσως τούτου
τὸ χάρισμα τὸ δώρημα τὸ οἷον καὶ πηλίκον
παρὰ Θεοῦ ἀπείληφεν, ὢ θαῦμα κατὰ χάριν·
καὶ λέξω σοι ὑπόδειγμα καὶ εἴσῃ περὶ τούτου·
ὥσπερ γάρ, εἴτις ἀπελθὼν εἰς ἀλλόγλωσσον ἔθνος
ἐνδιατρίψει δὲ ἐκεῖ ἱκανὸν χρόνον, οὗτος
καὶ τὰ λαλούμενα νοεῖ παρ᾽ αὐτῶν ἐγρηκίζει
ἐκφράσαι δὲ ἀδυνατεῖ καὶ λέξαι διὰ γλώσσης
πρὸς τὴν αὐτῶν διάλεκτον καὶ ὁμιλῆσαι τούτοις,
τοιοῦτον δὴ παρόμοιον καὶ ἐπ᾽ ἐμοὶ συμβαίνει,
ἅπερ ὁ νοῦς μου γὰρ νοεῖ ἐν τῇ Γραφῇ τῇ θείᾳ.
διὰ χειλέων ἀπορεῖ καὶ γλώττης ταῦτ᾽ ἐκφράσαι,
ἀλλ᾽ ὅθεν οὖν ἐξέβημεν ἐπανιτέον πάλιν
καὶ πρός γε πλείω πίστωσιν καὶ βεβαίωσιν σοῦ γε
καὶ τῶν λοιπῶν, οἵγε τινες ἐντρυφῶσι τοῖς ὧδε,
προσθήσομεν καὶ Γραφικὰς ἐνταῦθα μαρτυρίας
καὶ δείξωμεν ὡς ἐναργεῖς εἶναι ψυχὰς ἐκεῖσε
καὶ ἄκουσον καὶ τί φασι καὶ αὗται περὶ τούτων

Κυρίλλου — Μαξίμου.

Ἡ λογικὴ ψυχὴ καὶ νοερὰ καὶ μετὰ τὴν τοῦ σώματος ἀναχώρησιν καὶ ζῇ καὶ ἀναμένει καὶ λαλεῖ καταλλήλως καὶ ἐνεργεῖ ὡσαύτως· οὐ φαντασιωδῶς ἀλλ' ἀληθῶς καὶ οὐσιωδῶς καὶ πρὸς Θεὸν ἔχουσα παρρησίαν· καὶ αὐτοῦ προστάσσοντος ἀποστέλλεται εἰς τόν δε τὸν κόσμον δι' ἑτέρων πολλῶν εὐεργεσίαν· καὶ γὰρ ἀεικίνητος οὖσα, οὐδέποτε ἀνενέργητος μένει· Θεὸς ἄρα νεκρῶν οὐκ ἔστιν ἀλλὰ ζώντων· πάντες γὰρ αὐτῷ ζῶσιν· εἰ δὲ οὐκ ἐνεργοῦσιν, ὡς δοκεῖ τοῖς πολλοῖς, οὐδὲ ζῶσι· τὸ γὰρ μὴ ἐνεργεῖν σωμάτων ἐστὶν νεκρῶν καὶ ἀκινήτων· ὁ Θεὸς τῶν πνευμάτων δηλονότι τῶν ψυχῶν· πνεύματα δὲ νεκρὰ καὶ ἀνενέργητα εἶναι οὐδέποτε δύναται· φασὶν οὖν οἱ τρεῖς παῖδες· εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων τὸν Κύριον· καὶ τὸ εὐλογεῖν καὶ ὑμνεῖν τὰς τῶν δικαίων ψυχὰς οὐ καθευδόντων ἢ ἀργῶν ἀλλ' ἐνεργούντων ἐστί· καὶ ὅτι ὁ βλέπων Ἀγγέλων ὀπτασίαν, Ἀγγέλους ὁρᾷ· καὶ ὁ ψυχὰς ἁγίων θεωρῶν, ψυχὰς ἁγίων βλέπει· καὶ οὐ περιστραφήσεται τάξις ἐπὶ τάξιν· ἀλλ' ἕκαστος μένει ἐν τῷ ἰδίῳ τάγματι· εἰ καὶ ὅτε τῷ σώματι συνδέεται ἡ ψυχὴ ἡ πολλάκις ἐπὶ κλίνης τούτου κοιμωμένου αὐτὴ κατὰ τὴν ἑαυτῆς δύναμιν γρηγορεῖ καὶ τὰ ὑπὲρ γῆν φαντάζεται καὶ θεωρεῖ, καὶ τοῖς ἔξωθεν τῶν γηΐνων σωμάτων ἁγίους συναντᾷ· εἰ τοίνυν συναντᾷ καὶ πρὸς αὐτοὺς ἀφικνεῖται τῇ τοῦ νοῦ θεωρίᾳ, πῶς οὐχὶ μᾶλλον καὶ πολλῷ πλέον ἀπολυθεῖσα τοῦ σώματος, ὅτε ὁ συνδήσας αὐτὴν βούλεται οὐσιωδῶς, ὅπου δ' ἂν αὐτὸς θέλῃ ἀποστέλλεσθαι ταύτην δι' εὐεργεσίαν ἑτέρων καὶ ὠφέλειαν· μηδεὶς οὖν ἀπατάσθω· τῶν ἁγίων γὰρ αἱ ψυχαί, τῶν Ἀγγέλων ἐγγὺς οὖσαι, παραπλησίως καὶ αὗται τὰς δυνάμεις τελοῦσι· Θεὸν ἔχουσα ἀρωγὸν καὶ συλλήπτορα, καὶ σὺν αὐτοῖς τοὺς ὕμνους καὶ τὰς ὑπὲρ ἡμῶν δεήσεις τῷ Θεῷ διηνεκῶς προσάγουσιν καὶ οὐδέποτε καθεύδουσιν· ὅτι δὲ ἐν οὐρανοῖς εἰσὶ τῶν ἁγίων αἱ ψυχαί, Γρηγόριος ὁ Νύσης φησί· μὴ οὖν ἀχθεσθῶμεν ἀδελφοὶ τῶν γηΐνων ἀπολυόμενοι· ὁ γὰρ ἐντεῦθεν μεταστὰς ἐν τοῖς τῶν οὐρανίων βασιλείοις αὐλίζεται· δύο ταῦτα ἔστι στοιχεῖα ἐν τῇ τῶν ὄντων κτίσει πρὸς διαγωγὴν τῆς λογικῆς φύσεως μεμερισμένα· ἡ γῆ τε καὶ ὁ οὐρανός· τόπος τῶν διὰ σαρκὸς εἰληχότων τὴν ζωὴν εἶναι ἡ γῆ, ὁ δὲ οὐρανὸς τῶν ἀσωμάτων· ἀνάγκη τοίνυν πάντως εἶναι που τὴν ἡμετέραν ζωήν· ἐὰν οὖν μὴ διωχθῶμεν ἀπὸ τῆς γῆς, τῇ γῇ πάντες ἐναπομένομεν· ἐὰν δὲ ἐντεῦ-

θεν ἀπέλθωμεν ἐπὶ τὸν οὐρανὸν μετοικισθησόμεθα· καὶ οὐ μόνον ἀναγνωριοῦσιν αἱ ψυχαὶ ἀλλὰ καὶ κρεῖττον ἢ ὅτε ἐν τῷ βίῳ συνοῦσαι ἀλλήλας ἐγνώριζον· ναὶ δὴ καὶ συνευφραινόμεναι τῆς ἀφράστου καὶ μακαρίας ἐκείνης καὶ ἀνεπινοήτου τῶν θεαμάτων αἴγλης, τρυφῶσι τὴν ἀπόλαυσιν, ὅτι δὲ μετὰ τὴν διάζευξιν τοῦ σώματος ἐνεργοῦσιν αἱ ψυχαί, διδάσκει ἡμᾶς ὁ μέγας κήρυξ Ἀθανάσιος· φησὶ γὰρ ἐν τῷ κατὰ εἰδώλων λόγῳ αὐτοῦ τοιαῦτα. Εἰ καὶ ψυχὴ τὸ σῶμα κινεῖ, ἀκόλουθον ἐστὶν ὑφ' ἑαυτῆς κινουμένην τὴν ψυχὴν καὶ μετὰ τὴν εἰς γῆν ἀπόθεσιν τοῦ σώματος κινεῖσθαι πάλιν αὐτὴν ὑφ' ἑαυτῆς· οὐ γὰρ ἡ ψυχὴ ἐστὶν ἡ ἀποθνήσκουσα ἀλλὰ διὰ τὴν ταύτης ἀναχώρησιν ἀποθνήσκει τὸ σῶμα· ὧν γὰρ ἡ φύσις μία τούτων καὶ αἱ ἐνέργειαι αἱ αὐταί· ὧν δὲ τὸ ἔργον ἴσον τούτων μισθὸς ὁ αὐτός· ἀμέλει, κατὰ τοὺς Ἀγγέλους τοῦ σωματικοῦ λυθεῖσα δεσμοῦ ἀναβαίνει τε καὶ καταβαίνει καὶ ἀποστέλλεται δι' εὐεργεσίαν καὶ ὠφέλειαν ἑτέρων ὡς ἁγία καὶ ἀγαθή· καὶ πᾶσα ψυχὴ δικαίου μετὰ Ἀγγέλων συγχορεύει καὶ συναγάλλεται· τὸ δὲ συγχορεύειν Ἀγγέλοις, ἐνεργείας εἶδος ἐστὶ καὶ οὐχὶ ἀργίας· τῶν ἁγίων γὰρ αἱ ψυχαὶ πρὸς τὸν σκοπὸν τῆς ἀληθινῆς καὶ ὁμοτίμου τοῖς Ἀγγέλοις δουλείας εἰσὶν ἀπευθυνόμεναι· δουλεία δὲ τῶν Ἀγγέλων ἡ πρὸς τὸν Θεὸν ἀκατάπαυστος δοξολογία, καὶ τὸ λειτουργεῖν καὶ διακονεῖν καὶ ἀποστέλλεσθαι καὶ βοηθεῖν τοῖς δεομένοις καὶ χειραγωγεῖν τοὺς πεπλανημένους πλὴν οὔτε οἱ ἅγιοι Ἄγγελοι οὔτε τῶν ἁγίων αἱ ψυχαὶ θείας κελεύσεως δίχα τὰς ἐμφανείας ποιοῦνται ποτέ· ἀλλὰ μὴν καὶ περὶ τῶν μείζω συγγνώμης ἐξημαρτηκότων, καὶ γὰρ ἐκεῖνος ὁ ἐν φιλανθρωπίᾳ πένης καὶ πλούσιος τὴν ὠμότητα τὰς εὐθύνας, ὧν ὤφειλεν εἰσπραττόμενος οὐδὲ τῶν ἀδελφῶν ὑπερεώρα τὴν πρόνοιαν· ὡς ἂν ἐπανελθὼν ἐπιστρέψῃ πρὸς τὴν ἀρετὴν ἀπὸ κακίας τοὺς ἐξ αἵματος· καὶ τῆς μελλούσης αὐτοὺς τιμωρίας ἐξαρπάσειεν· εἰ γὰρ καὶ δίκην διδόασιν ὧν ὀφείλουσιν ἀλλ' οὐ δήπου καὶ τὸ νοερὸν αὐτοῖς εἰς ἄνοιαν λόγῳ τιμωρίας περιτρέπεται· ὧν γὰρ μετὰ σαρκὸς εἶχον ἀσφαλῆ τὴν εἴδησιν, οὐ μόνον ἐλάττους φανεῖν τῆς προϋπαρχούσης γνώσεως, ἀλλὰ καὶ πρὸς ἀκριβεστέραν κατάληψιν ἀναφέροιντο· καὶ οὓς κοινωνοὺς εἶχον ἐπὶ τῶν πράξεων τῶν ἀτόπων τοῖς λογισμοῖς συνδιαμνημονεύεσθαι ἔχουσιν, πλὴν δοῦλος δοῦλον οὐκ ἐλευθεροῖ ἀλλ' οὔτε νεκρὸς νεκρὸν ζωοποιεῖν δύναται.

Εἰ οὖν ὁ καθεύδων τῶν μεθημερινῶν φροντίδων εἰκόνας ἐν ὀνείροις φέρει καὶ μέμνηται τῶν παρ' αὐτοῦ πραχθέντων, ὡς καὶ τῷ

μεγάλῳ δοκεῖ Βασιλείῳ, καὶ περὶ αὐτῶν ἐν ὀνείροις ἡ ψυχὴ αὐτοῦ ἑτέροις καὶ ἑαυτῇ διαλέγεται· καὶ πάλιν ἀφυπνιζόμενος τῶν δραθέντων αὐτῷ καθ' ὕπνους ἐναργῶς ἐπὶ τὸ μνημονευτικὸν τῆς ψυχῆς αὐτοῦ φέρει πολλῷ μᾶλλον τῶν πεδῶν ἡ ψυχὴ μετὰ θάνατον ἐλευθερωθεῖσα τοῦ σώματος· καὶ γυμνὴ τῶν ἑαυτῆς γενομένη παθῶν καθαρώτερον τὸ μνημονευτικὸν αὐτῆς τότε φέρουσα, καὶ τὴν νοερὰν αἴσθησιν, τῶν ἑαυτῆς τρανότερον μνησθήσεται πράξεων· ἢ ὅτε ἔτι ζῶν καὶ καθεύδων· οὐ μόνον δέ, ἀλλὰ καὶ τῶν δι' αὐτὴν ἢ ὑπὲρ αὐτὴν γινομένων κατὰ τὴν νοερὰν αἴσθησιν αὐτῆς αἰσθανθήσεται· ὡς ἐν Θεῷ ζῶσα καὶ σὺν Ἀγγέλοις αὐλιζομένη καὶ συνδιαιτωμένη αὐτοῖς· καὶ εἰ ζῶσι πάντες οἱ εὐσεβῶς ζήσαντες, κἂν ἐνθένδε ἀπαλλαγῶσιν, ὡς ὁ Λόγος φησὶ καὶ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς γὰρ οὐ Θεὸς νεκρῶν ἀλλὰ ζώντων, πάντως ζῶσιν αὐτῷ· καὶ αἴσθησίς τις ἐστίν· οὐ γὰρ τῶν νεκρῶν ἡ αἴσθησις ἀλλὰ τῶν ζώντων εἰ δὲ αἴσθησις, καὶ μνήμη τῶν ὑπ' αὐτῶν γεγονότων ποτέ· μνημονεύουσαι μὲν τῶν ἀρετῶν ἔργων αὐτῶν καὶ νοερῶς αἰσθανόμεναι τῶν δι' αὐτῶν γινομένων ἐνταῦθα εὐποιϊῶν τε καὶ προσευχῶν· εἰ γὰρ ὁ ζῶν ἔτι εὐσεβῶς καὶ δικαίως γρηγορῶν καὶ καθεύδων Ἄγγελον εἰρήνης ὁδηγὸν ἔχει καὶ φύλακα, ὡς φησὶ τὸ ὅσιον λόγιον, φρουροῦντα τοῦτον καὶ σκέποντα, πῶς οὐχὶ μετὰ πότμον αὐτόν τε καὶ τοὺς συλλειτουργοὺς ἕξει τούτου συνδιαιτωμένους αὐτοῦ τῇ ψυχῇ καὶ οἷον τὴν μνήμην κινοῦντας αὐτῆς εἰς τὸ μνημονεύειν τῶν παρ' αὐτῆς γεγονυιῶν ποτε πράξεων ἀγαθῶν ἐν τῷ βίῳ ἢ καὶ ἀναγγέλλοντας αὐτῇ Ἀγγέλους ὄντας καὶ νοερῶς ἐμφανίζοντας τὰ ὑπὲρ αὐτῆς ἐνταῦθα, νόμῳ θείῳ, παρὰ τῶν ἀνθρώπων γινόμενα καὶ μάρτυς ὁ ἐν τῇ φλογὶ τηγανιζόμενος πλούσιος μεμνημένος τῶν ἑαυτοῦ ἀδελφῶν· εἰ δὲ λέγει τις διὰ τὸ παραβολικῶς τοῦτο ὑπὸ τοῦ Κυρίου εἰρῆσθαι, οὐκ ἔχει συμβαίνουσαν πάντως ἐπὶ τῶν πραγμάτων τὴν ἀλήθειαν· ἐρωτῶ μαθεῖν· πότερον αἱ παραβολαί, μελλόντων πραγμάτων εἰκόνες εἰσὶν ἢ οὔ; εἰ οὖν εἰσίν, οὐ κενὰς ἔχουσιν ἄρα αἱ παραβολαὶ τὰς ἀποδείξεις τῶν ἱστοριῶν· ἀλλ' ἐσομένας· εἰδ' ἐσομένας καὶ ἀψευδεῖς, ἀληθεῖς ἄρα καὶ ὑπὲρ ἀληθινῶν καὶ μελλόντων γενέσθαι πραγμάτων αἱ παραβολαί· ἐπεὶ οὐκ ἂν οὐδαμῶς οὐδεὶς εἰπεῖν ἰσχύσῃ παραβολὴν μὴ δυναμένου πράγματος γενέσθαι ποτέ. Παραβολὴ τοίνυν ἐστὶ λόγος ἐξ ἐνεστώτων πραγμάτων, μηνύων τὸ μέλλον· ἢ μέλλοντος πράγματος γενέσθαι εἰκών· ἢ ἐσομένων πραγμάτων ἐμφερὴς εἰκὼν καὶ παράλληλος ἔμφασις·

εἰ οὖν μὴ ὡς ὑπὲρ μέλλοντος γενέσθαι πράγματος ταύτην ῥηθῆναι πιστεύσωμεν, σπερμολόγον ἄρα τὸν ταύτας εἰρηκότα ἡγησόμεθα λόγους εἰπόντα τυχὸν περὶ ἀνυποστάτων καὶ ἀδυνάτων πραγμάτων γενέσθαι μὴ δυναμένων ποτέ· ὢ τῆς βλασφημίας! αἱ τῶν ἁγίων ψυχαὶ θεοειδεῖς εἰσὶ πεπληρωμέναι δόξης ἐνθέου καὶ ἀκραιφνεστάτου φωτὸς καὶ λάμπουσιν, ὡς ὁ ἥλιος· αὗται, διὰ τῶν ἀπαγόντων φίλων Ἀγγέλων πρὸς τὸ πρῶτον φῶς, τὸ καὶ Ἀγγέλοις ἀκατανόητον, αὐτὸν τὸν Θεόν, οἷα φῶτα δὴ φανὰ τρίτης τάξεως διὰ δευτέρων φώτων ἀνέρχονται· εἶθ' οὕτως, ὡς φίλῳ φίλη καθαρῶς ἑκάστη τούτων συνάπτεται, νεύματι θείῳ, ἐκείνῳ τῷ τάγματι, οὗ τὸ τῆς ἀναστάσεως χάρισμα ἔλαβε· καὶ συνευφραίνεται μέχρι τῆς μελλούσης γενέσθαι κοινῆς ἀναστάσεως πρὸς Θεοῦ· μερίζονται δὲ τὰ ἐπουράνια τάγματα πάντα, εἰς μέρη καὶ τάξεις τρεῖς· ἔστι δὲ ὁ πρῶτος τριαδικὸς διάκοσμος, Θρόνοι, Χερουβίμ, Σεραφίμ· οὗτοι εἰσὶν οἱ τόποι τῆς ἀναπαύσεως ἔνθα τὸ ὕδωρ τῆς ζωῆς ἐστιν ὁ Θεός· ἐπὶ θρόνου δόξης καθήμενος καὶ ἀπονέμων ἑκατονταπλασίους τὰς ἀμοιβὰς τοῖς εἰς τὸ τέλειον τοῦ ἑκατοστοῦ μέτρου καρποφορήσασιν· ὁ δὲ δεύτερος, Κυριότητες, Δυνάμεις καὶ Ἐξουσίαι οὗτοι εἰσὶν οἱ χλοεροὶ τῆς ἀναψύξεως τόποι, ἡ χλόη τῆς τοῦ Ἁγίου Πνεύματος ἀναπαύσεως παρέχοντος πολλαπλάσια τὰ βραβεῖα τοῖς εἰς τὸ μέτρον τοῦ ἑξηκοστοῦ καρποφορήσασι. ὁ τρίτος δέ, Ἀρχαί, Ἀρχάγγελοι, Ἄγγελοι· οὗτοι εἰσὶν οἱ φωτεινοὶ καὶ θεῖοι τόποι, ἔνθα ἡ σκηνὴ τῆς καταπαύσεως, οἱ καινοὶ οὐρανοὶ καὶ ἡ καινὴ γῆ καὶ ὁ ἥλιος τῆς δικαιοσύνης ἐστὶν ὁ Χριστός, ὁ Θεὸς ἡμῶν· ἀποδιδοὺς τοὺς τῆς δικαιοσύνης στεφάνους τοῖς εἰς τριάκοντα τὸν στάχυν τῆς προστασίας καὶ τῆς ἀντιλήψεως τῶν δεομένων πολύχουν καρποφορήσασιν· ὅστις τῶν καθ' ἡμᾶς ἱερῶν ἀνδρῶν τὸ ἴδιον κτήσεται μιᾶς ἱεραρχίας καὶ τάξεως τῶν ἄνω δυνάμεων, ἧς ἀναπληροῖ τὸν τόπον ἐν τῇ ἐκκλησίᾳ ἡ καθ' ἡμᾶς ἱεραρχία· ἐν ἐκείνῃ καὶ μὲ ἀ πότμον ἀνερχόμενος καὶ συναπτόμενος αὐτῇ ἀναπαύεται· τόπον αὐτὴν εὑρίσκων Θεοῦ φωτεινὸν ἀναπαύσεως. Αἱ δὲ ψυχαὶ τῶν ἁμαρτωλῶν αὗται ὡς πλήρεις ζόφου καὶ δυσοσμίας καὶ ῥύπου παρὰ κολαστῶν Ἀγγέλων καὶ σκοτεινῶν ἀβουλήτως καὶ μετὰ φόβου δεινοῦ τρόμου τε καὶ δειλίας εἰς ᾍδου μυχούς, εἰς φρουρὰν δνοφερὰν ἀπαγόμεναι παραδίδονται φρουράρχοις πνεύμασιν ἀκαθάρτοις· ἔνθα ὁ τοῦ σκότους ἄρχων εἰς πυρὸς αἰωνίου τηρεῖται ὑπέκκαυμα μετὰ τῶν ὁμοίων αὐτοῦ. Ἰστέον δὲ ὅτι αἱ μυστικαὶ τελεταὶ καὶ θυσίαι ὑπὲρ τῶν ἁμαρτόν-

των ἁμαρτίαν τὴν πρὸς θάνατον γινόμεναι, μάτην γίνονται· τοῖς δὲ μὴ οὕτως ἁμαρτήσασιν ὠφελοῦσι τὰ μέγιστα· πρὸς θάνατον οὖν ἁμαρτία ἐστὶν ἡ ἀπιστία καὶ ἡ ἀπόγνωσις· καὶ τὸ μὴ μετανοεῖν καὶ ἡ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημία καὶ τὸ ἀρνήσασθαι τὸν Χριστὸν καὶ τὸ αἱρετικὸν ἀποθανεῖν ἐν αἱρέσι τινί.—Περὶ τοῦ πῶς ἐπιτελοῦμεν τρίτα καὶ ἔννατα καὶ τεσσαρακοστά, χρὴ καὶ τοῦτο γινώσκειν ὅτι τὰς τεσσαράκοντα ἡμέρας τοῦ παλαιοῦ πένθους τριχῇ διελόντες οἱ Ἀπόστολοι καὶ τρίτα καὶ ἔννατα καὶ τεσσαρακοστά, οὕτω γὰρ καὶ αὐτὸς ὁ Κύριος μετὰ τὴν τριήμερον αὐτοῦ ἔγερσιν ἐφανέρωσεν ἑαυτὸν τοῖς μαθηταῖς τῶν θυρῶν κεκλεισμένων καὶ ἐνεφύσησεν αὐτοῖς λέγων, λάβετε πνεῦμα ἅγιον, καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν· ἰδοὺ μετὰ τὴν ἀνάστασιν ἐντὸς τῶν ὀκτὼ ἡμερῶν δεύτερον ἐφάνη αὐτοῖς· εἰπὼν οὖν ὁ εὐαγγελιστὴς μεθ' ἡμέρας ὀκτὼ τὴν ἀναστάσιμον ἡμέραν οὐ συνηρίθμησε· μετ' ἐκείνης γὰρ ἐννέα καταριθμοῦνται· κατὰ γοῦν τὸν τύπον τοῦτον ἡμεῖς ἀπὸ τῆς ταφῆς ἕως τῶν ἐννάτων δεύτερον τὰς μνήμας τῶν ὁσίως κεκοιμημένων ἐπιτελοῦμεν· ὁμοίως δὲ καὶ τὰ τεσσαρακοστά, ἐπειδὴ τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνελήφθη ὁ Κύριος. Ἰδοὺ δή σοι ἀπέδειξεν ὁ λόγος ὅτι αἱ ψυχαὶ τῶν δικαίων οὐκ εἰσὶν ἀνενέργητοι ἀλλ' ἐνεργεῖς· εἰ δὲ θέλεις μαθεῖν ἀκριβέστερον περὶ τούτων· ἀνάγνωθι λόγον Εὐστρατίου Πρεσβυτέρου τῆς μεγάλης Ἐκκλησίας ἀνατρεπτικὸν πρὸς τοὺς λέγοντας μὴ ἐνεργεῖν τὰς τῶν ἀνθρώπων ψυχὰς μετὰ τὴν διάζευξιν τῶν ἑαυτῶν σωμάτων· κἀκεῖ εὑρήσεις πρὸς τὸ ζητούμενον Γραφικὰς μαρτυρίας πολλὰς καὶ διαφόρους ἀπό τε τῆς παλαιᾶς καὶ νέας Γραφῆς θαυμαστὰς καὶ ἐξαισίους καὶ λυθήσεταί σοι πᾶσα ἀμφιβολία καὶ δισταγμός.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ψυχή. Καί, εἴπερ τοῦτο ἀληθές, ὡς ἤδη ἀπεδείχθη,
καὶ τῶν ἁγίων αἱ ψυχαί, τῶν ἤδη ἀπελθόντων,
ἐν οὐρανοῖς ἀπέρχονται, οὗ ὁ Χριστὸς τυγχάνει
ἐν δεξιᾷ καθήμενος τοῦ Πατρὸς τοῦ ἰδίου
ἔνθα καὶ πάντες Ἄγγελοι οὐρανῶν αἱ δυνάμεις,
ἄλλο λοιπὸν καὶ τί ἐστίν, ὃ προσδοκῶμεν μεῖζον,
ὡς ἄλλοτε προείρηκας ἐν τῷ δευτέρῳ λόγῳ,
εἰς τό γε δέκατον αὐτοῦ κεφάλαιον, ὦ βούλη,

εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ βασιλείαν
ἀπολαβεῖν εἰς ἀμοιβὴν καὶ μισθὸν τῶν καμάτων
ἔσται γὰρ ταύτης πλέον τι τῆς χαρᾶς καὶ τῆς δόξης ;
Σάρξ. Ἐπὶ Θεοῦ οὐ πέφυκε μείζων δόξα καὶ μείων
οὐ γὰρ δοξάζεται ποτὲ τό γε δεδοξασμένον
τυγχάνει γὰρ ἀπροσδεὲς πάσης δόξης τὸ θεῖον·
ἔστι γὰρ τέλειον ἀεὶ οὐ δέεται προσθήκης,
ἐπὶ ψυχῶν δὲ πέφυκεν ἀνάβασις προσθήκης
καὶ αὔξησις καὶ προκοπὴ τῆς χαρᾶς καὶ τῆς δόξης
καὶ εὐφροσύνη μέγιστος καὶ ἡδονὴ ὡσαύτως
παρὰ Θεοῦ τοῦ ἀγαθοῦ, ὅταν ἐν δόξῃ ἔλθῃ,
καὶ αὗται ἀπολάβωσι τὰ σώματα αὐτῶν γε
τῷ τότε δοξασθήσονται καθὼς χρὴ δοξασθῆναι
τὸ πλῆρες τότε λήψονται δωρεᾶς Χριστοῦ μου,
φημὶ ὑπερεκπερισσοῦ τρανότερον καὶ μεῖζον,
ἐξ ἡδονῆς εἰς ἡδονὴν ἀπὸ δόξης εἰς δόξαν
τὰ νῦν δ' οὐ πλήρη πέφυκε μερικὰ δέ γε πάντως·
ἀπόντος γὰρ τοῦ σώματος οὐ χρὴ λαβεῖν ἐκείνας
μονομερῶς τὰς ἀμοιβὰς τῶν πόνων καὶ ἱδρώτων,
ὁπόταν τοίνυν ὁ Χριστὸς ἐκ τῶν νεκρῶν ἀνέστη
καὶ κεκλεισμένων τῶν θυρῶν πρὸς μαθητὰς εἰσῆλθε
καὶ τὴν εἰρήνην ἔδωκεν ἐμφυσήσας αὐτοῖς γε
λάβετε Πνεῦμα ἅγιον προσεφώνησε τούτοις,
ἆρ' οὖν ὁλόκληρον αὐτὸ ἔλαβον οὗτοι τότε ;
οὐχί· μὴ δίσταζε ποσῶς μήτε ἀμφίβαλέ μοι,
ἀλλ' οὖν γε χάριν μερικὴν πρὸς τὸ δεσμεῖν καὶ λύειν
τῶν πιστευσάντων εἰς Χριστὸν ἀνθρώπων ἁμαρτίας,
ἐν δέ γε τῇ πεντηκοστῇ τότε ὅλον διόλου
ἀνελλιπὲς ὁλόκληρον ἔλαβον δὴ τὸ Πνεῦμα·
τοιοῦτον δὴ παρόμοιον ἐν ταῖς ψυχαῖς μοι νόει,
εἰς τὴν δευτέραν ἔλευσιν Χριστοῦ καὶ βασιλείαν,
καθότι καὶ προείπομεν εἰς λόγον δὴ τὸν τρίτον
εἰς τό γε τέταρτον αὐτοῦ κεφάλαιον, ὡς θέμις,
ἀλλ' εἴπω σοι παράδειγμα κἀκτούτου εἴσῃ πλέον,
πολλοὶ πατοῦσι τὰς αὐλὰς τῶν ἀνακτόρων ὧδε
καὶ βλέπουσι τοὺς βασιλεῖς καὶ ἐξυπηρετοῦσιν
καὶ χρόνους ἐκδουλεύουσι τινὲς πολλοὺς πολλάκις.

ὑστέρως δέ γε παρ' αὐτῶν δοξάζονται πρεπόντως
εὐεργετοῦνται πάμπολλα πλουτοῦσιν ὑπερμέτρως
ἐν ἀξιώμασι λαμπροῖς καὶ ἐν τιμαῖς πλειόνως,
καὶ κτήματα καὶ χρήματα λαμβάνουσιν ἀθρόως
κατὰ τὸν κόπον ἕκαστος τὸν ἴδιον καὶ πόνον·
τοιοῦτον δή τι νόμιζε ἐπὶ ψυχαῖς δικαίων
περιπολοῦσι τὰς αὐλὰς τοῦ Θεοῦ τἀνῦν αὗται
καὶ τοῦ Χριστοῦ τὸ πρόσωπον, ὡς ἐφικτόν, ὁρῶσιν
εἰς δὲ τὴν ἔλευσιν αὐτῶν ἐκείνην τὴν δευτέραν
ὁπόταν ἀπολάβωσι τὰ σώματα τὰ τούτων,
τῷ τότε, καὶ τὰς ἀμοιβὰς τῶν πόνων κομιοῦνται
καὶ τότε δοξασθήσονται καθὼς χρὴ δοξασθῆναι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πρὸς τοὺς λέγοντας ὅτι ὁ Χριστὸς μετὰ τοῦ ληστοῦ εἰσῆλθεν εἰς τὸν ἐν τῇ γῇ αἰσθητὸν παράδεισον ὡς καὶ πᾶσαι αἱ ψυχαὶ τῶν ἁγίων.

Ἄρτι τοῦ Χριστοῦ σταυρωθέντος καὶ ἀναστάντος τοῖς πιστοῖς ἡμῖν ἀπό γε τοῦ παρόντος χρεία οὐκ ἔστι τοῦ αἰσθητοῦ παραδείσου· τῆς εἰς οὐρανοὺς εἰσόδου πᾶσιν ἀνοιγείσης, ἐπαγγελλομένης ἀεὶ παρ' αὐτοῦ, ἵνα καὶ ἡμεῖς ὦμεν ὅπου αὐτὸς ἐστί· φησὶ γὰρ ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε· καίτοι τὸ τοῦ Δαμασκηνοῦ φέρεις εἰς συνηγορίαν τῆς σῆς ὑπολήψεως· «ἐν τάφῳ λέγοντος σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν παραδείσῳ δὲ μετὰ ληστοῦ»· εἰ γὰρ καὶ λέγει ἐν τούτοις πᾶσι γενέσθαι τὸν Χριστὸν ἀλλὰ τῇ Θεότητι μόνῃ ὡς πάντα πληροῦντα· τῷ δὲ ἡμετέρῳ φυράματι τῆς σαρκός, αὐτὸς ὑπόστασις ὅλος γεγονὼς ἀνῆλθεν εἰς οὐρανούς, καὶ ὁδὸν ἡμῖν ἐνεκαίνισεν εἰς αὐτούς· ἵνα κατὰ τὸ θεῖον τούτου ἐπάγγελμα ὅπου ἐστὶν αὐτὸς καὶ ἡμεῖς ὦμεν· ἔφη γάρ, ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οἴδατε· καὶ τὴν ὁδὸν οἴδατε· ἵνα ὅπου εἰμὶ ἐγὼ καὶ ὑμεῖς ἦτε. Εἰς τοῦτον γὰρ ἁρπαγεὶς ὁ Παῦλος καὶ εἰσελθὼν ἤκουσεν ἄρρητα ῥήματα, εἰς ὃν ἐμφαίνει παράδεισον· ὃν σὺ κατὰ τὸ γράμμα νοῶν τὴν θείαν Γραφὴν οὐ νενόηκας· ἀλλὰ σκόπει μοι περὶ τούτου τὸν Παῦλον οὕτω διηγούμενον Κορινθίοις : οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα : τούτου οὖν γνῶσι τοῦ Παραδείσου τετετύχηκεν. καὶ ὁ μέγας Βασίλειος ὑπεράνω τοῦ οὐρανοῦ τῶν οὐρανῶν ἔνθα κάθηται ὁ

Υἱὸς τὴν ἡμετέραν φύσιν ἔχων τοῦ φυράματος ἐν δεξιᾷ τοῦ Πατρός: ὅτι δὲ περὶ τούτου καὶ οὐ περὶ τοῦ ἐπιγείου ὁ λόγος τῷ Παύλῳ δῆλον, ἐξ ὧν ἐπάγει καὶ ἐπιβεβαιοῖ τὸν λόγον αὐτὸς ἑαυτοῦ· μετὰ γὰρ τὸ εἰπεῖν οἶδα ἄνθρωπον ἕως τρίτου ἁρπαγέντα οὐρανοῦ ἐπήγαγεν εἰπών: οἶδα τὸν τοιοῦτον ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον: Εἰ δὲ περὶ τοῦ ἐπὶ γῆς παραδείσου ὁ λόγος ἦν αὐτῷ, εἶπεν ἂν ὅτι ἐκεῖθεν κατῆλθεν εἰς τὸν Παράδεισον· ἀλλ' ἔδειξεν ὅτι καὶ αὐτὸν τὸν τρίτον οὐρανὸν διελθὼν εἰς ὕψος ἔτι μέγα ἡρπάγη. ἐν ᾧ ἐστὶν αὐτὸς ὁ Θεός· οὗτος ἐστὶν ὁ Παράδεισος, εἰς ὃν ἡρπάγη ὁ Παῦλος, ἐν ᾧ ὁ Γρηγόριος καὶ ὁ μέγας μετὰ τῶν λοιπῶν ἁγίων εἰσῆλθε Βασίλειος· εἰς τὰ ἀπέραντα καὶ θεῖα καὶ αἰώνια ἀγαθὰ ἐκεῖνα ἃ ὀφθαλμὸς οὐκ οἶδε τεθολωμένος τοῖς πάθεσι· καὶ οὖς βεβυσμένον ἐξ ἀπιστίας οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη ῥυπαρὰν καὶ γεώδη.

Σάρξ. Ἰδοὺ κυρία εἰπόν σοι μερικῶς, ὡς ἐχώρουν,
εἰς ὅσα ἤρου με τὰ νῦν καὶ τὰ ζητήματά σου
ἐλύσαμεν ὡς δύναμις, Θεοῦ τῇ συνεργίᾳ·
καὶ πῶς τὰς ἄνω λογικὰς προϋπέστησε φύσεις
τὰς κάτω πῶς προβάλλεται δημιουργῶν εἰσέτι
καὶ ὅτι ἴσαι αἱ ψυχαὶ τῶν ἀπάντων ἀνθρώπων
οὐκ ἔχουσαι διαφορὰν ἐν τῇ αὐτῶν οὐσίᾳ
καὶ ὅτι περ οὐχ ὁ Θεὸς ὁ ποιῶν τοὺς ἀνθρώπους
τὸν μὲν σοφὸν καὶ σώφρονα τὸν δὲ μωρὸν καὶ πόρνον,
καὶ πῶς τυγχάνει ἡ φωνὴ ποικίλη ἐν ἀνθρώποις,
καὶ ὅτι τὰ τῆς φύσεως εἰς οὓς Θεὸς ἐθέλει,
εἴπερ εὑρήσει ἐν αὐτοῖς σπουδὴν καὶ κόπον μᾶλλον,
μεθίστησιν εἰς τὸ καλὸν ἀπὸ τῶν ἐναντίων
καὶ πῶς καὶ τί τὸ αἴτιον εἰς πάθη καὶ συμπτώσεις
τῶν τικτομένων τε πάντων αἱ λωβώσεις
καὶ πῶς ὁ κάκιστος ἐχθρὸς εἰς τὰς ἡμῶν καρδίας,
κακῶς ἐνσπείρει τὰς αἰσχρὰς καὶ ἀτόπους ἐννοίας,
ἡμεῖς δὲ πῶς διώκομεν καὶ καθαιροῦμεν ταύτας
καὶ πῶς Θεὸς παραχωρεῖ πολεμεῖν τοῖς ἀνθρώποις,
αἱ ψυχαὶ πῶς μιμνήσκονται τῶν οἰκείων καὶ φίλων
καὶ πῶς Θεῷ πρεσβεύουσιν ἐκτὸς σωμάτων οὖσαι
ὑπὲρ αὐτῶν ἐν οὐρανοῖς σωμάτων γλώσσης δίχα
καὶ ὅτι ἀνενέργητοι οὐκ εἰσίν, ὡς δοκεῖ σοι,

ἀλλ' ἐνεργοῦσιν ὡς δραμὼν ἀπέδειξεν ὁ λόγος·
τὰ νῦν, εἰ τάχα καὶ εἰσὶν αἱ ψυχαὶ τῶν ἁγίων
ἐν οὐρανοῖς, ἔνθα Χριστός, ἀλλ' οὐκ ἔχουσι τοῦτο
εἰς ἀμοιβὴν καὶ στέφανον τῶν πόνων καὶ καμάτων.

—Ὅτι ὁ Χριστὸς καὶ ὁ λῃστὴς οὐκ εἰσῆλθον εἰς τὸν Παράδεισον τὸν ἐν τῇ γῇ.

Ἐκ προσώπου τοῦ συγγραφέως.

Ὑμεῖς δὲ πάντες ἐν Χριστῷ ἀδελφοὶ καὶ Πατέρες,
ὅσοι ἀναγινώσκετε τοὺς ἀγροίκους μου στίχους,
οἰέσθω γάρ τις μηδαμῶς ὡς δοκησίφρονά με
ὑπερφρονεῖν καὶ μὴ φρονεῖν καθὼς φρονεῖν με θέμις,
καὶ δόξαν ὡς θηρώμενος τὴν κενὴν ἐξ ἀνθρώπων,
καὶ γράφειν ἅπερ γέγραφα ταῦτα ἐν τῷ παρόντι·
οὐκ ἔστι τοῦτο οὐδαμῶς, μάρτυς γὰρ ὁ Χριστός μου,
ὡς οἴκοθεν ὁρμώμενος· ἀλλ' ἐβιάσθην πάνυ
παρὰ πατρὸς πνευματικοῦ τὸ ὄνομα Καλλινίκου,
τὴν οἴκησιν δὴ ἔχοντος ἐν ὄρει τῶν Σκολένων,
κατὰ τὴν αἴτησιν αὐτοῦ καὶ πρόσταξιν ὡσαύτως,
ἰδοὺ δὴ προσαγήοχα ἐκ τῶν Γραφῶν ἃ θέμις,
οὐδὲν μὲν ἔξω τῆς Γραφῆς ἔκφυλον ἢ ξένον,
οὔτ' εἶπον οὔτε γέγραφα εἰς τὸ παρὸν πυκτίον,
οὔτε ὑπέμνησα ποσῶς ὡς εἰκάζω, Πατέρες,
ἀλλ' ἅπερ δὴ μεμάθηκα ἀπὸ Γραφῆς τῆς θείας·
ἐκ τούτων μέντοι καὶ εἰσὶ καὶ ἡ ἔννοια τούτων
τὰς δέ γε λέξεις ἤμειψα καὶ εὔληπτον συνθήκην,
εὐσύνοπτόν τε καὶ σαφῆ καὶ πλήρη εὐφραδείας,
τὰ τούτων δὲ δυσνόητα, εὐνόητα τοῖς πᾶσι,
τὰ δύσκολα πεποίηκα, εὔκολα τοῦ νοεῖσθαι.
εἰς στίχους γὰρ πολιτικοὺς μετέφρασα ταῦτά γε,
ἀγροικικοὺς καὶ παντελῶς ἀκαλεῖς καὶ ἀμόρφους,
ὅτι γραμμάτων ἄπειρος τυγχάνω ὡς ἐπίπαν·
αἱ λέξεις ἰδιωτικαὶ οὐχ οὕτως δὲ ἡ γνῶσις,
μηδείς με καταμέμφηται μηδείς με μυκτηρίσῃ·
ὑπείκειν γὰρ καὶ πείθεσθαι τοῖς πατράσιν ἀκούω
καί, μήπως τὸ παρακοῆς ἐπισπάσωμαι κρίμα,
ὑπακοὴν πεπλήρωκα τοῦ γέροντος ἐκείνου

καὶ προσδοκῶ τοῦ λήψεσθαι μισθὸν τὸν ὑπὲρ ταύτης·
εἰ δέ τις ἢ ὑπέροφρυς, ὑψαύχην, ὑψιτένων,
ἀγακλυτός, μεμψίμοιρος καὶ φιλοσκώπτης ὄντως,
λεγέτω οὗτος τὸ δοκοῦν ἐξουσίαν ὡς ἔχων,
ἐγὼ κατὰ τὸ χάρισμα τοῦ Θεοῦ καὶ δεσπότου
καὶ γνῶσιν τὴν ἐνοῦσαν μοι καὶ δώρημα ὡσαύτως,
ἅ μοι κεχάρισται αὐτός, ὡς Θεός μου καὶ πλάστης,
καθὼς τὰ θεῖα λόγια διδάσκει με τὰ τούτου,
διδάσκων ἄνθρωπον φησὶ γνῶσιν τε καὶ σοφίαν,
καὶ ἐν ἀνοίξει στόματος λόγον διδοὺς ἑτοίμως,
αὐτὸς καὶ ῥῆμα δίδωσι τοῖς εὐαγγελιζομένοις·
διὸ κἀμοὶ ὡς δέδωκα τὰ ὧδέ πως ἐξεῖπον,
εἰ μὴ παρέσχε μοι αὐτὸς καθὰ δὴ καὶ προεῖπον,
τὸ ποίημα τοῦ ποιητοῦ δίχα τίποτ' ἂν γνοίη·
ἥνπερ δὲ πάντως ἔλαβε γνῶσιν ἀπαιτηθείη
πρᾶξιν τε καὶ ἐνέργειαν ἀνάλογον δικαίως·
σκαπάνη γὰρ καὶ δρέπανον, μάχαιρά τε καὶ πρίων,
ἀξίνη, ῥάβδος, λόγχη τε, φάσγανόν τε καὶ τόξον,
βέλος καὶ πάντα τὰ λοιπὰ ἐργαλεῖα ἐν βίῳ
ἕκαστον τὴν ἐνέργειαν κέκτηται τὴν ἰδίαν
ἀλλ' οὐκ ἀφ' ἑαυτοῦ λαβὸν ἐξ ἡμῶν δέγε πάντως,
ὁ γὰρ τεχνίτης ἕκαστον, πρὸς ὅπερ ἂν ἐθέλῃ,
κατασκευάζει ἐνεργεῖν ἐργαλεῖον ἐντέχνως
ἀλλ' ὡς δὲ οὐ δυνήσεται ἄνθρωπος ἐν τῷ βίῳ
ὅλως τι διαπράξασθαι ἢ τὴν ἀρχὴν θελῆσαι,
εἴ γε μὴ λάβῃ ἐκ Θεοῦ τὸ δύνασθαι καὶ θέλειν,
ὥσπερ οὐκ ἔξεστιν ποτὲ τῶν εἰρημένων πάντων,
ἐργαλείων ἀφ' ἑαυτοῦ κινηθῆναι πρὸς πρᾶξιν
ἢ ἐνεργῆσαι ὅλως τι ἄνευ χειρὸς ἀνθρώπου,
τοῦ χῖροντος καὶ δι' αὐτοῦ κατασκευάζοντός τι·
οὕτως οὐδὲ ὁ ἄνθρωπος, ἄνευ χειρὸς τῆς θείας,
ἐννοῆσαί τι δύναται ἀγαθὸν ἢ ποιῆσαι·
ἰδοὺ γὰρ ὁ τεχνίτης με κατεσκεύασε Λόγος
οἷον αὐτὸς ἠθέλησε καὶ ἔθηκεν ἐν κόσμῳ
πῶς οὖν, εἰπέ, δυνήσομαι φρονῆσαι ἢ ποιῆσαι,
ἢ ἐνεργῆσαι ὅλως τι, θείας ἰσχύος ἄνευ;
καὶ λέξον μοι παράδειγμα περὶ τῶν εἰρημένων

καθώς περ δὴ τὸν σίδηρον ἐργάζονται οἱ τούτου
τεχνῖται ἐμπειρότατοι ποιοῦντες τὰ μαζία,
καθάπερ δέδοται αὐτοῖς σύνεσις ἐπὶ τούτῳ
παρὰ τοῦ ἀρχιτέκτονος καὶ κτίστου τῶν ἁπάντων
κἀκεῖνα δὲ σκεδάννυνται εἰς πόλεις τε καὶ χώρας
καὶ ταῦτα ἐξωνούμενοι χαλκεῖς οἱ χειροτέχναι
καὶ βάναυσοι ἐργάζονται ποιοῦντες ἐργαλεῖα
σκαπάνας τε καὶ δρέπανα καὶ βέλη καὶ ἀξίνας
καὶ σκέπαρνα καὶ πρίονας ὡσαύτως καὶ δικέλλας,
μαχαίρας τε καὶ φάσγανα, καὶ ὕννιν ἐν ἀρότρῳ,
μοχλοὺς καὶ κλεῖθρα καὶ λοιπὰ τ' ἀπὸ σιδήρου πάντα
ὄντα τῷ βίῳ χρήσιμα μέν τοι καὶ ἀναγκαῖα,
καὶ ὁ μὲν ἄκρως τεχνικὸς πρεπόντως κατὰ λόγον
ἐργάζεται τὸν σίδηρον διὰ πυρὸς μαλάττων
ποιῶν τὸ ἔργον ἑαυτοῦ εὐπρεπέστατον ἄγαν,
ὡραιότατον αὐτὸ καὶ ἐνεργὸν εὖ μάλα,
ὁ δ' ἀφυὴς καὶ χωρικὸς ἐργάζεται καὶ οὗτος
ἀλλ' ἄχρηστον καὶ ἀπρεπὲς τὸ ἔργον τούτου πέλει,
χρησίμως γὰρ οὐ δύναται οὐδ' εὐφυῶς τὴν τέχνην
μεταχειρίσασθαι αὐτός, ὡς ἁρμόζει τεχνίτῃ,
ἀλλ' οὖν γε καὶ τὸν σίδηρον ἀφανίζει, ὡς ἴστε (οἶδε)·
τοιοῦτον δὴ παρόμοιον, καὶ τῇ γραφῇ μοι νόει,
τὸ Πνεῦμα τὸ πανάγιον ἐσόφισε Προφήτας,
τῇ ἐπιπνοίᾳ τῇ αὐτοῦ, τῷ τότε, ἀριδήλως,
τοὺς Ἀποστόλους αὖθίς τε ὁμοίως μετ' ἐκείνους
καὶ σοφισθέντες παρ' αὐτοῦ κἀκεῖνός τε καὶ οὗτοι
ἐνηχηθέντες θ' ἔγραψαν καὶ εἶπον, ἅπερ εἶπον,
ὁμοῦ τὰ συναμφότερα ἑξήκοντα βιβλία
τῆς Παλαιᾶς τριάκοντα καὶ τρία ἐπὶ τούτοις,
τῆς Νέας δέ γε εἴκοσι καὶ ἑπτὰ ἔχεις πάντα,
καὶ ταῦτα διεσπάρησαν εἰς πόλεις τε καὶ χώρας,
ἐφ' αἷς Χριστοῦ τὸ ὄνομα ἐμπολιτεύεταί πως
ἐλθόντες δὲ οἱ μετ' αὐτοὺς θειότατοι Πατέρες
καὶ καθεξῆς μέχρι τοῦ νῦν ἐλλόγιμοί τε ἄνδρες
τὰς ἀφορμὰς λαμβάνουσιν ἐξ ὧν εἰρήκειν βίβλων
καὶ μεταφράζουσι ῥητὰ εὐφυῶς συντιθέντες
ἔννοια δέ γε ἡ αὐτὴ καὶ ὁ νοῦς ὁ ἐκείνων

καὶ γράφουσιν, ἃ βούλονται, ὡς θέμις, καὶ ποιοῦσιν
ὁ μὲν Κανόνας καὶ Εἱρμούς, ἄλλος εὐχὰς καὶ στίχους,
Τροπάριά τε ἕτερος, οἷά περ ἂν ἐθέλῃ,
ᾠδὰς καὶ ὕμνους ἕτερος, ψαλμοὺς καὶ μέλη ἄλλος,
ὁ μὲν περὶ τὰ δόγματα Τριάδος τῆς ἁγίας,
καὶ τὴν τοῦ λόγου πρὸς ἡμᾶς ἐπιδημίαν ἄλλος,
καὶ τῆς ἐνσάρκου δὲ φημὶ οἰκονομίας μᾶλλον,
καὶ λογογράφος πάλιν δὲ ὁμοίως δὴ καὶ οὗτος
λόγους μὲν γράφει κάλλιστα θαυμαστοὺς ἐξαισίους
περὶ ψυχῆς καὶ σώματος ἀρετῆς καὶ κακίας,
πρὸς σωτηρίαν τῶν πολλῶν ἀνθρώπων φιλοπόνων,
ὁ γνωστικὸς καὶ ἔμπειρος ἁρμοζόντως τὰ πάντα
καὶ κάλλιστα λογογραφεῖ καὶ πρεπόντως συντάσσει ;
ὁ δ' ἰδιώτης, ὡς ἐγώ, ἀκαλλῶς καὶ ἀμόρφως ;
καὶ ὥσπερ τοίνυν ὁ χαλκεὺς τὸν σίδηρον εὑρίσκων
τὴν ὕλην ἕτοιμον αὐτὴν καὶ κόπους ἀλλοτρίων
ἄλλοι γὰρ ἐκοπίασαν καὶ εἰργάσαντο τοῦτον·
λαμβάνει δὲ τοῦτον αὐτὸς καὶ ποιεῖ ἐργαλεῖα
καὶ ἐναβρύνεται, ὡς δή, εἰς κόπους ἀλλοτρίους
ἀλλ' οὖν ἂν μή γε συνεργὸν τὸ πῦρ καὶ οὗτος ἔχῃ
οὐδὲν ἰσχύει οὐδαμῶς πρᾶξαι χωρὶς ἐκείνου,
καίτοι τὴν τέχνην ἀκριβῶς ἐπίσταται καὶ οἶδεν·
οὕτω μοι νόει, φίλτατε, ἐπὶ Γραφῆς τῆς θείας
Προφῆται μὲν ἐλάλησαν, Ἀπόστολοι δ' ὁμοίως,
καὶ εἰς τὰς ῥήσεις τὰς αὐτῶν κομπᾷ πᾶς ὁ γράφων,
ἀλλὰ καὶ οὗτος συνεργὸν τὴν θείαν ἔχει χάριν,
ταύτης γὰρ δίχα οὐδαμῶς ἰσχύει τις τοῦ γράψαι
τὸ πῦρ μὲν ἔχει συνεργὸν ὁ χαλκεύς, καὶ ὁ γράφων,
τὴν χάριν τὴν τοῦ Πνεύματος, καὶ δίχα τούτων οὗτοι
οὐδέν εἰσι τὸ παντελῶς οὔτ' αὐτός, οὔτ' ἐκεῖνος,
εἰδ' οὐδ' ἐκ τούτων λάβοιεν ὁ γράφων πᾶς κἂν γράφῃ
ἔκφυλα, νόθα, ξένα τε, πεφύκασιν, ἃ γράφει,
καὶ γίνονται τῶν ἀφελῶν βλάβη ψυχῆς μεγίστη·
ἐγὼ δ' οὖν, ὡς προείρηκα, πρὸ μικροῦ ἐν τῷ λόγῳ
οὐδὲν μὲν ἔξω τῆς Γραφῆς ἀνεγραψάμην ὧδε,
ἀλλὰ τὰ μὲν ἀπὸ Γραφῆς Παλαιᾶς καὶ τῆς Νέας,
τὰ δὲ κοινῶς ἀπὸ πάντων Πατέρων, Διδασκάλων,

τὰ πρόσφορα καὶ συνῳδὰ τῇ πραγματείᾳ ταύτῃ
τὰ πλεῖστα δέ γε πέφυκε τοῦ Νύσης Γρηγορίου·
ὁ μέλλων τούτοις ἐντρυφᾶν εἴτι δ' ἂν καὶ εὑρήσῃς
ὡς ξένον τι φαινόμενον, κἂν δοκῇ σοι καινόν τι,
ἀνενδοιάστως δέδεξο· Γραφικὸν γὰρ τοῦτό γε·
ζητητικός, φιλόπονος, εἴπερ τυγχάνεις φίλος,
τοῦ καθενός γε τὸ ῥητὸν ἐπιγνοίης ἐνταῦθα·
καὶ ποίας βίβλου πέφυκε καὶ ποίου λόγου τοῦτο
ἂν δ' ἰδιώτης ἀμαθής, μὴ δὴ πολυπραγμόνει,
μηδέ γε πήδα αὐθαδῶς ὑπὲρ τὰ ἐσκαμμένα ;
πλὴν μερικῶς ἀνέγραψα καὶ φυσιολογίαν
ἀπὸ τῶν ἔξω γε σοφῶν τῶν παλαιῶν ἐκείνων,
τοῦ Ἱπποκράτους τε φημὶ καὶ Γαληνοῦ ὡσαύτως,
ἐξ ὧν ἐφιλοσόφησαν εἰς κτίσιν καὶ τὰκ ταύτης,
ὡς πρῶτα καὶ ἐξαίρετα στοιχεῖα τὰ μεγάλα,
ἃ ἐξ ἀρχῆς παρήγαγε Θεὸς εἰς τόν δε κόσμον,
ἀέρα, λέγω, καὶ τὸ πῦρ, τὴν γῆν, πρὸς δέ, τὸ ὕδωρ,
καὶ πῶς ἐκ τούτων ἡ τετρὰς ἡ τῶν χυμῶν γεννᾶται,
αἷμα καὶ φλέγμα καὶ χολὴ ξανθὴ καὶ μέλαινά τε,
ἐξ ὧν τὰ σώματα ἡμῶν συνίσταται, ὡς θέμις,
καὶ ἡλικίαι τέσσαρες παρέπονταί πως τούτοις,
ἤτοι παιδίον καὶ ἀνὴρ καὶ γηραιὸς καὶ πρέσβυς·
πρὸς δὲ καὶ περὶ τῶν καιρῶν τοῦ χρόνου τῶν τεσσάρων,
ἔαρος, θέρους, δηλαδή, φθινοπώρου, χειμῶνος·
πρὸς τούτοις καὶ περὶ σπορᾶς τῆς ἐν τῇ μήτρᾳ εἶπον,
καὶ πῶς ποικίλη τῶν βρεφῶν καὶ κρᾶσις καὶ ποιότης,
καὶ πῶς καὶ τὰ συμπτώματα ἐν τούτοις καὶ λωβώσεις,
τούτων ἁπάντων ἐνταυθοῖ ὑπέμνησα ποσῶς γε,
τὰς κράσεις, τὰς ποιότητας, μεταλλαγάς, αἰτίας,
καὶ ἰδιότητας αὐτῶν καὶ τὰς τροπὰς ὡσαύτως
καὶ ποῖον, ποίου, πέφυκεν αἴτιον καὶ τὸ εἶναι,
εἰς λόγον ὧδε τέταρτον τῆς βίβλου ταύτης, φίλος,
εἰς τὰ κεφάλαια αὐτοῦ τὸ τρίτον καὶ τὸ ἕκτον
εἰ δέ τι καὶ παρέσφαλον, ὡς ἅτε ἰδιώτης,
εἰς τὴν συνθήκην ἐνταυθοῖ καὶ συμπλοκὴν τῶν στίχων,
τὸ μέτρον τούτων ἀγνοῶν πιλιτικῶς ἐφράσθην,
λοιπὸν συγγνώμην ἐξαιτῶ τοὺς ἐντρυφῶντας τούτοις

μηδεὶς μου καταμέμψηται, μηδεὶς με μυκτηρίσῃ
ἀλλ' εἰς τὸν νοῦν προσάγετε καὶ δύναμιν τοῦ λόγου,
εἴπερ ζητεῖτε ψυχικὴν ὠφέλειαν εὑρέσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Τίς ὁ νοητὸς Παράδεισος καὶ τίνα τὰ ἐν αὐτῷ φυτὰ καὶ οἱ τούτων θεῖοι καρποί. Σοφωτάτη καὶ ὑψηλὴ τροπικὴ θεωρία.

Τὸ ξύλον τῆς ζωῆς, τὸ Ἅγιον Πνεῦμα ἐστί, τὸ ἐνοικοῦν ἐν τῷ πιστῷ ἀνθρώπῳ, καθὼς ὁ Παῦλος φησίν· οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἁγίου Πνεύματος εἰσὶ τοῦ ἐνοικοῦντος ἐν ὑμῖν; ξύλον δὲ γνωστὸν καλοῦ καὶ πονηροῦ ἡ αἴσθησις· ἡ δύο ἀντικειμένους ἀλλήλοις φέρουσα καρποὺς τῷ τὴν φύσιν διττῷ· τίνες δὲ εἰσὶν οὗτοι; ἡδονή, καὶ ὀδύνη· ὧν ἑκάστη διαιρεῖται αὖθις εἰς δύο· ἡ μὲν εἰς χρείαν φυσικήν τε καὶ ἀναγκαίαν, καὶ εἰς λαγνίαν καὶ πλησμονήν, ἡ δὲ εἰς φόβον καὶ λύπην καὶ εἰς ἀγῶνας καὶ πόνους πνευματικούς. Τούτων ἡ μὲν καλὴ ἐστὶν εἰς μετάληψιν φυσικήν τε καὶ ἀναγκαίαν μεταλαμβανομένη εὐκαίρως· οὐδὲ γὰρ κακῶς ἐν ἡμῖν ἡ αἴσθησις ἐφυτεύθη· οὐδὲ φθονερῶς ἀπηγορεύθη ἐν τῷ εἰπεῖν: οὐ φάγεσθε ἀπ' αὐτοῦ· εἰς γὰρ ἀπόπειράν τινα καὶ δοκιμὴν καὶ γυμνασίαν τῆς τοῦ ἀνθρώπου ῥοπῆς καὶ ὑπακοῆς ἢ παρακοῆς ἐφυτεύθη· διὰ τοῦτο ξύλον τοῦ γινώσκειν καλὸν καὶ κακὸν κέκληται· δύναμιν διδοῦσα γνωστικὴν τοῖς μεταλαμβάνουσι τῆς οἰκείας φύσεως· ἥτις καλὴ μὲν ἐστὶ τοῖς τελείοις, κακὴ δὲ τοῖς ἀτελεστέροις ἔτι καὶ τὴν ἔφεσιν λιχνοτέροις, ὥσπερ στερεὰ τροφή, τοῖς ἔτι γάλακτος δεομένοις· ὁπηνίκα εἰς λαγνίαν ἢ πλησμονὴν ἡ μετάληψις αὐτῆς γένηται, καθ' ἣν καὶ τὴν γνῶσιν τοῦ κακοῦ ποιεῖται τῇ μεταλήψει· ἥτις ἐστὶν ὀδύνη καὶ πρόξενος τῇ ψυχῇ φόβου καὶ λύπης· ἡ μὲν γὰρ ἡδονὴ τὴν γνῶσιν ἐν τῇ ψυχῇ τοῦ καλοῦ ποιεῖται, εἰς φυσικὴν χρείαν μεταληφθεῖσα καὶ ἀναγκαίαν· ἡ δὲ ὀδύνη τὴν γνῶσιν ἄντικρυς τοῦ κακοῦ, ὅταν, μὴ κατὰ χρείαν φυσικὴν ἀλλὰ κατὰ λαγνίαν ἢ πλησμονήν, ἡ μετάληψις τῆς ἡδονῆς γίνεται· καθὸ καὶ πᾶσαν ἡδονὴν ὀδύνη διαδέχεται· διὰ ταῦτα οὖν γνωστὸν καλοῦ τε καὶ κακοῦ τὸ τῆς αἰσθήσεως ξύλον κέκληται καὶ εἰκότως· καὶ τῶν ἡδονῶν, αἱ μὲν εἰσὶ ψυχικαί, αἱ δὲ σωματικαί· καὶ ψυχικαὶ μὲν αἱ περὶ τὴν θεωρίαν καὶ τὰ μαθήματα· σωματικαὶ δὲ αἱ μετὰ κοινωνίας τῆς ψυχῆς γινόμεναι καὶ τοῦ σώματος, ὅσαι περὶ τροφὰς συ-

νουσίας καὶ τὰ τοιαῦτα· αὕτη τοῦ καλοῦ ἡ φύσις καὶ ἡ γνῶσις· ἐν γοῦν ταῖς τροφαῖς μεσάζει ὁ κόρος καὶ ἡ ἀπληστία· ἐν τοῖς ἐνδύμασιν ἡ πλεονεξία καὶ ἡ κατάχρησις· ἐν ταῖς νομίμοις καὶ φυσικαῖς συνουσίαις αἱ παρὰ φύσιν καὶ ἡ κατάχρησις· αὕτη ἡ γνῶσις τοῦ κακοῦ· τούτων δὲ τῶν ἀμφοτέρων ἡ γνῶσις γίνεται ἡμῖν ἀπὸ τῆς αἰσθήσεως· ἐν γοῦν τῷ εἰπεῖν πρῶτον τὸν Θεόν, ὡς πρὸς ἕνα, ἀπὸ παντὸς ξύλου τῶν ἐν τῷ παραδείσῳ, βρώσει, φαγῇ, τῷ λογιστικῷ μέρει τῆς ψυχῆς, ὡς μόνῳ τῆς κρείττονος ἐπάρχοντι μοίρας, διαλεγόμενος ὁ Θεὸς ἀπονέμει τὴν χώραν (ἴσως χάριν) τῆς θεωρίας τῶν θείων πραγμάτων ἀπὸ πάσης φύσεως τῶν ὄντων καὶ τῆς ἐμῆς γνώσεως καὶ τρυφῆς, διὰ θεωρίας ἀκραιφνοῦς, μεταλάβῃ, τοὺς λόγους ἐξετάζων καὶ τὰς κινήσεις αὐτῶν· εἶτα ὡς πρὸς δύο ἢ καὶ πλείονας τῷ ἀλογωτέρῳ μέρει, ὡς τῆς ὑλικῆς δυάδος ὑπάρχοντι θυμοῦ καὶ ἐπιθυμίας καὶ πρὸς τὰ πονηρὰ τὴν διάνοιαν κατασπῶντα ῥᾳδίως· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ποίου δὴ λέγω ; ἡδονῆς καὶ ὀδύνης ὡς καὶ πρόσθεν εἴρηται· γνῶσις δὲ καλοῦ καὶ πονηροῦ λέγεται ἡ τῆς θεωρίας τοῦ ξύλου τούτου μετάληψις, καθὸ τοῖς μὲν τελείοις δύναμιν παρέχει γνώσεως πάντων τῶν ὁρατῶν τε καὶ ἀοράτων ἀνθρωπίνων τε καὶ θείων πραγμάτων· καὶ δυναμένη οὐ μόνον ἀπὸ τῆς θεωρίας τῶν καλῶν ἀλλὰ καὶ ἀπὸ τῆς τῶν ἐναντίων, τῇ θεοσεβείᾳ, κατὰ τὴν ἑκάστῳ κρατοῦσαν ἕξιν τῆς διαθέσεως καὶ τῷ μεταλαμβάνοντι γενέσθαι τῆς αἰχμαλωσίας τῷ νόμῳ ζωῆς πρόξενος. οἷον ποτὲ ὁ ἐν Πάτρασι θεσπέσιος Νόννος ἐκεῖνος εἰργάσατο τὴν μακαρίαν ἐκ πορνῶν Πελαγίαν ἁγνὴν τῷ Χριστῷ παρθένον παραστησάμενος, τοῖς δέ γε ἀτελεστέροις περὶ τὰ θεῖα καὶ πρὸς τὴν ταύτης μετάληψιν ἀπείροις τῆς ἐναντίας τοῦ κακοῦ πρόξενος γίνεται· ὅπερ οὖν γέγονε ποτέ τοῖς ἱερεῦσιν ὁμοῦ καὶ Κριταῖς ἐκείνοις ἡ τῆς πάλαι Σωσάννης θεωρία τῆς σώφρονος· ὃ οὖν τῷ θείῳ Πατρὶ Νόννῳ πρόξενον ἐγένετο ζωῆς ἐν τῇ χάριτι, τοῦτο τοῖς πάλαι ἱερεῦσιν ἐκείνοις πρόξενον θανάτου ἐγένετο· καὶ οὐ μόνον τότε ταῦτα συνέβη ἐκ τῆς καταλλήλου τοῦ φυτοῦ τούτου θεωρίας εἰς ἕκαστον, ἀλλὰ καὶ νῦν καθ' ἑκάστην συμβαίνει ἐν ἑκάστῳ· οὐχ ὅτι οὕτω φύσεως τὸ φυτὸν ἔχει· ἄπαγε· οὐ γὰρ ἐφυτεύθη κακῶς ὡς κακόν· οὐδὲν γὰρ κακὸν ἐποίησεν ὁ Θεός, ἀλλ' ὅτι καθαρῶν τὰ αἰσθητήρια δέεται εἰς κατανόησιν καὶ ὀπτασίαν αὐτοῦ· τούτῳ τοίνυν τῷ τρόπῳ τοῖς καθαροῖς οὖσι καὶ διὰ Πνεύματος ἁγίου ἐνεργουμένοις ἡ θεωρία τῶν ἀνθρωπίνων πραγμά-

των καὶ τῶν τῆς θείας φύσεως ἰδιωμάτων καλή τε καὶ ἄπταιστος ἀνεπισφαλὴς καὶ σωτήριος γέγονε· μεταδιδοῦσα παντὸς ἀγαθοῦ τοῖς οἰκείοις ποιήμασι κατὰ τὴν ἑκάστου δεκτικὴν δύναμιν· ὅσον δὲ ἡ ψυχὴ τοῦ φθαρτοῦ τούτου σώματος ὑψηλοτέρα καὶ τιμιωτέρα, δῆλον πᾶσι τοῖς κατὰ πνεῦμα περιπατοῦσιν· εἶτα τίνος ἄρα ὁ Θεὸς ποιεῖται λόγον πλείονα τοῦ σώματος ἢ τῆς ψυχῆς τοῦ ἀνθρώπου, τοῦ νοουμένου πλείονα λόγον ἄρα ποιεῖται ὁ πλάσας αὐτόν· καὶ δαψιλεστάτης μὲν νοητῆς δαπάνης ἠξίωσεν· εἶπε γὰρ ἐκ πάντων μὲν τῶν ἄλλων τῶν ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ, ἥττονος δὲ ἢ οὐδόλως τῆς αἰσθητῆς· ἡ γὰρ αἰσθητὴ δαπάνη οὐ διὰ τῶν βρωμάτων μόνον νοεῖται ἡμῖν ἀλλὰ καὶ πολυτρόπως ἄλλως, διαφόρως ταῖς αἰσθήσεσιν ὑποπίπτουσα· οἶμαι δὲ ὅτι μηδὲ κατὰ τὴν κτηνώδη ταύτην αἴσθησιν ἐβούλετο κατ' ἀρχὰς ὁ Θεὸς τὸν ἄνθρωπον κινεῖσθαι καὶ ζῆν, ἣν μετὰ τὴν παράβασιν κατεκρίθημεν, ὡς εἶναι δοῦλον γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα, ἀλλ' ὡς θεὸν τινὰ καὶ βασιλέα, ὥσπερ δὴ πάσης κτίσεως, οὕτω καὶ ἑαυτοῦ καὶ παθῶν· ἐπεὶ οὐδ' ἂν ὡς Ἄγγελον αὐτὸν ἢ θεὸν ἐποίησε θέσει, τὴν ἰδίαν εἰκόνα νοερῶς εἰς αὐτὸν ἐντυπώσας· ὅτι δὲ οὐκ ἦν τοῦτο Θεῷ βουλητὸν οὕτως ἀποκτηνωθῆναι τὸν ἄνθρωπον καὶ τῶν ὑπὸ τὴν αἴσθησιν ὀρέγεσθαι αὐτὸν καὶ ζῆν δῆλον ἐκ τοῦ εἰπεῖν ἔσχατον τὸν δημιουργὸν καὶ λόγον· ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην ἀλλὰ τὴν μένουσαν εἰς ζωήν: ὅπερ ἐκείνου τοῦτο ἐστὶν ὅμοιον τοῦ ῥηθέντος ἐν τῇ Ἐδὲμ τῷ Ἀδάμ: ἐργάζεσθαι καὶ φυλάσσειν· εἶτα πάλιν: ἐγώ, φησί, βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε, περὶ τὰ ὁρώμενα δηλονότι προσηλωμένην τὴν διάνοιαν ἔχοντες· καὶ αὖθις: ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· θεωρία γὰρ ἦν κατὰ τὸν τελεώτερον λόγον· καὶ ἐργάζεσθαι μὲν ἐδόθη νόμος αὐτῷ τὴν νοερὰν τοῦ νοὸς ἐργασίαν, οἷον τὸ εἰδέναι τίς ἐκ τῶν ὅλων κατασκευή, τίς ὁ πάντα παραγαγών, τίνες οἱ λόγοι τῶν ὄντων, τίς ἡ φύσις αὐτῶν, τίς ἡ κίνησις, πόθεν, καὶ ἐκ τίνος καὶ πῶς αὐτὸς ἐπλάσθη· ἐξ οὐκ ὄντων ἄρα; ἢ ἐξ ὑποκειμένων; καὶ τὰ μὲν τῆς ἐργασίας τοιαῦτα. φυλάσσειν δὲ ἐδόθη νόμος αὐτῷ τὴν πρὸς τὸν ποιητὴν τοῦ παντὸς εὔνοιαν καὶ τιμήν, καὶ τὴν δοθεῖσαν αὐτῷ ἐντολὴν καὶ τὴν ἔρευναν τῆς θείας φύσεως τοῦ πεποιηκότος αὐτόν· καὶ τοῦτο ἦν τὸ ἐργάζεσθαι καὶ φυλάσσειν καὶ τὸ μυστήριον τῆς δοθείσης αὐτῷ ἐντολῆς· καὶ ἕως μὲν ἦν τῶν ἀθανάτων ἐκείνων φυτῶν ἐπιμελούμενος τῶν

θείων, φημί, ἐννοιῶν, ὡς καὶ τοῖς θεολόγοις δοκεῖ, ταῖς θεωρίαις τῶν ὄντων ἐσχόλαζε· καὶ τὴν τῶν νοητῶν ἐκείνων ἐτρέφετο τροφὴν τεθεωμένος ὤν· ὅταν δὲ τῶν οἰκείων μέτρων κατεξανέστη καὶ τὰ ὑπὲρ ἑαυτὸν ἐφαντάσθη, τὸ βάρος τῆς περικειμένης αὐτῷ δόξης βαστάσαι μὴ δυνηθεὶς αὐτός τε τοῦ βεβηκότος εὐθὺς καὶ σοφοῦ φρονήματος ἐσαλεύθη· καὶ τῆς συμβουλῆς, ὢ τῆς ἀπάτης, ἐδεήθη τῆς γυναικός, ᾗ, καί, δυστυχῶς, πειθαρχήσας πέπονθεν, ὃ πέπονθεν, σαρκὸς καταχρατηθεὶς καὶ ὀφθαλμῶν ἐπιθυμίας· καὶ δύο πολέμων μέσον, φεῦ τῆς ἐμῆς εὐηθείας, ὡς οὐκ ὤφελεν, γεγονώς, σαρκός τε καὶ πνεύματος· ὧν τὸν ἀκήρυκτον καὶ ἄφυκτον πόλεμον τῇ ἀνθρωπίνῃ ἐγκαταλιπὼν φύσει,μ ετέδωκεν ἡμῖν, εἰς ψυχήν, καὶ τὸν ἐκ τοῦ τοιούτου πολέμου ὀλέθριον θάνατον· οὗ χάριν καὶ ὁ φυσικὸς ἐπηκολούθησε θάνατος, φιλανθρωπίᾳ Θεοῦ· ἵνα μὴ τὸ ἐκ τοῦ θανάτου τῆς ψυχῆς ἐπιγινόμενον κακὸν ἀθάνατον γένηται καὶ ζημιωθῇ Θεὸς τὴν ἐν ἡμῖν κατασκήνωσιν· Λείπεται δὲ εἰπεῖν ἡμᾶς καὶ περὶ τῶν ὁδῶν ὡσαύτως τῶν φερουσῶν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ‘ τίνες αὗται· ἡ ταπείνωσις καὶ ἡ ἀγάπη· καὶ τῶν ἑκατέρωθεν μερῶν τῆς θείας σειρᾶς πασῶν τῶν ἀρετῶν, ἄκραι καὶ τελευταῖαι εἰσὶ καὶ ἀρχαί· ἡ μὲν γὰρ ταπείνωσις, ἀρχὴ ταύτης ἀκροτάτη κάτω· ἡ δὲ ἀγάπη, τελεία οὖσα πασῶν τῶν βαθμίδων αὐτῆς τὸ ἀκρότατον ἄνω‘ ἢ ἄλλως· τῆς ἱερᾶς κλίμακος τῶν θείων ἀρετῶν αἱ ἀντικρὺ ἀκρότατοι καὶ τελευταῖαι βαθμίδες· ἡ μὲν γὰρ ταπείνωσις ἀρχὴν τῆς ἀνόδου ποιεῖται τῆς κλίμακος· ἡ δὲ ἀγάπη. τελεία οὖσα, πασῶν τῶν βαθμίδων τῆς ἀρετῆς καὶ τῆς ἐπὶ τὸ ὕψος ἀνόδου τῆς κλίμακος ἐξάγει τὸν ἐπ᾽ αὐτὴν τὰς βάσεις ἐρείσαντα, ἐπὶ νομὰς ἀειζώους καὶ ἀκηράτους τῆς θείας μακαριότητος, καὶ Ἀγγέλων χορείας καὶ Θεοῦ ἕνωσιν. Ὁ δέ γε θυρωρὸς ἐστὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἄλλως γὰρ οὐ δύναταί τις εἰσελθεῖν εἰς τὰ Χριστοῦ βασίλεια· εἰμὴ διὰ τῆς κάτω βαθμίδος, ἥτις ἐστὶν ἡ ἁγία ταπείνωσις· εἰσέρχεται δὲ διὰ τῆς ταπεινώσεως, ὥσπερ εἴρηται εἰς τὰ τῆς πρακτικῆς προαύλια, ἅτινα εἰσὶν ἡ ὑποταγή, ἡ διακονία, ἡ ὑπομονὴ τῶν θλίψεων καὶ πειρασμῶν· ἡ κακοπάθεια ἡ χαμευνία, ἡ παννύχιος στάσις, ἡ ἀγρυπνία, ἡ συνεχὴς ψαλμῳδία, ἡ προσευχὴ καὶ νηστεία· ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν καὶ ἡ πρὸς πάντας ὑπακοὴ καὶ εὐπείθεια· ἐν τούτοις δὲ εἰσελθὼν διὰ τῆς χριστομιμήτου ταπεινώσεως εἰσέρχεται διὰ τῆς ἀγάπης ὁδηγούμενος εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ· ὅθεν καὶ μόνος μὴ στέγων ἐρυφᾶν τὰ περὶ Θεοῦ, ἐρεύγεται λόγους ἀγαθοὺς ἀπὸ

καρδίας· ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ ὑπὸ τοῦ νύσσοντος αὐτὸν καὶ πρὸς τὸ λέγειν διεγείροντος πνεύματος, συνωθούμενος· τὸ γὰρ ἅγιον τοῦτο πνεῦμα λαλοῦν, ἐνεργοῦν ἐστὶ καὶ κινούμενον, ἐν οἷς ἂν ἐγγένηται διὰ μετανοίας καὶ καθαρότητος· τρανοῖ τὰς γλώσσας αὐτῶν εἰς τὸ λέγειν τὰ παρ᾽ αὐτοῦ ὑπηχούμενα· καὶ κινεῖ τὴν τούτων διάνοιαν εἰς τὴν ἔρευναν τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων· καὶ εἰς τὸ τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾶν καὶ καθολικῶς ἐν αὐτοῖς τὰς ἐνεργείας τῶν χαρισμάτων αὐτοῦ· οἷον φερ᾽ εἰπεῖν· ἀγραμμάτους ὄντας τὴν ἄνωθεν κατερχομένην σοφίαν διδάσκει· τὴν ἄφθονον, τὴν ἀζηλότυπον, τὴν εἰρηνικήν τε καὶ ἐπιεικῆ· δίδωσι σύνεσιν αὐτοῖς εἰς τὸ συνιέναι τί τὰ βάθη τοῦ Θεοῦ· τίς ὁ πλοῦτος αὐτοῦ τῆς χρηστότητος· παρέχει τὴν τῶν ὄντων αὐτοῖς γνῶσιν εἰς τὸ εἰδέναι τὰ ὄντα εἰ ὄντα ἐστι χαρίζεται βουλὴν ἀγαθὴν εἰς τὸ τὰ πάσης ὠφελείας ἑαυτῷ τε βουλεύεσθαι καὶ τοῖς πλησίον ὑποτιθέναι· ἰσχὺν χορηγεῖ αὐτοῖς εἰς τὴν τῶν ἐντολῶν αὐτοῦ ἐργασίαν κατὰ δαιμόνων καὶ ὀλεθρίων παθῶν· εὐσέβειαν τὴν ἄπταιστον καὶ ὀρθὴν εἰς Θεόν, καὶ τέλος δίδωσιν εἰς φυλακὴν αὐτοῖς καὶ τὸν ἁγνὸν φόβον τὸν ἐκ πολλῆς ἀγάπης ἐρχόμενον τοῦ Θεοῦ, τούτων τοίνυν ἐν πλουσίᾳ μετοχῇ γεγονώς, μεστὸς ἐγένετο καρπῶν ἀγαθῶν τοῦ ἁγίου Πνεύματος· ὁ γὰρ τοιοῦτος ἀποτελεσθεὶς παρὰ τῶν εἰρημένων χαρισμάτων τοῦ Πνεύματος, ἀγάπην ἔχει τελείαν εἰς Θεὸν καὶ εἰς τὸν πλησίον· μὴ προτιμῶν τι τῶν δρωμένων τῆς τοῦ Θεοῦ ἀγάπης ἢ τῆς τοῦ πλησίον ἀναπαύσεως τὴν εἰρήνην μετὰ παντὸς ἀνθρώπου, Θεοῦ τε καὶ ἑαυτοῦ τῶν δυνάμεων αὐτοῦ μακροθυμίαν ἐν τοῖς ὑπὲρ ἀρετῆς ἱδρῶσι καὶ πόνοις· ἀγαθωσύνην τῶν λογισμῶν τῆς διανοίας αὐτοῦ καὶ τῶν τοῦ νοὸς κινημάτων· χρηστότητα τῶν ἐκτὸς ἠθῶν καὶ τῶν τρόπων ἅμα τοῖς ἐντὸς τῆς ψυχῆς αὐτοῦ· πίστιν τὴν οὐκ εἰς τὴν τριάδα μόνον ἀλλὰ καὶ περὶ τῶν μελλόντων ἀγαθῶν, ἃ ὁ Θεὸς ἡμῖν ἐπηγγείλατο ἔντε τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μελλοντι· πρᾳότητα, πάντα φέρουσαν ἐν ὑπομονῇ πειρασμὸν τῶν ἐπερχομένων θλίψεων καὶ πρὸς τούτοις ἔχειν μετὰ δυνάμεως τὴν τοῦ πνεύματος καὶ τὴν περιεκτικὴν εγκράτειαν πάντων ὁμοῦ τῶν αἰσθήσεων· ὁ γοῦν τὰ χαρίσματα καταπλουτήσας, ταῦτα τοῦ Πνεύματος τοῦ ἁγίου, ὅλος αὐτὸς παράδεισος θεῖος ἐγένετο καὶ οἶκος τῆς ἀδιαιρέτου Τριάδος μέσον ἔχων τῆς καρδίας αὐτοῦ πεφυτευμένον, τὸ τῆς ζωῆς ξύλον, αὐτὸν τὸν Θεόν· ὃς ἀπὸ τοῦ γνωστοῦ καλοῦ τε καὶ πονηροῦ ξύλου τῆς οἰκείας λέγω ταύτης αἰσθήσεως καλῶς διακρίνας τὸ κρεῖττον ἀπὸ τοῦ χεί-

ρονος οὐκ ἐβλάβη, μόνης καὶ ὅλης τῆς ἐνεργείας γενόμενος τοῦ ἁγίου Πνεύματος· ὃ καὶ βασιλείαν οἴδαμεν οὐρανῶν καὶ Θεοῦ βασιλείαν εἶναι πιστεύομεν· ποτὲ μὲν λέγοντος αὐτοῦ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστί· ποτὲ δὲ οὕτω προτρεπομένου πρὸς τὸν Πατέρα προσεύχεσθαι «ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς» ἧς γένοιτο καὶ ἡμᾶς ἐντεῦθεν ἤδη κἀκεῖθεν ἐπιτυχεῖν ὡς δραμὼν ὁ λόγος ἀπέδειξεν· Ἀμήν.

Περὶ τῆς αὐτεξουσιότητος τῶν ἀνθρώπων.

Ὁ Θεὸς τὸν ἄνθρωπον ἔπλασεν αὐτεξούσιον, λόγῳ καὶ σοφίᾳ τιμήσας αὐτόν· πρὸ ὀφθαλμῶν αὐτοῦ θεὶς τὴν ζωὴν καὶ τὸν θάνατον ἵνα, εἰ μὲν θελήσει τῇ αὐτεξουσιότητι τὴν ὁδὸν τῆς ζωῆς πορευθῆναι, ζήσῃ εἰς τὸν αἰῶνα· εἰ δὲ ἀπὸ κακῆς προαιρέσεως πορευθῇ τὴν ὁδὸν τοῦ θανάτου, αἰωνίως κολάζηται· τὰ γὰρ τῆς φύσεως ἀμετάβλητα οὔτε τιμῶν οὔτε τιμωριῶν ἄξια· οὐδεὶς γὰρ ἐνεκλήθη ποτὲ διὰ τὸ εἶναι λευκὸς ἢ μέλας, ἢ μακρὸς ἢ μικρός· οὐ γὰρ τῆς ἡμετέρας εἰσὶ προαιρέσεως· τῶν γὰρ τῆς προαιρέσεως καὶ αἱ κολάσεις ὑπάρχουσι καὶ αἱ τιμαί· ἀμφοτέρων οὖν χρεία καὶ τῆς ἡμετέρας βουλῆς καὶ θελήσεως καὶ τῆς τοῦ Θεοῦ συνεργίας καὶ ἀντιλήψεως· ἑτέρου γὰρ λείποντος ἀργεῖ τὸ ἕτερον· προέγνω γὰρ ὁ Θεὸς καὶ προώρισε καὶ προεκάλεσεν· ἀλλὰ τοὺς κατὰ πρόθεσιν κλητοὺς ὄντας κατὰ τὸν Ἀπόστολον, τουτέστι κατὰ θέλησιν καὶ βούλησιν· τοὺς γὰρ μὴ βουληθέντας εἴασε τῷ ἑαυτῶν θελήματι πορεύεσθαι· οὐ γὰρ βιάζεται· οὐδὲ λυμαίνεται τὸ αὐτεξούσιον ἡμῶν· τῆς γὰρ ἐπ' ἄμφω ῥοπῆς ἀρετῆς, φημί, καὶ κακίας τὴν ἐξουσίαν ἐλάβομεν· ὡσαύτως δὲ καὶ ἐντολὰς παρὰ τοῦ Θεοῦ ἡμῶν τὰς ἀπ' ἐντεῦθεν θεουργούσας ἡμᾶς καὶ ποιούσας ἀναμαρτήτους διάγειν καὶ ὡς Ἀγγέλους ἀναστρέφεσθαι, μετὰ τῶν ἀνθρώπων, οἷον τὴν μετάνοιαν, τὴν ταπεινοφροσύνην, τὸ διηνεκὲς πένθος, τὴν πρὸς αὐτὸν ἀγάπην, τὴν ἐξ ὅλης καρδίας γινομένην, καὶ τὴν πρὸς τὸν πλησίον διάθεσιν, τὴν καθαρὰν προσευχήν, καὶ τὴν ἑαυτῶν ἀπάρνησιν, καὶ τὸ διόλου πρὸ ὀφθαλμῶν ἔχειν τὸν ὑπὲρ Χριστοῦ θάνατον, καὶ ἐν τῷ φωτὶ αὐτοῦ ἀδιαλείπτως πορεύεσθαι, τὸ ἔχειν ἑαυτὸν ὑποκάτω πάσης κτίσεως, καὶ δέεσθαι αὐτοῦ διηνεκῶς· ταύτας τὰς θείας ἐντολὰς ὁ μετὰ πίστεως ἐργαζόμενος, υἱὸς Θεοῦ γίνεται καὶ υἱὸς φωτός· καὶ κληρονόμος Θεοῦ γίνεται καὶ συγκληρονόμος Χριστοῦ·

καὶ σύμμορφος τῆς εἰκόνος αὐτοῦ καὶ σύμφυτος καὶ σύσσωμος καὶ ἁπλῶς εἰπεῖν, θέσει καὶ κατὰ χάριν Θεός. Εἰσὶ καὶ ἕτεραι ἐντολαὶ αἱ ἄφεσιν μὲν προξενοῦσαι οὐ μὴν καὶ τελειότητος ἀξιοῦσαι· οἷον τὸ ὁμολογεῖν καὶ ἐξαγορεύειν τὰ πλημμελήματα, τὸ ἀφιέναι τοῖς ὀφειλέταις τὰ ὀφειλήματα· τὸ μὴ πολυπραγμονεῖν τὰ ἀλλότρια, τὸ ἐλεεῖν ἐκ τῶν ὑπαρχόντων, τὸ φέρειν μετ' εὐχαριστίας τὰ ἐπερχόμενα λυπηρά, τὸ ὁμολογεῖν δωρεὰν καὶ χάριτι σῴζεσθαι. Εἰ μὲν οὖν τὰς πρώτας καὶ θεουργούς τις ἐργάσεται ἐντολὰς ἀπ' ἐντεῦθεν λαμβάνει τὸν ἀρραβῶνα τοῦ Πνεύματος· εἰ δὲ μή, κἂν τὰς δευτέρας μετ' ἐπιμελείας ἐργαζέσθω, ὅπως τύχῃ τῆς τῶν πλημμελημάτων αὐτοῦ συγχωρήσεως· εἰ δ' ἀμφοτέρων τούτων ἐκπέσῃ, ἄθλιος οὗτος καὶ ἀχρεῖος καὶ ταλαίπωρος καὶ προσδοκάτω τὴν ἀποκειμένην τῷ διαβόλῳ κόλασιν καὶ τοῖς Ἀγγέλοις αὐτοῦ.

Διάκρισις τῆς φύσεως τῶν πραγμάτων.

Τῶν πραγμάτων τὰ μὲν εἰσὶ κυρίως καλά, τὰ δὲ κακά, τὰ δὲ μέσα· καὶ κυρίως καλὰ μέν, φρόνησις, δικαιοσύνη, σωφροσύνη, ἀνδρεία: κυρίως δὲ κακὰ ἀφροσύνη, ἀδικία, ἀκολασία, δειλία. Μέσα δέ: πλοῦτος, πενία, δόξα, ἀδοξία, ὑγιεία, νόσος, πολυμάθεια, ἀμάθεια, καὶ τὰ τοιαῦτα. Μέσα δὲ λέγονται διὰ τὸ καθ' ἑαυτὰ μήτε κυρίως καλὰ εἶναι μήτε κυρίως κακά, ἀλλὰ παρὰ τὴν χρῆσιν τῶν χρωμένων ἢ τοῦτο ἢ ἐκεῖνο γινόμενα. Οἷον ὁ πλοῦτος, καλὸς μὲν εἰς ἐλεημοσύνην διδόμενος, κακὸς δὲ πρὸς ἡδονὰς δαπανώμενος· ὡσαύτως καὶ ἡ πενία· καλὴ μέν, ἅτε καρτεροὺς καὶ εὐχαρίστους ἡμᾶς διδάσκουσα, κακὴ δὲ βλασφήμους καὶ ἀνελευθέρους ἐκ τοῦ μὴ καρτερεῖν τίκτουσα· καλὴ καὶ ἡ δόξα, ὅταν ταπεινοφροσύνην ἡμᾶς ἐκδιδάσκῃ καὶ τῆς μελλούσης δόξης ἔφεσιν· κακὴ δέ, ὅταν δουλοπρέπειαν καὶ διὰ φόβον ἀνθρωπίνου πάντα ποιεῖν ἀναπείθῃ. Καλὸν δὲ καὶ ἀδοξία καλὸν καὶ ὑγεία, ὅταν εἰς εὐαρέστησιν τοῦ Θεοῦ καὶ ἐργασίαν τῶν ἐντολῶν αὐτοῦ ταύτῃ χρώμεθα· κακὴ δέ, ὅταν πρὸς ἀκολασίαν καὶ ἀδικίαν. Ὁμοίως καὶ ἡ νόσος καλή, ὅταν εὐχαριστῶμεν καὶ συνεργῷ ταύτῃ πρὸς ἀπάθειαν χρώμεθα, κακὴ δέ, ὅταν πρὸς ἀχαριστίαν καὶ βλασφημίαν καὶ ὀργὴν φέρῃ. Καλὴ καὶ ἡ πολυμάθεια, ὅταν πρὸς διδασκαλίαν καὶ βοήθειαν τῶν ἀδικουμένων ταύτῃ χρώμεθα· κακὴ δὲ ὅταν πρὸς κενοδοξίαν καὶ κακοδοξίαν καὶ συνηγορίαν τῆς ἀδικίας. Καλὴ ἡ ἀμάθεια, ὅταν παρασκευάζῃ ἡμᾶς ὑπο-

τάσσεσθαι τοῖς εἰδόσι καὶ παρ' αὐτῶν πορίζεσθαι τὴν ὠφέλειαν κακὴ δὲ ὅταν πείθῃ ἡμᾶς τῇ οἰκείᾳ ἀμαθείᾳ στοιχεῖν καὶ μὴ τοῖς κρείττοσι πείθεσθαι· ὁμοίως καὶ τὰ λοιπὰ πάντα εὐγένεια, δυσγένεια, εὐμορφία, ἀμορφία, καλλιφωνία, κακοφωνία, ἰσχύς, ἀδυναμία, ταχυτής, βραδυτής, τέχνη, ἀτεχνίᾳ καὶ πρὸς διακονίαν ἐπιτηδειότης. Ταῦτα πάντα, ὡς εἴρηται, τῶν μέσων εἰσί· καὶ ὁ καλῶς τούτοις χρώμενος οὐδὲν παρὰ τούτων βλαβήσεται, ὡς ὁ μακάριος Ἰώβ· εἰς ἀμφότερα γὰρ ἐξετασθεὶς εὐδόκιμος ἐφάνη καὶ ἀκαταγώνιστος διὰ πάντων εὐαρεστήσας τῷ Θεῷ· ὥστε οὐ δεῖ τὰ πράγματα αἰτιᾶσθαι· οὐδὲν γὰρ τῶν παρὰ Θεοῦ δοθέντων κακόν, ἀλλά, κατὰ τὴν ἐσφαλμένην ἡμῶν ἐθελότρεπτον προαίρεσιν καὶ τὴν ἀναισθητοῦσαν τῆς ψυχῆς ἡμῶν περὶ ταῦτα διάκρισιν, ἥτις αὐτεξουσίως πρὸς τὴν τούτων ὀλισθαίνει παράχρησιν, ἐξ οἰκείας φιλαυτίας καὶ ἐμπαθείας καὶ τῆς τοῦ Θεοῦ καὶ τῶν αὐτοῦ ἐντολῶν καταφρονήσεως.

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ (στίχοι 90).

Κλαυθμοὶ καὶ θρῆνοι μοναχοῦ ἁμαρτωλοῦ καὶ ξένου,
δι' ὧν καὶ ἀπελέγετο ψυχὴν πρὸς τὴν ἰδίαν:
πῶς κάθῃ, πῶς ἀμεριμνεῖς, πῶς ἀμελεῖς, ψυχή μου,
πῶς οὐ φροντίζεις τῶν κακῶν, ἃ ἔπραξας ἐν βίῳ
καὶ μόνην τὴν μετάνοιαν περὶ πολλοῦ ποιῆσαι
καὶ ταύτην ἐπιδείξασθαι ἀληθινὴν σπουδάζεις,
καὶ ἐρωτᾷς περὶ αὐτῆς παρακαλοῦσα πάντας
Πατέρας, Διδασκάλους τε, Ποιμένας σοφωτάτους,
ἐξερευνῶσα ἀκριβῶς πῶς ταύτην κατορθώσεις,
καὶ πῶς ἰσχύσεις δι' αὐτῆς, Θεοῦ φιλανθρωπία,
λαβεῖν τελείαν ἄφεσιν τῶν σῶν πολλῶν σφαλμάτων.
ψυχὴ ἀμετανόητε, οὐκ ἐνθυμῇ τὴν Κρίσιν ;
οὐ μελετᾷς ἀπόκρισιν τοῦ τότε κριτηρίου;
πῶς οὐ λαμβάνεις ἐπὶ νοῦν τὴν ὥραν τοῦ θανάτου
καὶ πῶς ἀπὸ τοῦ σώματος διαζευχθῆναι μέλλεις;
ψυχή ! πολλὰ κακὰ ἔπραξας ἐν τῷ ματαίῳ βίῳ
καὶ σεαυτὴν ἐμόλυνας ἐν ἁμαρτίαις πάσαις,
ἐλθόντων οὖν τῶν φοβερῶν Ἀγγέλων τοῦ Κριτοῦ σου
θελόντων μεταστῆσαί σε τοῦ βίου τοῦ προσκαίρου
οὐαί, οὐαί σοι, ταπεινή, ἂν ληφθῇς ἀμελοῦσα
ἀνεξαγόρευτος λοιπὸν τοῖς πράκτορσιν ἐκείνοις,
δεινὸν τὸ ψυχορρήγημα καὶ ὁ ἐντεῦθεν κλόνος,
πολὺ δὲ χαλεπώτερον ἡ στένωσις ἡ τότε,
ἡνίκα σε κυκλώσωσι γύρωθεν τοῦ κραβάτου
οἱ συγγενεῖς καὶ ἀδελφοὶ καὶ φίλοι καὶ γνωστοί σου,
καὶ κλαίουσιν, ὀδύρονται θρηνοῦσιν οἱ παρόντες
εἰδότες ὡς ἀποδημῶν οὐχ ὑποστρέψεις ἔτι.
σὺ δέ, ψυχή μου, βλέπεις μὲν τὸν κλαυθμὸν καὶ τοὺς θρήνους-
ναρκωδεστέροις ὀφθαλμοῖς λοιπὸν βραδυδορκοῦσι,
φθέγξασθαι δ' οὐ δεδύνησαι οὐδ' ἐπισχεῖν τὸ πένθος
οὐδὲ παραμυθήσασθαι τῶν φίλων σου τὴν λύπην
ἀλλὰ πρὸς μόνους ἔχεις σου τὸ βλέμμα τοὺς Ἀγγέλους
παρακαλεῖς τε κατὰ νοῦν παράκλησιν μεγάλην:
ἐάσατέ με Ἄγγελοι, ἵνα μετανοήσω,

οἰκτείρατε, καὶ ἄφετε ἄλλον γοῦν ἕνα χρόνον,
τοῦ ζῆσαι καὶ διαφυγεῖν τὸν φόβον τοῦ θανάτου·
καὶ κλαύσω μου τὰ πταίσματα, ἃ κακῶς εἰργασάμην,
εὔσπλαγχνος γὰρ ὁ Κύριος καὶ ἴσως ἐλεεῖμε,
ἔκτοτε δὲ λαβόντες με τὸ κελευθὲν ποιεῖτε.
τότε, ψυχή μου, λέγουσιν ἀσυμπαθῶς ἐκεῖνοι :
ὁ χρόνος σου πεπλήρωται, ἔξιθι τοῦ σαρκίου,
ὁ δικαστὴς προσέταξεν ὁ φοβερὸς ὁ μέγας,
ἵνα σὲ μεταστήσωμεν ἀπὸ τοῦ κόσμου τούτου
τοὺς χρόνους ὅλους ἔζησας ἐν πάσῃ ἀμελείᾳ,
ἐν ἀναπαύσει καὶ τρυφῇ τούτους ἐκδαπανῶσα
ὥρας οὐκ ἐμνημόνευσας ποτὲ τῆς τοῦ θανάτου,
νῦν ὅτε σὲ λαμβάνομεν ἐμνήσθης μετανοίας·
πάντως γὰρ ὑπεμίμνησκον πᾶσαι Γραφαί σε πάντα,
ἃ μέλλει μετὰ θάνατον συμβαίνειν σοι, ἀθλία,
οὐ καθ' ἑκάστην ἔβλεπες ὅμως τοὺς τελευτῶντας
ἁρπαζομένους ἐκ τῆς γῆς γέροντάς τε καὶ νέους,
πῶς οὖν οὐ μετενόησας τῷ παρελθόντι χρόνῳ ;
δεῦρο λοιπὸν ἀπέλθωμεν ἄρτι πρὸς τὸν Δεσπότην
τὸν σόν τε καὶ ἡμέτερον δημιουργὸν καὶ πλάστην·
τότε δὴ χωρισθεῖσα σὺ ἐξ αὐτῶν τῶν ὀνύχων
καὶ πάσης ἁρμονίας τε ἐξ ὅλης τῆς σαρκός σου
παραλαμβάνῃ δυστυχῶς τοῖς φοβεροῖς Ἀγγέλοις,
οὐ παίδων τότε, οὐ γυναικὸς φροντίζεις, ὦ ψυχή μου,
τὴν κρίσιν μόνον δέδοικας, τὴν ψῆφον ὑποτρέμεις,
ὁποίαν ἄρα δώσει σοι ὁ δικαστὴς ἐνδίκως·
ποῦ τηνικαῦτα χρήματα καὶ κτήματα καὶ πλοῦτος,
ποῦ συγγενεῖς καὶ ἀδελφοί, ποῦ γονεῖς τε καὶ φίλοι·
οὐδεὶς ἐκ τούτων δύναται, ψυχή μου, βοηθῆσαι·
ποῦ τραπεζῶν ἁβρότητες, μαγείρων μαγγανεῖαι,
βρωμάτων καὶ πομάτων τε κόρος καὶ ποικιλία,
ποῦ τῶν λουτρῶν ἡ ἄνεσις, σαρκὸς αἱ θεραπεῖαι,
ποῦ τῶν αὐλῶν τὰ θέλγητρα, τὰ τύμπανα καὶ λύραι,
καὶ ὁμοφωνίαι, φόρμιγγες, καὶ πάντα τὰ σπιλοῦντα,
ποῦ ἡ χαρὰ ἡ πρόσκαιρος τοῦ βίου καὶ ματαία,
ὡς ὄναρ παρελήλυθεν, ὡς καπνὸς διελύθη,
ὡς κόνις ὑπὸ λαίλαπος ἀθρόως ἐσκεδάσθη

ψυχή μου τί ὠφέλησε τὸ πήλινον σαρκίον
ὃ λίαν ἐθεράπευες νύκτας καὶ τὰς ἡμέρας
τὸ σῶμα γὰρ ἐπόρνευεν ἔχον τὰς ἀναπαύσεις
ἐκεῖνο δέ γε σέσηπε, σὺ δ' ἔχεις τὰς ὀδύνας
ὄμμα κακῶς ἠτένιζεν ἐμπαθῶς βλεμματίζον,
ἡ γλῶσσα φιλολοίδωρος ὕβρεσι τερπομένη,
αἱ χεῖρες ξένους ἔτυπτον καὶ ὀρφανοὺς καὶ χήρας
ἁρπαγαῖς μᾶλλον ἔχαιρον, οἰκέτας ἐμαστίγουν,
οἱ πόδες πάντοτ' ἔτρεχον εἰς πράξεις τὰς ἀτόπους
εἰς μάχας, εἰς τὰ θέατρα, εἰς τὰς ὀρχήστρας, οἴμοι·
νῦν οὖν ψυχή· σὺ μὲν πενθεῖς καὶ τρέμεις καὶ στενάζεις
τὸ σῶμα δὲ βιβρώσκεται τοῖς σκώληξιν ἐν τάφῳ·
ψυχὴ τίς διηγήσεται τὴν φοβερὰν ἡμέραν
καὶ τὴν ἀνάγκην τὴν πολλήν, ἣν μέλλει ὑπομένειν,
ὅταν ἀπὸ τοῦ σώματος ποιῇ τὴν ἐκδημίαν,
οἱ δαίμονες ἀθροίζονται ἐγγύθεν παρεστῶτες
καὶ τῇ ζυγῷ χειρόγραφα τιθέασι τῶν σῶν ἔργων.
Ἄγγελοι δὲ σταθμίζουσι ταῦτα σὺν ἀκριβείᾳ,
ἄν τε πτωχὸν ἠδίκησας, ἄν τε φόνον εἰργάσω,
ἂν ὤμοσας, ἂν ἔκλεψας, ἂν συκοφάντης ὤφθης,
ἂν τὸν πλησίον ἔβλαψας, ἂν μοιχὸς ἐφωράθης,
ἂν ἐψευδομαρτύρησας, ἂν οὐκ ἠγάπας πάντας,
ἅπαντα δ' ὅσα ἥμαρτες, ἐξ ὅτου ἐγεννήθης,
ἐν γνώσει καὶ ἀγνοίᾳ τε ἑκὼν ἢ πάλιν ἄκων,
πάντα σου τὰ χειρόγραφα εἰσάγουσι σπουδαίως,
οἱ δαίμονες, ὡς ἔφημεν, ἁρπάσαι σε ζητοῦντες,
τῆς πλάστιγγος κατωφεροῦς τῷ πλήθει γενομένης·
οἱ Ἄγγελοι δὲ φέροντες τὰς ἀγαθάς σου πράξεις,
τιθέασιν εἰς τὸ ἕτερον μέρος τὸ τῆς τρυτάνης·
τότ' ἂν ἠλέησας, ψυχή, ὀρφανούς τε καὶ χήρας,
ἄν περ ἐφαγοπότισας πεινῶντας ἢ διψῶντας,
γυμνούς, ἐὰν ἐνέδυσας, τετρυχωμένους, κρύει,
ἂν ἐπεσκέψω φυλακαῖς καὶ νόσοις ἰσχυμένους
ξένους δ' εἴπερ συνήγαγες, ἔνδον τῆς σῆς οἰκίας,
ἂν ἐβοήθησες ποτὲ τοῖς καταπονουμένοις
καὶ ἕτερα παρόμοια τούτοις, εἴπερ εἰργάσω,
μεγάλως βοηθοῦσί σοι ἐν ἐκείνῃ τῇ ὥρᾳ,

ὁπόταν οὖν προσφέρωσιν ἀμφότεροι τὰς πράξεις,
οἱ μὲν αἰσχρὰς καὶ πονηράς, βεβήλους ἀκαθάρτους,
οἱ δὲ τὰς φίλας τῷ Θεῷ καὶ πᾶσι τοῖς δικαίοις,
καὶ βάλωσιν ἑκάτεροι ταῖς πλάστιγξι τὰς πράξεις,
κατωφερὲς δὲ γένηται τὸ μέρος τῶν πλειόνων
σκιρτῶσι δὴ καὶ χαίρωσιν οἱ τούτων προεστῶτες,
οἱ δ' ἕτεροι στυγνάζουσι τυχὸν ὡς ἡττηθέντες,
καθὼς φησὶ Γρηγόριος ὁ Διάλογος γράφων,
καὶ ὁ μέγας Μακάριος ἐν τοῖς Πατράσιν αὖθις,
σὺν τούτοις καὶ Ἀντώνιος τῶν μοναστῶν ὁ πρῶτος·
τότε, ψυχή μου, ταπεινή, Θεὸς ὁ ἐλεήμων
ἢν ἐπιβλέψῃ πρὸς τὰς σὰς ἀγαθὰς οὕτω πράξεις
ἐλευθεροῖ σε τῶν δεινῶν καὶ πονηρῶν δαιμόνων
εὐθὺς δὲ προσλαμβάνει σε τὸ τάγμα τῶν Ἀγγέλων·
καὶ ἄνεισι μετὰ χαρᾶς ἄνω πρὸς τὸν αἰθέρα
εὑρίσκει δὲ τοὺς ἄρχοντας αὐτίκα τοῦ ἀέρος
εὑρίσκει τὰ τελώνια τῶν πονηρῶν δαιμόνων
τὰ πάνδεινα καὶ κάκιστα φρικτούς τε φορολόγους
τοῦ ζήλου καὶ τοῦ φθόνου τε τῆς ὑπερηφανίας
τοῦ ψεύδους καὶ τῶν καθ' ἑξῆς παθῶν καὶ τῆς πορνείας
ἀπαριθμεῖν ἀμηχανῶ γράφειν οὐκ ἐξισχύσω,
πάντα λογοθετοῦσι σε, παντάλαινα, τῷ τότε,
ἄχρι τὴν πύλην οὐρανοῦ φθάσεις πολλὰ καμοῦσα,
παραδραμοῦσα δὲ ψυχὴ δεινὰ τὰ προρρηθέντα
εἰς τὸν ἀδέκαστον κριτὴν ἀπέρχῃ τῶν ἁπάντων·
πίπτεις, ψυχή, καὶ προσκυνεῖς τοῦ φρικτοῦ πρόσθεν θρόνου,
καὶ δίδωσιν ἀπόφασιν αὐτίκα ὁ δεσπότης,
ἵνα σοι ὑποδείξωσιν ἅπαντας τοὺς δικαίους
καὶ παρευθὺ πορεύεσαι καὶ βλέπεις τοὺς ἁγίους
βλέπεις, ψυχή, παμφώτεινον τόπον καὶ θυμηδίαν
βλέπεις ἐκεῖ τὸν Ἀβραάμ, τὸν μέγαν Πατριάρχην,
τὸν Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς πρὸ Νόμου
ἀπὸ Ἀδὰμ καὶ καθεξῆς, καὶ αὖθις, μετὰ Νόμον,
Θεῷ εὐαρεστήσαντας δικαίους εὑρεθέντας
Προφήτας τοὺς προκηρύξαντας Χριστοῦ τὴν παρουσίαν
τὴν κατὰ σάρκα γέννησιν τὸν θάνατον καὶ τἄλλα,
ἅπερ ὑπέστη δι' ὑμᾶς ἵν' ὅπως καὶ σωθῶμεν,

τῶν Ἀποστόλων τὸν χορόν, Ἱεραρχῶν, ὁσίων
καὶ τὸ μαρτύρων σύνταγμα καὶ πάντων τῶν δικαίων
τὴν Θεοτόκον αὖθις δὲ Χριστὸν τὴν τετοκυῖαν
τὴν ἀνυπέρβλητον χαρὰν ἐκείνην καὶ τὸ κάλλος·
νοῦς τοίνυν πᾶς ἀδυνατεῖ Ἀγγέλων καὶ ἀνθρώπων
εἰπεῖν ἢ διηγήσασθαι τὰ τοῦ χώρου ἐκείνου·
μετὰ δὲ τὸ θεάσασθαι, ψυχή μου, ταῦτα πάντα,
εὐφραίνῃ τὴν κατοίκησιν ὁρῶσα τῶν δικαίων
καὶ τὴν σκηνὴν ἐπιποθεῖς ἐκεῖσε καταπῆξαι
παρακαλεῖς καὶ προσκυνεῖς, ψυχή μου, τοὺς Ἀγγέλους
ἐκείνους οὓς ἐκέλευσεν ὁ φοβερὸς δεσπότης
ἵνα σοι ὑποδείξωσι ψυχὰς τὰς τῶν δικαίων
καὶ λέγεις ἱκετεύουσα μετὰ πολλοῦ τοῦ δέους:
ἐάσατέ με Ἄγγελοι ἐνθάδε διατρίβειν
ὅπως ὑμῖν ἀείποτε εὐχαριστῶ μεγάλως,
οἱ δὲ κατὰ τὴν πρόσταξιν τοῦ κριτοῦ καὶ Θεοῦ σου,
εἴπερ τυγχάνεις καθαρὰ καὶ ἄσπιλος, ὡς αὗται,
συμμέτοχον δεικνύουσι τῆς χαρᾶς τῆς ἐκεῖσε
καὶ εὐφροσύνης μετ᾿ αὐτῶν πρὸς δὲ καὶ συναυλίας·
ἂν δέ γε πλεονάζωσι τὰ κακῶς σοι πραχθέντα
οἱ σκοτεινοὶ καὶ ζοφεροὶ καὶ φοβεροὶ τὰς ὄψεις
ἁρπάζουσί σε ἀναιδῶς καὶ εὐλόγως δῆθεν οὗτοι,
καὶ αἴροντές σε, τάλαινα, ἀπέρχονται πρὸς ᾅδην·
ψυχή μου, καὶ δεικνύουσι τὰς ζοφερὰς κολάσεις
τὸ σκότος τὸ ἐξώτερον καὶ ἀφεγγὲς διόλου
σκώληκα τὸν ἀκοίμητον καὶ ᾍδου τὸν πυθμένα,
καὶ τοῦ πυρὸς τὴν γέενναν τὴν πάνδεινον ἐκείνην
καὶ τῶν ὀδόντων τὸν βρυγμὸν καὶ Τάρταρόν τε αὖθις
καὶ τὰ λοιπὰ καὶ φοβερά, κολαστήρια, φεῦ μοι!
ἀπαριθμεῖν οὐ δύναμαι τὰ πάντα κατὰ μέρος,
εἰς ἃς διαμερίζονται ἁμαρτωλοί, κολάσεις,
καὶ κλαίουσιν ἀνωφελῆ πικρὰ καὶ πλήρη πόνων,
οὐαὶ ἡμῖν τοῖς ταπεινοῖς καί, αὖθις φεῦ, τοῖς ὧδε,
ἁμαρτωλοῖς καὶ ταπεινοῖς ἡμέραν τε καὶ ὥραν
ἐν ᾗ περ ἐγεννήθημεν ἀθλίως ἐπαρῶνται,
ἄρχου, ψυχή, τότε θρηνεῖν, ἄρχου μεταμελεῖσθαι
ἀθλία καὶ ταλαίπωρε· οὐαί! πικρῶς βοῶσα·

μετὰ δὲ τὸ θεάσασθαι ταῦτα πάντα, ψυχή μου,
καὶ τὰ τερπνὰ καὶ ποθεινὰ καὶ τὰς φρικτὰς κολάσεις
ἔκτοτε καθιστῶσί σε εἰς τόπον ὡρισμένον
ἔνθα καὶ προσετάχθησαν ὑπὸ τοῦ κτίστου πάντων
καὶ μένεις τὴν ἐξέτασιν τὴν φοβερὰν Κυρίου
ἄχρι τῆς ἀναστάσεως τῆς κοινῆς καὶ καθόλου,
ὅτε σαλπίσει φοβερόν, ἠχητικὸν καὶ μέγα,
καὶ οἱ νεκροί, ὡς ἐν σεισμῷ, ἀναστήσονται πάντες
ἡ γῆ δὲ καὶ ἡ θάλασσα τοὺς ἑαυτῶν φεροῦσι
νεκρούς, οὕσπερ κατέπιον ἀνελλιπεῖς καὶ σῴους·
πάντες γὰρ ἀναστήσονται μικροί τε καὶ μεγάλοι,
ἁμαρτωλοὶ καὶ δίκαιοι, ἐλεύθεροι καὶ δοῦλοι
καὶ ἄρχοντες καὶ βασιλεῖς σὺν τούτοις καὶ τοπάρχαι
καὶ πλούσιοι καὶ πένητες, μονασταί, καὶ μιγάδες,
ψυχή, τίς διηγήσεται τὸν φόβον καὶ τὸν τρόμον
τὸν μέγαν καὶ ἀνύποιστον ἐκείνης τῆς ἡμέρας,
ὅταν οὐ λάμπῃ ὁ ἥλιος οὐδὲ σελήνη φαίνῃ,
ὅταν τὰ ἄστρα πίπτωσιν, ὥσπερ τὰ δένδρων φύλλα,
ὁ οὐρανὸς δὲ καὶ ἡ γῆ ἀλλάξωσι τὴν φύσιν
εἰς κρείττω καὶ βελτίονα ὁμοῦ καὶ θειοτέραν,
Προφήτης τοῦτο ἔφησεν ὁ μέγας Ἡσαΐας,
καινὸς γὰρ ἔσται οὐρανὸς τοῦ μέλλοντος αἰῶνος
δηλῶν πως τὴν ἐναλλαγὴν τὴν τούτου καὶ τὸ σχῆμα,
ὡσαύτως ἔσται καὶ ἡ γῆ καινὴ ἐξηλλαγμένη
τὴν μεταποίησιν αὐτῆς καὶ κάλλος προσημαίνων,
τὰ δ' ἐν τῷ μέσῳ ἅπαντα ἀφανιοῦνται ἄρδην
τὰ ἐν τῇ γῇ καὶ οὐρανῷ ὅσα καὶ οἷα πέλει·
αὖθις δ' ὁ τίμιος σταυρὸς ἐξ οὐρανοῦ φανεῖται,
καθὼς ὁ Εὐαγγελιστὴς Ματθαῖος γράφει τοῦτο,
μετὰ πασῶν τῶν στρατιῶν ταγμάτων οὐρανίων
Ἀγγέλων Ἀρχαγγέλων τε, ἐξουσιῶν Ἀρχῶν τε,
μετὰ Πολυομμάτων τε καὶ τῶν Κυριοτήτων,
καὶ Χερουβὶμ καὶ Σεραφίμ, δυνάμεων πασῶν τε,
ἔμπροσθεν προπορεύονται τοῦ φοβεροῦ δεσπότου
αὐτὸς ὑπάρχει ὁ Χριστός, ὁ υἱὸς τοῦ ἀνθρώπου·
καὶ τρέμουσι καὶ φρίττουσιν αὐτοῦ τὴν ἐξουσίαν
εἰς τὴν κοιλάδ' ἀπέρχονται, ἣν δὴ φασὶ κλαυθμῶνος

καὶ θρόνον στήσουσιν ἐκεῖ τὸν φοβερόν, ἀθλία,
εἰς ὃν ὁ μέγας δικαστὴς καὶ κριτὴς καὶ δεσπότης
καθίσει, ὥσπερ γέγραπται, βροτείαν φύσιν κρῖναι
τότε πτωχοὶ καὶ πλούσιοι, βασιλεῖς καὶ τοπάρχαι,
ἐκεῖσε συναθροίζονται ἐν τῷ δικαστηρίῳ,
ὑπὸ Ἀγγέλων φοβερῶν ἀπεσταλμένων, πάντες
τοῦ δοῦναι δίκην ἕκαστος, ὧν ἔπραξεν ἐν βίῳ,
ἀγαθῶν ἐργων, φαύλων τε, ἀμφοτέρων, ψυχή μου,
βίβλοι γὰρ τότ' ἀνοίγονται τὰς πράξεις φανερῶσαι
ὁ χωρισμὸς γενήσεται ἐξ ἀμφοτέρων, οἴμοι!
δικαίους μὲν ἐκ δεξιῶν στήσει κριτὴς ὁ μέγας
ἁμαρτωλοὺς τοὺς κατ' ἐμὲ τοὺς καταδικασθέντας
ἐξ εὐωνύμων τούτους δέ· οἴμοι, ψυχή μου, οἴμοι!
κατῃσχυμμένους καὶ γυμνούς, καὶ τετραχηλισμένους,
ἀνωφελῆ, ἀνόνητα, πενθοῦντας καὶ θρηνοῦντας,
καὶ οὕτω τοῖς ἐκ δεξιῶν ὁ βασιλεὺς προσείπῃ·
δεῦτε κληρονομήσατε τὴν πάλαι βασιλείαν,
ἡτοιμασμένην παρ' ἐμοῦ ὑμῖν γε τοῖς δικαίοις
πεινῶντα καὶ διψῶντα με γυμνὸν καὶ ἀσθενοῦντα,
ἐν φυλακῇ καὶ ξένον με, ἴδετε τεθλιμμένον,
καὶ ἕκαστος, ὡς δυνατόν, διηκονήσατέ μοι
τοῖς δέ γε, φεῦ μοι, ταπεινοῖς οὖσιν, ἐξ εὐωνύμων,
πορεύεσθαι, κατάρατοι, ἀπ' ἐμοῦ πρὸς τὸν Ἅδην
εἰς σκότος τὸ ἐξώτερον εἰς πῦρ τὸ τῆς γεέννης
ὃ τῷ σατὰν ἡτοίμασται καὶ τοῖς ἀγγέλοις τούτου
ἐπεὶ τὰ ἔργα τοῦ αὐτοῦ ἐποθήσατε πλέον
καὶ τὰ θελήματαα αὐτοῦ παμπόθητα ἡγεῖσθε,
αὐτὰ καὶ διεπράττετε ἡμέραν ἐξ ἡμέρας
τῶν ἐντολῶν δὲ τῶν ἐμῶν ἀεὶ κατεφρονεῖτε,
αὐτὰς καὶ διεπτύετε καὶ ἀπεστρέφεσθέ γε,
καὶ τὰς συνθήκας πάσας δὲ τοῦ βαπτίσματός μου,
καὶ ψεῦσται κατεφάνητε καὶ ἀποστάται δέ μου.
ἀπέλθετε πρὸς τὸν ὑμῶν καὶ φίλον καὶ δεσπότην,
καὶ σὺν αὐτῷ κολάζεσθε αἰῶνας εἰς αἰώνων,
τότε, ψυχὴ πεντάλαινα, ψυχή μου παναθλία,
εἴγε ἦν δὶς ἀποθανεῖν καὶ χωρισθῆναι πάλιν,
ἀπέφυξαν ἂν ἅπαντες μὴ φέροντες τὸν φόβον,

οὐαί σοι τάλαινα! ψυχή, καταδεδικασμένη,
συχνὰ μέλλεις περιβλεπτεῖν ἐνταῦθα καὶ ἐκεῖσε
ὁ βοηθῶν οὐ πάρεστιν οὐδ' ὁ λυτρούμενός σε·
λοιπὸν τὰ ἔργα τὰ δεινά, τὰ πλεῖστα καὶ μεγάλα
ἅπερ εἰργάσω, οἴκτιστε, ἐν τῷ παρόντι βίῳ
αὐτὰ κατακρινοῦσί σε εἰς γέενναν βληθῆναι
λοιπὸν τίς διηγήσεται τὰς θλίψεις καὶ τοὺς πόνους
καὶ τὴν ἀνάγκην τὴν πολλὴν τὸ πένθος καὶ τὸν θρῆνον
ἃ μέλλει σε καταλαβεῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ,
ἡνίκα σε χωρίζωσιν ἀπὸ τῶν συγγενῶν σου
καὶ γεννητόρων ἀδελφῶν καὶ γυναικὸς καὶ τέκνων,
φίλων ἰδίων ἔτι δὲ καὶ τῶν γνωρίμων πάντων·
Ἐπίσκοποι χωρίζονται, ἀπὸ συνεπισκόπων,
ὁμοίως καὶ Πρεσβύτεροι ἀπὸ συμπρεσβυτέρων
καὶ οἱ λοιποὶ ἐκ τῶν αὐτοῖς ὁμοίως κατὰ τάξιν
ἐκ τούτων οὖν τῆς δεξιᾶς μερίδος οἱ τυχόντες
ἀπέρχονται μετὰ πολλῆς χαρᾶς καὶ εὐφροσύνης
εἰς τὸν τερπνὸν παράδεισον, τὴν ὄντως θυμηδίαν,
οὐ λέγω γὰρ τὸν αἰσθητόν, εἰς ὃν Ἀδὰμ ὑπῆρχεν,
ἀλλὰ παράδεισον, φημί, εἰς ὃν ἡρπάγη Παῦλος,
καὶ γνωριοῦσιν, ὦ ψυχή, ἅπαντας τοὺς δικαίους
Ἀδάμ, τὸν Ἄβελ, τὸν Ἐνὼς καὶ τὸν Ἐνὼχ καὶ πάντας,
οἵτινες εὐηρέστησαν πρὸ Νόμου τῷ Δεσπότῃ
τὸν Ἀβραάμ, Μελχισεδέκ, πρὸς δὲ τοὺς μετὰ Νόμον
τὸν Μωϋσῆν καὶ Ἀαρὼν καὶ πάντας τοὺς Προφήτας,
ἀλλὰ καὶ μετὰ σάρκωσιν Χριστοῦ καὶ παρουσίαν
τοὺς Ἀποστόλους τοὺς αὐτοῦ, τοὺς Μάρτυράς τε πάντας,
καὶ τοὺς Ὁσίους καθεξῆς· καὶ δὴ καὶ Ἱεράρχας,
τὴν Θεοτόκον Μαριὰμ σὺν τῷ Προδρόμῳ αὖθις,
τοὺς πάντας γὰρ γνωρίσουσι κατ' ἄνδρα καὶ κατ' εἶδος
καὶ τούτοις δὴ συνέσονται ψυχή μου, αἰωνίως·
εἰς δέγε τὴν ἀριστερὰν μερίδα οἱ τυχόντες
καὶ εἰς τὸν Ἅδην, φεῦ, ψυχή, δεινῶς κατακλεισθέντες
καὶ τὸ γνωρίζειν δυστυχῶς οὐκ ἔχουσιν ἀλλήλοις,
ἐκεῖσε σκότος ζοφερὸν καὶ ἀφεγγὲς διόλου,
καὶ πῶς λοιπὸν κατόψονται ἀλλήλους ἐν τῷ σκότει;
ἐκεῖ κλαυθμὸς καὶ ὀδυρμὸς οὐδέν τι λέγω πλέον

οὐαί, φιλτάτη μου ψυχή, τοῖς ἐκεῖσε λαχοῦσιν·
ἐκεῖ βληθῆναι γὰρ ἐστὶν οὐ μὴν καὶ ἐκβληθῆναι·
ἀνάνηψον, ταλαίπωρε· ἀνάστα, τί καθεύδεις ;
ἔγειραι καὶ γρηγόρησον, ἐν ὅσῳ καιρὸν ἔχεις
ἀνάστηθι καὶ σπούδασον ψυχή μου πρὸ θανάτου,
τὴν ραθυμίαν δίωξον, τὴν χαύνωσιν ἀπώθου,
ἐξάγγειλον, ἃ ἥμαρτες, ἐξότου ἐγεννήθης,
καὶ στέναξον καὶ δάκρυσον καὶ τύψον σου τὸ στῆθος,
καὶ σκόρπισον, ἃ δύνασαι, τοῖς πένησι προθύμως,
καὶ δός, ψυχή μου, σύνταξιν μηκέτι ἁμαρτῆσαι·
ὁ θάνατος ἐφίσταται ἀώρως, ὥσπερ κλέπτης,
καὶ τὴν ἡμέραν ἀγνοεῖς, τὴν ὥραν οὐ γινώσκεις
μήπως σὲ καταλήψεται ἀνέτοιμον, ἀθλία·
συγχώρησον τῷ πταίσαντι, τῷ παροργίσαντί σε,
καὶ ἄφες ὅσα ἥμαρτες καὶ σύγγνωθι τῷ πέλας·
τῇ Θεοτόκῳ πρόσπεσε θερμῶς παρακαλοῦσα
ὡς πλείστην πρὸς τὸν Κύριον ἐχούτῃ παρρησίαν
καὶ τοὺς ἁγίους ἅπαντας μὴ παύσῃ δυσωποῦσα
ἵνα σοι ἀπεργάσωνται Χριστὸν ἵλεων τότε,
ἔκτοτ' ἂν ἔλθῃ θάνατος, ψυχή, μὴ δειλιάσῃς·
ὁ θάνατος ἀνάπαυσις γὰρ ἔστι τοῖς δικαίοις·
Χριστὸς γὰρ τοῦτο εἴρηκε ποτὲ τοῖς Ἰουδαίοις·
ἀμήν, ἀμήν, λέγω ὑμῖν, ὁ εἰς ἐμὲ πιστεύων,
ποιῶν δὲ καὶ τοὺς λόγους μου εἰς θάνατον οὐκ ἔλθῃ
διὰ θανάτου, μᾶλλον δέ, πρὸς ζωὴν διαβαίνει
ἐκείνην τὴν ἀΐδιον, ἧς γε οὐκ ἔσται τέλος,
ἥτις ὑπάρχει ὁ Χριστός· αὐτὸς γὰρ τοῦτο εἶπεν.
Ἰδού, ψυχή μου, εἰπόν σοι τὰ μέλλοντα γενέσθαι,
τῷ νῦν αἰῶνι μερικῶς, τῷ μέλλοντι δ' ὡσαύτως,
καὶ τῶν καλῶν καὶ τῶν δεινῶν πάντων ὑπέμνησά σε,
τῆς σωτηρίας φρόντισον τῆς σῆς παντοιοτρόπως,
Ὑμεῖς δὲ πάντες ἐν Χριστῷ, ἀδελφοὶ καὶ Πατέρες,
ὅσοι ἀναγινώσκετε τοὺς ἀγροίκους μου στίχους,
πενθήσατε, θρηνήσατε· ναὶ συνθρηνήσατέ μοι,
τοῦτο σημεῖον πέφυκε ἀγάπης πληρεστάτης,
τὸ χαίρειν μετὰ χαίροντος, πενθεῖν μετὰ πενθοῦντος
ἐν στεναγμοῖς καὶ δάκρυσι παρακαλῶ τοὺς πάντας,

ὑπὲρ ἐμοῦ προσεύχεσθαι τοῦ ἀλιτροῦ, καὶ λέγειν,
συγχώρησον, συγχώρησον, ναὶ σύγγνωθι. Χριστέ μου,
ψυχὴν ἀνδρὸς ἁμαρτωλοῦ, τοῦ πλέξαντος τοὺς στίχους
ὅπως μὴ φλέξῃ με ποτὲ τὸ πῦρ τῆς ἁμαρτίας·
τὸν πλάστην μου παρώργισα ἐκ τῶν ἀνομιῶν μου,
καὶ τῶν ἀμέτρων πράξεων, τῶν αἰσχρῶν καὶ βεβήλων,
ὡς μοναχός, τὸ μοναχῶν περιβέβλημαι σχῆμα,
ὡς κοσμικὸς δέ, ἀγαπῶ τὰ ἐν τῷ κόσμῳ πάντα!
δόξαν, τρυφήν, καὶ ἄνεσιν καὶ ἡδονὰς καὶ τέρψεις·
εἰμὶ ἀμετανόητος, θάνατον οὐ φοβοῦμαι.
ἐκ τῆς ἀναισθησίας μου καὶ τῆς ἀπροσεξίας,
οὐ τρέμω τὸ μυστήριον τὸ μέγα τοῦ θανάτου
ἐξαίφνης μήπως ἐπιστῇ ἀνέτοιμον εὑρῇ με
καὶ παραπέμψῃ κάτω με εἰς Ἅδου τὴν γαστέρα.
Ἀλλ', ὦ Κύριε, Κύριε· ὡς ἀγαθὸς ὢν, φύσει,
ὁ μὴ βουλόμενος ἡμῶν τὸν θάνατον, οἰκτίρμον,
ἐπιστροφὴν δὲ καὶ ζωὴν καὶ μετάνοιαν μᾶλλον,
πάντων ἀπεκδεχόμενος, ὡς Θεὸς καὶ Δεσπότης,
τοὺς στεναγμούς μοι δώρησαι ἐκείνου τοῦ τελώνου
τῆς πόρνης τε τὰ δάκρυα, Χριστέ μου, καὶ τοῦ Πέτρου,
ἵνα ἐκπλύνω παντελῶς τὸν ῥύπον τῆς ψυχῆς μου,
σὺ γὰρ αὐτὸς ἐδίδαξας μὴ χρῄζειν ἰατρείας
τοὺς ὑγιαίνοντας, σωτήρ, ἀλλὰ τοὺς ἀσθενοῦντας·
διό, ὡς ἀσθενοῦντί μοι πολλὰ καὶ ἁμαρτόν τι,
οὕτω πολὺ τὸ ἔλεος ἐπίχεον, Χριστέ μου·
καὶ ὁ πολὺς ἐν οἰκτιρμοῖς, ἄφατος ἐν ἐλέει,
τελείαν σύ μοι δώρησαι συγχώρησιν, Χριστέ μου,
καὶ μὴ κερδήσῃ με Σατὰν καὶ καυχήσῃ τε, Λόγε,
ὡς ἀποσπάσας με τῆς σῆς χειρὸς καὶ τῆς μάνδρας,
ἀλλὰ κἂν θέλω σῶσόν με, Χριστέ μου, κἂν μὴ θέλω
ἵνα κἀγὼ εὐχαριστῶ τὴν σὴν φιλανθρωπίαν,
δοξάζω δέ σε καὶ ὑμνῶ, ὡς πλάστην, καὶ Θεόν μου,
αἰνέσω σου τὸ ὄνομα καὶ θαυμαστὸν καὶ μέγα,
τὸ φοβερὸν καὶ ἅγιον καὶ ἔνδοξον ἐν πᾶσι,
νῦν καὶ ἀεὶ καὶ πάντοτε εἰς αἰῶνας αἰώνων·
ἀμὴν ἀμὴν καὶ γένοιτο, γένοιτο, γένοιτό μοι.

Ἐτελειώθη σὺν Θεῷ τὸ παρὸν πτυκτίον μηνὶ Μαΐῳ
ιϐ′ ἰνδ. γ′. κύκλος Σελήνης δέκατος,
Ἡλίου δὲ κγ′. ἐν ἔτει ,ϛχγ′ (1), διὰ χειρὸς
ἁμαρτωλοῦ Ναζωραίου καὶ ξένου καὶ πόνημα
καὶ σύγγραμμα τοὔνομε δὲ Διόπτρα.—
Ἂν δὲ καὶ τοὔνομα τὸ ἐμὸν μαθεῖν ἐθέλῃς, φίλος,
ἰδοὺ καὶ τοῦτο γράφω σοι καὶ ψηφίσας εὑρήσεις
ὀκτὼ γράμματα ἔχω καὶ εἰσὶν ἐκ τούτων σύμφωνα
πέντε· τρισύλλαβος εἰμί, νόει με· ἡ ὑστάτη
καὶ μέση ἀνὰ τρία γράμματα ἔχει ἑκάστη·
ἡ λοιπὴ δὲ τὰ λοιπὰ τοῦ παντὸς δύο·
ὁ ἀριθμὸς εἰσίν· ἑκατοντάδες τρεῖς τὸ τρεῖς
καὶ δεκάδες δὶς τετράκις ἤτοι ὁ πᾶς ἀριθμὸς
καὶ ψῆφος τούτων ἐνεακόσια ὀγδοήκοντα.

ἑρμηνεία	500	=	φ
	10	=	ι
	30	=	λ
	10	=	ι
	80	=	π
	80	=	π
	70	=	ο
	200	=	σ

(1) *Σημείωσις.* ,ϛχγ′=6603 ἀπὸ Κτίσεως Κόσμου· ὅθεν ἀπὸ Χριστοῦ γεννήσεως 6603—5508=1095.

Ἡ ἀντιγραφὴ ἔλαβε πέρας τῇ 12 Ἰανουαρίου 1918 ἡμέρᾳ Παρασκευῇ.

ΕΙΣ ΤΗΝ ΔΙΟΠΤΡΑΝ

ΛΕΞΙΛΟΓΙΟΝ

ΑΛΦΑΒΗΤΙΚΟΝ ΕΡΜΗΝΕΥΤΙΚΟΝ ΤΩΝ ΜΑΛΛΟΝ ΑΓΝΩΣΤΩΝ ΛΕΞΕΩΝ

ΥΠΕΡ ΤΩΝ ΗΤΤΟΝ ΠΕΠΑΙΔΕΥΜΕΝΩΝ ΑΝΑΓΝΩΣΤΩΝ

Α

ἀγακλυτός=ξακουσμένος.
ἀγείρω=ἀγήρατον.
ἀγνῶτες=ἄγνωστοι ἢ ἀγνοοῦντες.
ἄγροικον=χωριάτικο.
ἀγχίνοια=ἡ ἐκ τῆς συγκρίσεως ὁμοίων διάγνωσις.
ᾄδεται—ψάλλεται.
ἀδεῶς=ἀφόβως.
ἀδρυνθήσεται=θὰ ὡριμάσῃ.
ἄδυτα=ἐκεῖ ὅπου δὲν δύναταί τις νὰ εἰσχωρήσῃ.
ἀείζωος=αἰώνιος.
αἴγλης=λάμψεως.
αἰδεῖσθε=ἐντρέπεσθε.
αἰδεῖται=ἐντρέπεται νὰ κάμῃ τι.
αἱμορροούσης=ἐξ ἧς ῥέει αἷμα.
αἰνιττόμενος=ὑπονοῶν.
αἱρεῖται—προτιμᾷ, κυριεύει.
αἴρονται=σηκώνονται.
αἰσχημοσύνην=φαυλότητα,ἀκολασίαν.
ἀκαρεῖ (ῇ) = ἐν στιγμῇ χρόνου, πάραυτα.
ἀκήρατος,-άτῳ=ἀνόθευτος,ἀμόλυντος.
ἄκικυς, -υος=ἄνευ σθένους, ἀδύνατος.
ἀκμήν, ἐπίρρημ.=ἀκόμη, ἔτι.
ἄκμενον, ἴσως ἄκμηνον=νηστικόν.
ἄκμων=τὸ ἀμόνι τοῦ σιδηρουργοῦ,(κεραυνός).
ἄκος=θεραπεία.
ἀκραιφνὴς=φανερός.
ἀκτησίαν=ἀκτημοσύνην.
ἀλάστωρ=ἐκδικητής, κατηραμένος:
ἀλγεινὰ=θλιβερά.
ἄληκτον = διαρκές, ἀδιάκοπον.
ἀλιτήριον=ἀνόσιον, ἁμαρτωλόν.
ἀλιτροῦ, -ός=ἀλιτηρὸς= ἁμαρτωλός.
ἅλω—ἅλων=ἁλῶνι, δίσκος τοῦ ἡλίου ἢ τῆς σελήνης.
ἀμαλδυνθῇ = μαλακώσῃ, ἐξασθενίσῃ, κρυφθῇ.
ἀμανίκωτον=χωρὶς μανίκια.
ἀμβροσίας=θείας τροφῆς.
ἀμαυροῦται=σκοτινιάζει, ἀφανίζει·
ἀμέλει=μὴ σὲ νοιάζει. βεβαιότατα.
ἀμειψαίμεσθα = θὰ ἀνταλλάξωμεν, θὰ ἀνταποδώσωμεν.
ἀμεριμνεῖς=μένεις ἄνεργος.
ἁμιλλεόμενον=ἀγωνιζόμενον νὰ ὑπερτερήσῃ, νὰ ὑπερέχῃ.
ἀμόλυντον=καθαρόν.
ἀμπλάκημα=ἁμαρτία.
ἀμπώτισι=παλιρροίαις.
ἀμυδρῶς=ὀλίγον, ἀσθενῶς.
ἀμφιέσεται=θὰ ἐνδυθῇ.
ἀμφιλαφῶς, -ῆ = πυκνά, κατάσκια, ἄφθονος, πελώριος.
ἄμφω, ἀμφοῖν=δύο.
ἄμωμον=ἀκατηγόρητον.
ἀναίδην=μὲ ἀδιαντροπιάν.
ἀναίρεσις = σήκωμα, ἐπιχείρησις, θανάτωσις.
ἀναίτιος=ἀθῷος, ὁ μὴ αἴτιος.
ἄνεισι=ἀναβαίνει.
ἄναλκις=ἀδύνατος.
ἀναλῶσαι=νὰ δαπανήσῃ.
ἄναντες=ἀνηφορικόν, δυσχερές.
ἀναρροιβδήσει=ἀναρροφήσῃ (ῥόχθος).
ἄναυδος=ἄφωνος.
ἀναφυεῖσα=ξαναφυτρώσασα.
ἀνέγκλητος=ἄμεμπτος.
ἀνείκαστος=ὅστις δὲν ἐπιδέχεται εἰκασμόν, ἄπειρος.

ἀνείλειφας=ἔχεις ἀναλάβῃ.
ἀνενδεής=ὁ μὴ ἔχων χρείαν.
ἀνενδοιάστως=ἀναμφιβόλως.
ἄνετος=χαλαρός, ἀκοπίαστος.
ἀνέλωμεν = νὰ σηκώσωμεν, ἀναλάβωμεν.
ἀνεπινοήτου=ἀκατανοήτου.
ἀνεπίληπτος=ἄμεμπτος.
ἀνεφίκτῳ=εἰς ὃ ἀδυνατεῖ τις νὰ φθάσῃ.
ἀνήβασις=ἐφηβικὴ ἡλικία.
ἀνηκέστοις=ἀγιάτρευτα.
ἀνηνύτως=ἀτελευτήτως, ἀπέραστος.
ἀνιούσας=ἀνερχομένας, ἀνωτέρας.
ἀνθέρικας,-ίκων=ἀθέρας τοῦ στάχυος, ἡ κεφαλὴ τοῦ ἀσφοδέλου.
ἀντιδόσεις=ἀμοιβάς,
ἀνώλεθρον=χωρὶς καταστροφήν.
ἀνιώμενος=στενοχωρούμενος.
ἀνόνητα=ἀνωφελῆ.
ἀντερεῖν=θὰ ἀντείπῃ.
ἀντέτρωσε=ἀντεπλήγωσε.
ἀντιβολῶ=παρακαλῶ.
ἀντισηκοῦν=νὰ δώσῃ ὡς ἀντισήκωμα.
ἀνύποιστον=ἀφόρητον, ἀνυπόφορον.
ἀόργητον=μὴ ὀργιζόμενον,
ἀπαναίνῃ= δὲν ἀναγνωρίζεις, ἀπορρίπτεις.
ἀπαίρει=σηκώνει, ἀπέρχεται.
ἀπάρξου=κάμνε ἀρχήν. ἰδίως εἰς θυσίαν.
ἀπείραστος = μὴ ὑποκείμενος εἰς πειρασμόν.
ἀπεργάζεται=τελειώνει,μεταβάλλει τι.
ἀπείληφας=ἔχεις λάβῃ, πληρωθῇ.
ἀπεικὸς=παράλογον, ἀνάρμοστον.
ἀπεικάσων=θὰ ἀντιγράψῃ, παραβάλῃ, συμπεράνῃ.
ἀπέλασον=δίωξον, κυνήγησε.
ἀπευκτὰ=κατηραμένα.
ἀπηνοῦς=τραχέος,σκληροῦ,θηριώδους.
ἄπιθι=πήγαινε.
ἀπέδω=ἐπέστρεψέ τι, ἤμειψε.
ἀπέοικεν=δὲν ἥρμοζε, ἀπρεπές.
ἀπέψυγαν=θὰ ἐξεπάγιαζαν.
ἀπέστρεψεν=ἐγύρισε πρὸς τὰ ὀπίσω.
ἀπεφήνατο=ἀπεφάνθη.
ἄπλετον, -τα=ἀμέτρητον, μέγα.
ἀπηχὴς=κακόηχος, δυσάρεστος.
ἀπόβλητος = ἀπορριπτέος, εἶνε γιὰ πέταμα.
ἀποδιετράπησαν = ἀποστρέψαντες τὸ πρόσωπον ἔφυγον.
ἀποδιδράσκει=δραπετεύει.
ἀποδρὰς=δραπετεύσας.
ἀποκαραδοκία=ἔνθερμος προσδοκία.
ἀποκληρώσεις = ἐκλογὴ παράλογος, διαγωγὴ κακή. κατ' ἀποκλήρωσιν =κατὰ τύχην.
ἀποκτανθῆναι=νὰ φονευθῇ.
ἀπολαβεῖν=νὰ λάβῃ ὀπίσω, πληρωθῇ.
ἀπόλλυται=χάνεται.
ἀπονητὶ=ἄνευ κόπου.
ἄποσον=ἄνευ ποσοῦ, ἢ μέτρου.
ἀπόρρυτον=ὑποκείμενος εἰς ρεῦσιν.
ἀπρὶξ=στενῶς, σφιγκτά.
ἀπροὶξ=χωρὶς προῖκα, δωρεάν.
ἀπρόσιτον=ἀπλησίαστον.
ἀπροσδεὲς=μὴ ἔχον χρείαν.
ἀπύθμαντον=χωρὶς πυθμένα.
ἀπωθεῖται=ἀποκρούει.
ἀπῳκισμένον=ἔχει ἐκπατρισθῇ, κατοικεῖ χωριστά.
ἄρας=σηκώσας, ἀπελθών.
ἀργὸν=στίλβον,λευκόν, νωθρόν,βραδύ, ἄεργον.
ἄρδην=στὸν ἀέρα ὑψηλά, ἐκ θεμελίων, παντελῶς.
ἄρῃ=νὰ σηκώσῃ, νὰ βγάλῃ.
ἀριδήλως=ὁλοφάνερα.
ἀριστεία (ἡ)=ὑπεροχή, γενναιότης.
ἄρουραν=τὴν γῆν.
ἄρτι=πρὸ ὀλίγου.
ἀρτιγεννῶν=μόλις γεννηθέντων.
ἀρτίφρων=σώας τὰς φρένας ἔχων.
ἀρχέτυπον=πρωτότυπον.
ἀρωγὸν=βοηθόν.
ἄσμενος=εὐχάριστος.
ἀσπασίως=ἀγαπητῶς, ἐπιθυμητῶς.
ἅτε=διότι.
ἅ, τε=καὶ ταῦτα.

ἄτερ=ἄνευ, ξεχωριστά.
ἄτμητον=ἄκοφτον.
ἀτμὶς=ἀτμός, ὑγρὰ ἀναθυμίασις.
ἄττα=τινά.
ἄφατον, -ος=δὲν λέγεται.
ἄφυκτον=οὐδὲν δύναταί τις νὰ ξεφύγῃ.
ἀφυὴς=οὐχὶ ἔξυπνος, ἀδέξιος.
αὐάνθη=ἐξηράνθη.
ἄϋλον=χωρὶς ὕλην.
ἀϋλίζεται=γίνεται ἄνευ ὕλης.
αὐρικὴ=τῆς αὔρας.
αὐτίκα=ἀμέσως.
αὐχμὸς=ξηρασία.
αὐχμοῦσαν=ξηρανθεῖσαν.
ἀφειδὴς=ἀφέθης.
ἀχθεσθῶμεν=νὰ λυπηθῶμεν.
ἀχθῆναι—ἄχθομαι =φορτώνομαι, στενοχωροῦμαι.
ἄχθος=βάρος, στενοχωρία, λύπη.
ἀχλύα=γνόφον, ζόφον, σκότος.

Β

βάδην=σιγὰ-σιγά.
βδέλυγμα=σίχαμα, ἀηδία.
βδελυκτὸς=σιχαμερός.
βδελύξεται=θὰ ἀποστραφῇ, θὰ συχαθῇ τι.
βδελυρὸς=ἀηδής, ἀναίσχυντος.
βέβηλον=ἀνίερον, ἀκάθαρτον.
βέβρωκεν=ἔχει φάγῃ.
βεβυσμένον=κλεισμένον.
Βελίαρ=Βεελζεβούλ.
βελτίστη=ἀρίστη.
βέστου=παρεπώνυμον τοῦ συγγραφέως.
βιοτεύειν=λαμβάνειν τὰ πρὸς τὸ ζῆν,
βιοῦμεν, βιοῦντες=ζῶμεν, ζῶντες.
βλάβος (τὸ)=ἡ βλάβη.
βλάστη (ἡ)=ὁ βλαστός.
βλεμματίζον=κυττάζον.
βραδυδορκοῦσι=βλέπουσι βραδέως.
βροτεία=τὴν ἀνθρωπίνην.
βρώματα=τὰ φαγώσιμα.
βρῶσις=τροφή.
βύσσινα=σινδόνες ἐκ βύσσου.

Γ

γαργαρεὼν=ἡ ἐν τῷ στόματι σταφυλή· τὸ ὑπερῷϊον ἱστίον.
γαστρίμαργος, -γία = ἀδηφάγος, λαίμαργος.
γαῦρον=ἡ γαυρότης=ἡ καύχησις.
γεγηθότες=χαίροντες.
γεηρὰν, -ᾶ=ἐκ γῆς.
γεηπόνος=γεωπόνος, γεωργικός.
γενεσιουργὸν=δημιουργόν.
γεννήσει=διὰ γεννήσεως.
γέρας—γερῶν, -ρα=βραβεῖον, -εῖα.
γεῶδες=ἐκ γῆς.
γῆθε, γηθόμενος=χαῖρε, χαίρων.
γλίχεται=σφόδρα ποθεῖ.
γόης= μάγος, πλάνος, θαυματοποιός.
γρηγόρησον=ἐπαγρύπνησον, σπεῦσε.
γρηγορεῖν, εῖ=ἐπαγρυπνεῖν, -εῖ.
γρήγορσις=ἐγρήγορσις=ἀγρύπνησις.
γρυπὸς=κυρτός, κουτσιούμπης.
γυρεύει, -ειν=τριγυρίζειν, ζητεῖν.

Δ

δάκῃ=δαγκάσῃ (δάκνω).
δαιτυμόνα, -ος=ὁ ξενιζόμενος.
δαψίλειαν=ἀφθονίαν.
δαψιλῶς=ἀφθόνως.
δέδεγμαι, -ξαι, τοῦ δέχομαι.
δέδιθι=φοβήθητι (δέδοικα).
δέδεικται=ἔχει δειχθῇ.
δέδρακε, δεδρακώς, δεδραμένον, ἐκ τοῦ δρῶ=πράττω, ἐνεργῶ.
δέει=ἐκ φόβου.
δέηται=νὰ ἔχῃ χρείαν, νὰ παρακαλῇ.
δεκτικὴ=ἐπιδέχεται.
δείλη=δειλινόν.
δείματα=φόβους.
δεόμενος=ἔχων ἀνάγκην.
δεροῦσι=θὰ γδάρουν, μαστιγώσουν.
δεῦρο=ἔλα, ἐμπρός.
δὴ=λοιπόν, τώρα.
δήμους=τὰ πλήθη.
δῆσαι.—τοῦ δεῶ -ῶ=δένω.

διαίτης=τρόπου ζωῆς, κατοικίας.
διαλλαγή=συμβιβασμός.
διάπυρος=ὑπέρθερμος, φλογισμένος.
διάκενος=κοῦφος.
διαπνεῖται = φυσᾷ, ἐξατμίζεται, διασκορπίζεται, ἀνασαίνει, ἱδρώνει.
διαρρυὲν (διαρρέω) = χυθέν, ἐξαφανισθέν.
διαστηματική=κατὰ διαστήματα· ἀντίθετον τοῦ : συνεχής.
διάτρητον=διατετρυπημένον.
διέλῃς=νὰ διαιρέσῃς.
διενήνοχε=ἦτο διαφορετικός,ὑπερεῖχε.
διεπτύετε=ἀπεστρέφεσθε.
διερρηγμένος=διεσχισμένος.
διηνεκῶς=ἀδιάκοπα,
διίεται=διαπερνᾶται, διαλύεται.
διϊστάμενα=διαιρούμενα, διάφορα.
διπλόης, ἡ διπλόη=ἡ δίπλα, διπλωματία, ἀσάφεια, ἀμφιλογία.
δισσοὺς=διττούς, διπλοῦς.
δίχα, διχῇ=ξεχωριστά.
δόμα=δόσις.
δρᾶν, δρᾷ, δρᾶσαι ἐκ τοῦ: δρῶ=πράττω, ἐνεργῶ.
δυάδος=ἓν ζεῦγος.
δύναντος-δύνω=δύω=βουτῶ,εἰσχωρῶ.
δυσαπάλλακτα=δυσκολογέννητα.
δυσέφικτον=δύσκολον νὰ τὸ φθάσῃ τις, δυσκατόρθωτον.
δυσήνιος=ἀπειθής, μὴ ὑπακούων εἰς τοὺς χαλινούς.
δυσφορὰν=θλῖψιν, τὸ δυσκίνητον.
δυσωπία=καταισχύνη, ντρόπιασμα, αἰτία ἐντροπῆς.

Ε

ἐᾷ, ἐᾷς=ἀφήνει, -νεις.
ἐαθῆναι=ἀφεθεῖς, -ῇ.
ἐάσατε=ἀφήσατε.
ἐάσει, ἐάσεις=θὰ ἀφήσῃ.
ἐβίω—ἐβίουν=ἔζουσα, -σαν.
ἐβδελύξαντο=ἐσιχάθηκαν, ἀηδίασαν.
ἐγκαλινθεῖσθαι=κυλίεσθαι.
ἐγκεντρίζουν=παρακινοῦν.
ἐγρηκίζει (ἐγρήσσω)=ἀγρυπνεῖ,ἀκούει, ἀγρηκάει, ἀφογκράζεται.
ἐδεδράκει=εἶχε κάμῃ, ἐνεργήσῃ.
ἐδεῖτο=εἶχε χρείαν, παρεκάλει.
ἔδρα, ἔδρων=ἔπραξε, ἐνήργησα.
ἕδρα (ἡ)=ἡ καθέδρα.
ἑδραῖος=μόνιμος, καθιστικός.
ἐδωδίμων=τῶν τροφίμων.
ἐζόφωται = ἔχει καλυφθῇ ὑπὸ ζόφου, σκότους, ἐσκοτίσθη.
ἐθέωσεν=ἐθεοποίησεν.
ἔθος=συνήθεια.
εἴασε=ἄφησε, ἐπέτρεψεν.
εἰδόσι=εἰς τοὺς εἰδήμονας.
εἰδυῖα=γνωρίζουσα.
εἶεν=ἔστω.
εἴη ἂν=δύναται νὰ εἶνε.
εἰκαστέον=πρέπει νὰ συμπεράνῃ τις, ἢ νὰ ἐξεικονίσῃ.
εἰκῇ=ματαίως, ἀκόπως, τοῦ κάκου.
εἰληχότων, τοῦ λαγχάνω=μοῦ τυχαίνει ὁ κλῆρος, λαμβάνω μερίδιον.
εἴξας=ἐνδώσας, ὑποχωρήσας.
εἰργομένη=ἐμποδιζομένη.
εἴργουσα=ἐμποδίζουσα.
εἰρήκει=εἶχεν εἰπῇ.
εἰρόμην (εἴρω)=ἠρώτησα, ἴδε ἠρόμην.
εἰσδύντα=εἰσχωρήσαντα, ἐμβαθύναντα.
εἴσω=θὰ γνωρίσω (οἶδα).
εἴσῃ=θὰ γνωρίσῃς (οἶδα).
εἶτουν=εἴτε—οὖν.
ἐκδημοῦντι=ξενιτευομένῳ.
ἐκδημῆσαι=ξενιτευθῆναι.
ἔκαμαν=ἐκοπίασαν, ὑπέμειναν.
ἐκληψόμεθα=θὰ ἐξαρπάσωμεν, θὰ ἐννοήσωμεν.
ἐκκλίνωμεν=γέρνωμεν, ἂς ἀπομακρυνώμεθα, ἀποφεύγωμεν.
ἐκπτύω=πτύω ἔξω, ξεστομίζω, διαδίδω ἀκρίτως, καταφρονῶ.
ἐκστάσεις=ἐκτοπισμούς,συγχύσεις νοῦ, θάμβος, ἔκπληξις.
ἐκστῆναι=νὰ πάθῃ ἔκστασιν.
ἑλεῖν, τοῦ αἱρῶ=λαμβάνω, κυριεύω.

ἔλεος=εὐσπλαγχνία.
ἐλεύσεται=θὰ ἔλθῃ.
ἕλκον, ἕλκω=σύρω, τραβῶ.
ἑλκύσαι, ἑλκύω=σύρω, τραβῶ.
ἐλλόγιμον=λόγιον, διαβασμένον.
ἕλοιτο, τοῦ αἱρῶ=λαμβάνω, κυριεύω.
ἐμέσει=θὰ κάμῃ ἔμετον.
ἐμύησες=εἰσήγαγες εἰς τὰ μυστήρια, ἐδίδαξας, ἐνουθέτησας.
ἔμπαλιν=πρὸς τὰ ὀπίσω, τοὐναντίον.
ἐμφαίνει=κάμνει νὰ φανῇ,διακηρύττει.
ἔμφασις=φανέρωσις,ἡ ἐξωτερικὴ ὄψις.
ἐναγής,-εῖς,-οῦς=ὁ ὑπὸ κατάραν, ἔνοχος, ἀνόσιος, ἀποτρόπαιος.
ἐναργῶς=ὁρατῶς,ψηλαφητῶς, σαφῶς, ἁπλοῦς.
ἐνδέοντος=ἐλλείποντος, στερουμένου,
ἐνδημήσῃ=θὰ μείνῃ ὡς ξένος εἴς τινα τόπον.
ἐνδημίαν=τὴν διαμονὴν ὡς ξένος.
ἐνδιαιτᾶσθαι=νὰ διατρίβῃ που.
ἐνδιαίτημα=οἰκητήριον.
ἐνέδρα=καρτέρι.
ἐνέπρησεν=ἐπυρπόλησεν.
ἔνεστι=ὑπάρχει ἐν αὐτῷ.
ἐνηδύνεται = τέρπεται, εὐχαριστεῖται εἰς τοῦτο.
ἐνηχηθέντες=ἐμπνευσθέντες.
ἔνι=ἔνεστι, ὑπάρχει μέσα του.
ἑνοῖ=ἑνώνει.
ἔνοικον=κάτοικον.
ἐνορᾶσθαι=βλέπω τι μέσα εἴς τι.
ἐνστατικὴ = θυμώδης, ἐναντιουμένη, ἐπιτήδειος εἰς τὰς ἐναντιότητας.
ἐνστερνισμένον = βαλμένον ἐντὸς τοῦ στήθους, ἀγαπητόν.
ἔνυδρα=τὰ ζῶντα ἐν τοῖς ὕδασιν.
ἐνύλων=τὰ ἐν τῇ ὕλῃ, τὸ ἀντίθετον τοῦ : ἀΰλων.
ἐξαιρήσει=θὰ ἐκβάλῃ, θὰ ἀφανίσῃ.
ἐξαπίνης=ἐξαίφνης.
ἐξᾶραι=νὰ σηκώσῃ,ἀνυψώσῃ,ἐξεγείρῃ.
ἑξάχορδον=μὲ ἓξ χορδὰς ὄργανον.
ἐξέστην = τἄχασα (ἐβγῆκα ἀπὸ τὰς φρένας), κατεπλάγην.

ἐξέωσε (ἐξωθῶ)=ἐξέβαλε, ἀπώθησε.
ἐξίσχυσε=ἐνίσχυσε, ἐνεδυνάμωσε.
ἐξίτηλος = ξεθωριασμένος, χάσας τὸ χρῶμα, μεταβληθείς.
ἐξοδικοὶ=οἱ ἀνήκοντες εἰς τὴν ἔξοδον.
ἐξόλως=ὁλοσχερῶς.
ἐξουθενεῖν=ἐξευτελίζειν, ἐκμηδενίζει.
ἐξωδηκότων (ὄζω)=ἐκπέμπουν κακὴν ὀσμήν, βρωμοῦν.
ἐξωνήσεται, -ασθαι, ἐξωνούμενοι, τοῦ ἐξωνοῦμαι=ἐξαγοράζω.
ἐξῶσαι, -ώσων, τοῦ ἐξωθῶ=ἐκβάλλω, σπρώχνω, ἀποπέμπω.
ἔοικεν=ὁμοιάζει, φαίνεται, πρέπει.
ἐπάγγελμα=ὑπόσχεσις.
ἐπανιτέον=πρέπει νὰ ξαναρχίσωμεν.
ἐπαπόρησεν=ἐπρόβαλεν ἀπορίαν.
ἐπάρθη (ἐπαίρω)=ὑπερηφανεύθη.
ἔπαρσις=ὑπεροψία, ὑπερηφάνεια.
ἐπαρῶνται=καταρῶνται.
ἐπάξω=θὰ ἐπιφέρω, θὰ προσελκύσω.
ἐπαφίησιν=ἀφίνει εἰς τὴν διάθεσίν τινος, ἐκβάλλει, ἐκπέμπει.
ἐπειλημμένος, ἴσως,=ἐπιληπτικός.
ἐπείρασεν=ἐπείραξεν.
ἐπελαθόμην=ἐλησμόνησα.
ἐπενέγκω=νὰ ἐπιφέρω.
ἐπέραστον=λίαν ἀγαπητόν, ἐράσμιον.
ἐπεπάνθησεν, ἐπανθέω=ἐπιχλοάζω, εἶμαι ἐπὶ τῆς ἐπιφανείας,λαμπρύνομαι.
ἐπερειδόμενος, ἐπερείδω = ἐπακουμβῶ τι, στηρίζομαι.
ἐπηρείας = περιφρονήσεως, ὕβρεως, βλάβης.
ἐπήρωσε=(πηρόω) ἠκρωτηρίασε, ἐκολόβωσε, ἐσακάτεψε.
ἐπῆχθαι (ἐπάγωμεν)=ἐπάγω, φέρω τι εἰς ἐμαυτόν.
ἐφέλκω=συμπεραίνω.
ἐπιβαίη (ἐπιβαίνω)=νὰ ἐπιβῇ
ἐπιβιούντων=ἐπιζώντων.
ἐπιγνοίης ἂν=δύνασαι νὰ γνωρίσῃς
ἐπιδεδημηκότος=ἔχει ξενιτευθῆ.
ἐπιδεὴς=ἐλλιπὴς στερούμενος.
ἐπιδημία=ἡ ἐπίσκεψις

ἐπιδιστάζουσι=ἀμφιβάλλουσι περὶ τούτου.
ἐπαίρων=σηκώνων, διεγείρων, παρακινῶν, ἐξυψῶν.
ἐπίκηρον = ἐπικείμενον εἰς θάνατον, φθαρτός, ἐπιθανάτιος.
ἐπιλανθάνεσθαι=λησμονεῖν
ἐπίληπτος=συλληφθεὶς ἐπ' αὐτοφώρῳ ἀξιοκατάκριτος, ἐπιληπτικός.
ἐπίπαν=ἐξ ὁλοκλήρου, ἐν συνόλῳ περίπου, τοὐλάχιστον.
ἐπιπνοίας=φυσήματος.
ἐπίρρυτος = ἐγχεόμενος, ἐγχυματιζόμενος, καταβρεχόμενος.
ἔποικος=ξένος, ἀλλότριος.
ἐπίσταται=γνωρίζει.
ἐπισχεῖν=νὰ σταματήσῃς.
ἐπταικότων=οἵτινες ἔχουσι σφαλῇ.
ἐπύρωσε, ἐκ τοῦ πυρόω=θερμαίνω, ἐξάπτω, ἐφλόγισε.
ἐρᾶν=ἀγαπᾶν σφόδρα.
ἔρανον=δεῖπνον ἐκ συνεισφορᾶς, εὐμένεια, χάρις.
ἐροῦμεν=θὰ εἴπωμεν,
ἐρρέθη=ἐρρήθη=ἐλέχθη.
ἐρείσαντα=στηριχθέντα.
ἐρεύγεται=κραυγάζει.
ἐρρύπωσε, ἐρρυπωμένον=ἐλέρωσε.
ἐρρυτιδωμένον=μὲ ρυτίδας.
ἐρῶντα=ὅστις ἀγαπᾷ σφόδρα
ἐσθῆτος=τοῦ ἐνδύματος
ἐσμὸς=σμῆνος, ἀγέλη, πλῆθος.
ἐστιάτωρ=ὁφιλεύων.
ἐστιν — ὅτε=ἐνίοτε.
ἐσχήκασιν=τὸν ἔχουσι.
ἐσχηκυῖα=ἥτις ἔσχεν, ἀπέκτησεν.
ἐσχόλαζον=εἶχον σχολήν, ἀνάπαυσιν.
ἐτάσεις=ἐξετάσεις, ἐρεύνας.
ἐταμιεύοντο = ἦσαν ταμίαι, διεχειρίζοντο, ἐκυβέρνων, ἐναποθήκευον.
εὖγε=καλῶς, ὀρθῶς, ὡραῖα.
εὔδμητον=καλῶς ᾠκοδομημένον.
εὐθέτως=καταλλήλως, ἐπικούρως.
εὐκληρίας=καλῆς τύχης, εὐημερίας.
εὐπετῶς=εὐνοϊκῶς, εὐτυχῶς, εὐκόλως.
εὖ ποιεῖν=καλῶς πράττειν, εὐεργετεῖν.
εὐποιΐα=εὐεργεσία, καλὴ πρᾶξις.
εὔροιζον, εὐροίζητον=ἠχηρῶς συρίζον.
εὖρος=πλάτος.
εὕροσαν=εὗρον.
ἐφέσει, ἡ ἔφεσις=ἐπιθυμία, πάθος.
ἐφέστιος=ἐπὶ τῆς ἰδίας ἑστίας, οἰκογενειακός, ἐπόπτης.
ἐφετῶς=ἐπιθυμητῶς.
ἔφησεν=εἶπεν.
ἔφθην εἰπὼν=τώρα δά, πρὸ ὀλίγου εἶπον.
ἐφίεμαι — ἐφιέμενον=ἐπιθυμῶ, ποθῶ, ἐντέλλομαι.
ἐφικτὸν=οὗ εὐκόλως φθάνει τις, προσιτός, ὄχι ἀνέφικτος.
ἐφράσθην=ἐξέθεσα, εἶπον.
ἐφυσιώθης, τοῦ φυσιόω = φουσκώνω, ἀσθμαίνω, συρίζω, ὑπερηφανεύομαι.
ἔφυσεν=ἐφύτρωσεν.
εὐωνύμων, εὐώνυμος=ἔχων καλὸν ὄνομα, εὐοίωνος, ἀριστερός.
ἔχις, -εως=ὄχεντρα, ἔχιδνα.
ἐχρῄζες=ἐχρειάζεσο.
ἐχρῆν=ἔπρεπεν
ἕψεται=θὰ ἀκολουθήσῃ.
ἐψυχωμένος = ἔλαβε καὶ ἔχει ψυχήν, ἔμπνους, γενόμενος ψυχρός.
ἕω, ἕως=ἠώς=αὐγή, πρωΐα.
ἑῷα=πρωϊνά, ἑωθινά.
ἕωλα -λος (ἕως)=ἀπὸ τῆς πρωΐας, ὅθεν μπαγιάτικος.
ἐῶ=ἀφήνω.
ἐῶνται=ἀφήνουσι, παραιτοῦνται.

Ζ

ζοφερὸς=γεμᾶτος ἀπὸ σκότος.
ζοφοῦται=γεμίζει ἐκ ζόφου.
ζυγῷ (τῇ)=ζυγαριά.
ζωοῦμαι=λαμβάνω ζωήν.
ζῴη=εἴθε νὰ ζῇ, ἔζη.

Η

ἦ=βεβαίως.

ἥβης=τῆς νεανικῆς ἡλικίας.
ἥγημαι, -σαι=ἔχω (εις) νομίση, εἶμαι, εἶσαι ἡγεμών.
ἡγεῖσθε=νομίζετε.
ἠγνόηκα=δὲν γνωρίζω.
ἥδεται, ἥδεσθαι = εὐχαριστεῖται, τέρπεσθαι.
ἡδέως, ἡδέα=εὐχαρίστως, -στα.
ἡδὺ=εὐχάριστον.
ἡδύνθη=εὐχαριστήθη.
ἠκρωτηριασμένον=ἀποκομμένον, κολωβό.
ἤλυθεν=ἐπῆλθε.
ἤμειψα=ἔδωκα ἀμοιβήν.
ᾑμαγμένον='ματωμένον.
ἡμιθνητον=μισαποθαμένον.
ἠνέσχετο=ὑπέμεινεν, ἐβάσταξε.
ἡνίας=τοὺς χαλινούς, γκέμια.
ἡνίκα = ὅτε.
ἡνιοχεῖ κρατεῖ, διευθύνει τοὺς χαλινούς.
ᾐνίξατο=ἔκαμεν ὑπαινιγμόν.
ἤνυσα=διήνυσα, ἐξετέλεσα.
ἠνώτισμαι=ἔχω ἀκούση, θέση εἰς ὦτα.
ἠράσθη =ἠγάπησε σφοδρῶς.
ᾑρετίσατο= αἱρετίζομαι = ἐκλέγομαι, ἀνήκω εἰς αἵρεσιν.
ἦρι=κατὰ τὴν ἄνοιξιν.
ἤρισεν=ἐφιλονείκησεν.
ἤροντο=ἠρώτησαν.
ᾑροῦ=ἐπροτίμας, ἐξέλεγες.
ἦτε=νὰ εἶσθε.
ἥττηται=ἔχει νικηθῇ.
ἥττονος=κατωτέρας.
ἦχθαι, τοῦ ἄγομαι=φέρομαι.



θάλλει=εἶνε θαλλερός, ἀκμαῖος.
θᾶττον=ταχύτερον.
θέα=παρατήρει, βλέπε.
θέμις=ἐπιτετραμμένον.
θέωσιν=θεοποίησιν.
θεοειδέστερον=ὁμοιάζον πρὸς τὸ θεῖον.
θεοείκελον=ὅμοιον πρὸς τὸν θεόν.
θεωρίαν=θέαμα, παρατήρησις.
θηλή=ἡ ρόγα τοῦ μαστοῦ.
θηρώμενος=κυνηγῶν.
θίγοντα=ἐγγίζοντα.
θιγγάνει=ἐγγίζει, πιάνει.
θνήξαντες=ἀποθανόντες.
θρυαλλίδες=φυτίλλια.
θυμηδίας, -αν=τέρψιν τῆς ψυχῆς, εὐχαρίστησιν.



ἴαμα=θεραπεία.
ἴασιν=γιατρειάν.
ἰδιωτικαὶ=ἀκαλλώπιστοι.
ἱερεῖα=τὰ διὰ τὰς θυσίας ζῶα.
ἱδρῶσι=εἰς τοὺς ἱδρῶτας.
ἱκανούσθω=ἂς εἶνε ἀρκετόν, ἂς ἱκανοποιηθῇ.
ἰκμάδι. ἰκμάς, -άδος =τὸ νότισμα, ἡ ὑγρότης.
ἰὸν=ἐρχόμενον.
ἰός, -όν=δηλητηριον.
ἱλαρῶς=φαιδρῶς, χαροπῶς.
ἵλεων=εὔσπλαγχνον.
ἰλιγγιῶ=τὰ χάνω, σαστίζω.
ἱλεοῦται—ἱλάσκεται=ἐξιλεώνεται καταπραΰνεται.
ἰλυσπωμένη, ἰλυσπάομαι=συστρέφομαι, ἕρπω.
ἰοβόλα=βάλλουν δηλητήριον.
ἵπταται=πετᾷ.
ἴσασι. ἴσμεν, ἴστε, τοῦ οἶδα=γνωρίζω.
ἰσοφωνοῦντα = μὲ ἴσην φωνήν, ἰσόφωνα.
ἰστέον=πρέπει νὰ γνωρίζῃ τις.
ἰσχνῶς=ἀσθενῶς, λεπτῶς.
ἰσχύεις=ἔχεις ἰσχύν.
ἰσχυμένους=μὲ ἰσχύν, δύναμιν.
ἰταμὸς=σκληρός, ἀπάνθρωπος, μὲ ἀγροικίαν.
ἴω=ἂς πηγαίνω.



καθελὼν=καταλύσας.
καινὸν=καινούργιον.

καθεύδῃ, -οντα = κοιμᾶται, -ώμενον.
καθηγεῖται=εἶναι ὁδηγός.
κάλως=χονδρὸν σχοινίον.
καματηρούς = κοπιασμένους.
κἀκ=καὶ ἐκ
καταπτύσαντες=καταφρονήσαντες.
κατεκλάσθησαν=συνετρίβησαν.
κατασπῶντα=παρασύροντα.
καταπῆξαι=νὰ στήσῃς, ἐμπήξῃς,
κατειργάκει=εἶχεν ἐκτελέσῃ, εἶχε ξεκάμῃ.
κατέρραξε=κατέθραυσε (καταράσσω).
κατερρικνωθέντα = ζαρωθέντα, καμπουριάσαντα (κατα-ρικνόω-ρικνός).
κατεσπιλωμένη=καταλερωμένη.
κατέχρανε=κατεμαγάρισε.
κατηπειγμένη = κατεσπευσμένη.
κατῃσχυμένους = καταντροπιασμένους.
κατόψονται=θὰ ἴδωσι καθαρά.
κατώδυνος=γεμᾶτος ἀπὸ ὀδύνας, πόνους.
καὐτὸν=καὶ αὐτόν.
κεκάθικε=ἔχει βάλῃ νὰ καθήσῃ.
κέκληκε=ἔχει προσκαλέσῃ.
κεκλήρωκε=ἔχει κάμῃ κλήρωσιν, μερίδα.
κέκμηκα=ἐκουράσθηκα.
κέκρικε=ἔχει κάμῃ τὴν ἀπόφασιν.
κελευθὲν=προσταχθέν.
κέλλαν=τὸ κελλί, δωμάτιον καλογηρικόν.
κηλλὸς=κουλός, σακάτης.
κενὴν=ἀδειανήν.
κενοδοξία=κουφότης.
κεράσβολα=κακόβραστα ὄσπρια· ἰσχυρογνώμονα, ἄκαμπτα.
κεχάρισται=ἔχει χαρισθῇ.
κεχηνυῖα=μὲ ἀνοιχτὸ τὸ στόμα, κατάπληκτος.
κέχρηται=ἔχει μεταχειρισθῇ.
κήτη=μεγάλα ζῶα τῆς θαλάσσης.
κικλήσκουσι=ὀνομάζουσι.
κληθεὶς=προσκαλεσθείς.
κλόνος=ταραχή.
κομιδῇ=ἀκριβῶς, σωστά.
κομήτης=μὲ κόμην.
κομπᾷ=καυχᾶται.
κόμπον=ὑπερηφάνειαν.
κόρος=χορτασμός.
κότος, -ον=μῖσος.
κουράτορας=ἐπιμελητάς, ἐπιστάτας.
κρᾶσις, -σιν=ἕνωσις (στοιχείων).
κραθεὶς=ἔπαθε κρᾶσιν, ἕνωσιν.
κρεῖττον=καλλύτερον.
κρύει=ἐκ ψύχους, ρίγους.
κρυμοῦ, -ός=παγετῶδες ψῦχος.
κυβιστᾷ=κάμνει τούμπαις.
κύημα=ἔμβρυον.
κυϊσκόμενα=ἐν ἐγκυμοσύνῃ.
κωμαστὴς=γλεντζές.
κῶμος=γλέντι.
κωκυτὸς=θρῆνος καὶ κλαυθμός.



λάγνος, λαγνία—ἀκόλαστος, πόρνος, ἀκράτητος εἰς συνουσίας.
λαγόσι, αἱ λαγόνες = τὰ λαγαρὰ τοῦ σώματος.
λάλος=φλύαρος, λογᾶς.
λαντὸν σπέος=σπήλαιον... λαντὸν= ἴσως ληνὸν=ἔχον σχῆμα σκάφης, ἴσως καὶ λευστὸν=ὁρατόν.
λαύρου=λάβρου=σφοδροῦ.
λαχοῦσιν=τοὺς ἔτυχε (λαγχάνω).
λεγεῶνα=σύνταγμα στρατιωτικόν.
λεῖπον=τὸ ὑπόλοιπον.
λέλεκται=ἔχει λεχθῇ.
λελειμμένον=παρῃτημένον.
λεωφόρος=ὁδὸς δι'ἀνθρώπους,μεγάλη.
ληθαργὸς=ὕπνος μέχρις ἀναισθησίας.
λήγω=τελειώνω.
ληῒνων, ἴσως ληΐων, λήϊον = σπαρτὰ πρὸ τοῦ θερισμοῦ ἐν ἀκμῇ.
λῆρος=φλύαρος καὶ φλυαρία.
λήψῃ=θὰ λάβῃς.
λιγνὺν=πυκνὸν καπνὸν μὲ φλόγας.
λιθάζεσθαι=λιθοβολεῖν.
λιμῷ=ὑπὸ πείνης.
λοίδορος=ὁ ἐμπαίκτης.

λοιμοί=ἀσθένειαι.
λυρῳδὸς=ὁ διὰ λύρας ψάλλων.
λώβη=ἡ ἀσθένεια λώβα.
λωβώσεις (αἱ)=αἱ μεγάλαι βλάβαι.

Μ

μαζία=τὰς μικρὰς μᾶζας, τεμάχια.
μαιμᾷ=σφοδρῶς ἐπιθυμεῖ, λαχταρᾷ.
μαινάδα, -ὰς=μανιακή, τρελλή.
μάργαρος=μαργαρίτης.
μάλα=λίαν, πολύ.
ματζουμάνου, ματζουμάνος ἴσως=κακανθρωπάκος, τιποτένιος.
μεγιστάνων=μεγάλων ἀρχόντων.
μέδοντες=βασιλεῖς.
μέθεξιν=συμμετοχήν.
μεθιστᾷ, μεθίστησιν=μεταλλάσσει.
μείων, -εῖον=ὀλιγώτερος, -ον.
μελασμοῦ, -ὸς=μελάνισμα (νεκροῦ).
μέλημα, -άτων=φροντίς, μέριμνα.
μέλησιν=φροντίδα, ἐπιμέλειαν.
μέλη (τὰ)=μελῳδίας.
μέλλε=βράδυνε, ν' ἀναβάλλῃς.
μέλος=μελῳδία.
μεμεστωμένα=γεμᾶτα, πλήρη.
μεμπτέον=ἀξιοκατάκριτον.
μέμφομαι, μεμφθείην=κατακρίνω.
μεμύηκα=εἰσῆλθον εἰς τὰ μυστήρια.
μεμυσταγώγηται=ἔχει μυηθῆ.
μέροψ=ἄνθρωπος.
μεσαιπολίων=εἶνε μισόλευκοι.
μεταμείψει=θὰ ἀλλάξῃ μορφήν.
μεταμειφθείη=ἤθελε μεταβληθῆ.
μετέσχεν=ἔλαβε μέρος.
μετήμειψεν=μετήλλαξε.
μῆνις=ὀργή, θυμός.
μήνυσον=κατάγγειλον.
μιλτώσει=θὰ χρίσῃ διὰ μίλτου.
μισογύναι=οἱ μισοῦντες τὰς γυναῖκας ὄχι φιλογύναι.
μονοειδὲς=ἐξ ἑνὸς εἴδους ἢ σχήματος.
μουσῶν=μουσειωτῶν, ψηφιδωτῶν.
μυκτηρισμὸς=ἐμπαιγμός, περίγελως.
μυοῦμαι=κατηχῶ, μετέχω.
μυρμηκίω=μυρμηκίζω = πάσχω μυρμηκισμόν, σαρκώδη ἐκφύματα.
μυσάττων=σιχαινόμενος.
μῦσος=ἀκαθαρσία σώματος ἢ ψυχῆς.
μύστης, -ην=μεμυημένος.
μυχοὺς=εἰς τὸ βάθος, τὰ ἔγκατα.
μῶκον=ἐμπαιγμόν, περίγελων.
μώλωπας=μελανάδας ἐκ κτυπήματος.
μῶμος=ψόγος, μομφή.

Ν

νάπας=κοιλάδας, φάραγγας.
νεουργεῖς=νεοφτιασμένας.
νῆα, νηὸς=ναῦς, πλοῖον.
νηδύος=κοιλίας.
νηφόντως=νηφαλίως, σωφρόνως.
νῆφον, νήφω -ζῶ σωφρόνως, ἐγκρατῶς, ἀναλαμβάνω, συνέρχομαι εἰς ἐμαυτόν.
νομαὶ=λειβάδια, κατοικίαι.
νουνεχῶς=μὲ νοῦν καὶ σκέψιν.
νύσσοντος=ὅστις τὸ κεντᾷ.

Ξ

ξένον=παράδοξον.
ξηροχείρων=μὲ ξηραμένας τὰς χεῖρας.
ξυνωρίδος=ζευγάρι.

Ο

ὀδύνει, -ύνων=ἔχει ὀδύνας, λύπας.
ὀδυρόμενος=κλαίων καὶ θρηνῶν.
ὀζωδίαν=δυσοσμίαν.
οἶδα, οἴδαμεν=γνωρίζω, -ομεν καλῶς.
οἴεσθαι=νομίζειν.
οἰέσθω=ἂς νομίζει.
οἴησις=δοξασία, ὑπερηφάνεια.
οἰήσεται=θὰ νομίσῃ.
οἰκέτου=δούλου.
οἴκοθεν=ἀφ' ἑαυτοῦ του, μόνος του.
οἴκτιστος, -ον=ἀξιολύπητος.
οἰμώζοντες=φωνάζοντες, ὤϊμέ.
οἰνόφλυξ=μπεκρῆς.
οἱονοῦν=οἱονδήποτε.

οἱονοῦνοῦν = οἱουδήποτε.
οἴσω, οἴσει, οἴσεται=θὰ φέρω, -ρῃ.
οἶσθα=γνωρίζεις.
οἷς τισι=μερικοῖς.
οἴου = νόμιζε, στοχάζου.
οἴχεται, οἰχήσεται=πάει νὰ χαθῇ, θὰ φύγῃ ἀνεπιστρεπτεί.
ὄκνον=δισταγμόν, φόβον.
ὀλέσαι, ὀλέσειε, ὄλλυμι=χάνω τινά.
ὀλισθαίνῃς=γλυστρᾷς, σφάλλεσαι.
ὀλλύει=χάνει τινά.
ὄλλυται=χάνεται.
ὀλοὴ λύσσα=ὀλεθρία λύσσα.
ὁλοκαυτούμενον=καιόμενον ἐν τῇ θυσίᾳ.
ὀλοῦνται=θὰ χαθῶσι.
ὁμοιωτικὸν = κατάλληλον εἰς ἀφομοίωσιν.
ὀνίνησι=ὠφελεῖ.
ὀξυδερκὴς=βλέπει ὀξέως καὶ μακράν.
ὀπτικὸς = ὁ ἀνήκων εἰς τὴν ὅρασιν.
ὀρέγεσθαι=ἐπιθυμεῖν.
ὀρθρίσας=ἐξυπνήσας πολὺ πρωΐ.
ὅρον, -ων=τὸ σύνορον, -ρα.
ὀρχήστρας=τοὺς χορούς.
οὐκοῦν=ὅθεν, λοιπόν.
οὔμενουν (οὐ-μὲν-οὖν)=ὄχι λοιπόν.
ὀφθαλμιάσας=πάσχων ὀφθαλμίαν, φθονερός.
ὀφθῇ=νὰ φανερωθῇ.
ὀφλημάτων=χρεωστημάτων.
ὄχημα=ἅμαξα.

Π

παίομεν=κτυπῶμεν.
παμβέβηλος=καθ' ὅλα μιαρός.
παννύχιος = καθ' ὅλην τὴν νύκτα.
πανσθενουργία. πανσθενουργὸς = παντοδύναμος, παντοδυναμία.
παρακρούσῃ=μὲ παραπλανήσῃ.
παραυτίκα=παρευθύς.
παρεικαζόμεθα=παραλληλίζομεν.
παρελευσόμεθα, -οίμεθα = θὰ περάσωμεν, θὰ διέλθωμεν (πάρειμι).
παρεγγυᾶται=συνιστᾷ, προτρέπει.
πάρειμος=παράλυτος, ἐλαττωματικός.
παρεισῆξαι=ἔχεις εἰσαχθῇ καταλλήλως
παρείσθωσαν καὶ παρέσθωσαν, τύποι του πάρι-ημι = ἀφήνω, παρέρχομαι, ἀμελῶ.
παρελογίσατο=ἔκαμε παραλογισμόν.
πάρες=ἄφες.
παρῇ=εἶνε παρών.
παρήσω=θὰ ἀφήσω, θὰ παρατρέξω.
παρθενεύσειν=θὰ εἶνε παρθένος, ἁγνός.
παροίστρησαν=ἠρέθισαν (οἶστρος).
παροπτέον=πρέπει τις νὰ παραβλέψῃ.
παροραθῆναι, τοῦ παρορᾷ = δὲν διαβλέπῃ τι μετὰ προσοχῆς.
παρρησίαν=ἐλευθεροστομίαν.
παστοῦ, παστὸς = παστὰς = νυμφικὸς θάλαμος καὶ νυμφικὸς ὕμνος.
παρῴχηκε=εἶνε περασμένον, εἶνε τοῦ παρελθόντος.
πέδη, -δας, -δῶν=πεδοῦκλι, τὰ δεσμά.
πειρώμενον=προσπαθοῦντα.
πέλας=πλησίον, γείτων.
πέλει, πέλουσιν=τυγχάνει, -ουσιν, εἶνε, εὑρίσκονται.
πεπεδημένων=εἰς τὰ δεσμά.
πεπηρωμένη=εἶνε σακάτικη.
πεπληρωμένα=γεμάτα.
πέπονθε=ἔχει πάθη.
πεπυρωμένη=διεφλεγμένη.
πεπωρωμένη=ἀπολιθωμένη, ἀναίσθητος
περιεκτικαὶ=περιληπτικαί.
περιεθίσωσιν=συνηθίσωσιν.
περιεσκληκότος=σκληρυνθέντος γύρω.
περιιέναι=νὰ τριγυρίζῃ.
περινοστεῖν = περιτριγυρίζει, προσπαθεῖ νὰ συλλάβῃ τι.
πεῦσις, -ιν, -σεις=ἐρώτημα, πληροφορία (πεύθομαι).
πεσεῖται=θὰ πέσῃ.
περιφύεται=φυτρώνει γύρω, ἐναγκαλίζεται.
πέφυκε, -ασι, -κότα=εἶνε ἐκ φύσεως.
πεφυρμένην=ἀνακατωμένην.
πηλίκη=πόση μεγάλη.
πηλικότης, -τητα=τὸ μέγεθος.

πηρῶν, ἐπήρωσε=σακατεύειν, ἔβλαψε. ἠκρωτηρίασε.
πῖον=λιπαρόν, παχύ· γάλα πηκτόν.
πιστωθήσῃ=πιστόομαι -οῦμαι=βεβαιοῦμαι.
πιττώσει = θὰ ἀλείψῃ μὲ πίσσαν, θὰ καλαφατίσῃ.
Πλατωνίζειν=μιμεῖσθαι τὸν Πλάτωνα.
πλειόνως=περισσοτέρως.
πληγῇ=χτυπηθῇ.
πόα=χλόη.
ποιὰ=ἔχουσα ποιότητά τινα.
ποικίλον=πολύχρωμον.
πολλαπλοῦν=μὲ πολλά, ὄχι ἕν.
πόλου=ὁ πόλος, τὸ ἄκρον τοῦ ἄξονος τῆς γῆς.
πολύαλγον=μὲ πολλοὺς πόνους.
πολύχουν=μὲ πολὺ χῶμα.
πόρρω, -ρωθεν=ἀπὸ μακράν.
πότμος=δυστυχία, θάνατος.
πραέων=ἡσύχων.
προάπτεται=προεγγίζει.
προῆψεν, -άπτω=ἀνάπτω πρότερον.
προκύψαι=νὰ προβάλῃ.
προμηθείᾳ=προνοητικῶς.
προσαγήοχα=ἔχω παρουσιάσῃ.
προσάξαι = προσάγω, προσφέρω, παρουσιάζω.
προσαπολέσῃς=θὰ χάσῃς καὶ τοῦτο.
προσεικάζειν =ἐκ τῶν προτέρων συμπεραίνειν, παρομοιάζειν.
προσενηνόχασι, τοῦ προσφέρω = φέρω τι εἴς τι.
προσέοικε=προσομοιάζει.
προσιοῦσιν=προσερχομένοις.
προσκρούσῃ = συγκρουσθῇ, ἔλθῃ εἰς ἐπαφήν.
πρόσρησιν=προσαγόρευσιν.
προϋπηργμένως: ἐκ τοῦ προϋπάρχω= προηγοῦμαι, κάμνω ἀρχήν.
προϋπέστησε=πρότερον ὑπέστησε.
προϋφεστηκότων=εἶχον ἐκ τῶν προτέρων κατασταθῇ.
προχειλὴς = ἔχων χείλη προέχοντα, χειλαρᾶς.
πτερωθεὶς=πετάξας εἰς τὰ ὕψη.
πτυκτίον=βιβλίον διπλωμένον.
πυκτίον=διπλωμένον βιβλίον.
πυραυγαῖς=λαμπραῖς εἰς τὸ πῦρ.
πυρεκτιόντων=κατεχομένων ὑπὸ πυρετοῦ.
πυρρὸς=ἐρυθροκίτρινος, ξανθός.
πυρούμενον=φλεγόμενον.
πυρώσων=διὰ πυρὸς καύσων, δοκιμάσων

Ρ

ῥᾳδίως=εὐκόλως.
ῥάκιον=κουρελάκι.
ῥᾳθυμίας=ὀκνηρίας, ὀλιγοψυχίας.
ῥᾴστη=εὐκολωτάτη.
ῥᾳστώνη=ἡ ἀνάπαυσις, τεμπελιά.
ῥέγχων=ροχαλίζων.
ῥεῖ=ῥέει, τρέχει.
ῥέπω=κλίνω, γέρνω.
ῥῆμα=λόγος.
ῥῆξαι φωνὰς = νὰ βγάλῃ φωνάς (ῥήγνυμι).
ῥήσεις=λόγους, ῥητά.
ῥηγνύμενον=θραυόμενον, τσακιζόμενον
ῥιγοῦν=κρυώνειν.
ῥικνωθὲν=καμπουρωθέν, κυρτωθέν (ῥικνόω).
ῥιπῇ=φορᾷ, ὁρμῇ, ἐν μιᾷ στιγμῇ.
ῥομφαίαν=πλατεῖα μάχαιρα, ξίφος.
ῥοῇ=ῥεύσει.
ῥοπὴ=κλίσις, γύρμα.
ῥυθμίσας=κανονίσας.
ῥύμην=φοράν, ὁρμήν.
ῥύπῃ=τῇς λέραις, κακουργίαις.
ῥυπῶσα, -αν=λερωμένην.
ῥυσσαί, -σοῦ=ἐρρυτιδωμέναι, -ου.
ῥύστης=ὁ σωτήρ.
ῥυτίδος=σούφρα τοῦ προσώπου.
ῥυσὴν (-ττὴν)=σουφρωμένην.
ῥωγαλέον=διεσχισμένον, ῥακῶδες.
ῥύμην=φοράν, ὁρμήν.
ῥώμην=δύναμιν, ἰσχύν.
ῥώσεις, -σιν=ἐνίσχυσις, ἐνδυνάμωσις.

Σ

σαθρωθῶσιν=γείνωσι σαθρά, σάπια.

σαλός=ἀνόητος, μωρός, αὐθάδης.
σαπρὸν=σάπιον.
σέρις=πικραλίδα, εἶδος χόρτου.
σέσηπε=ἔχει σαπίσῃ.
σηπεδόνας=σαπίλας.
σηρικὰ=μεταξωτά.
σκάμμα, -τα=τάφρος, βάραθρον.
σκαιός, -ῶν=ἀριστερός, ἀνάποδος.
σκάζοντος=χωλαίνοντος, κουτσαίνοντος.
σκῆνος, -ους=σῶμα, ὁ νεκρός.
σκιρτῶσι=πηδοῦν ἐκ χαρᾶς.
σκολιὸς=κυρτός, στραβός, σκοτεινός.
σκοπεῖ=παρατηρεῖ.
σκοτομήνης = νυκτὸς ἀσελήνου, σκοτάδι.
σκῦλα=λάφυρα.
σκυτάλην=ράβδος, ξύλον, κόφτρα δι' ἧς ἰσομετροῦν τὰ σιτηρά, ματσούκα.
σκῶμμα=παιδιά, ἀστεϊσμός, πείραγμα, λογοπαίγνιον.
σμῆξον, σμήχω=καθαρίζω, σπογγίζω.
σολοικιζούσης = σφαλλομένης, βαρβαριζούσης.
σπιλοῦντα=λερώνοντα.
σταθμοῦσι=ζυγίζουσι.
σταθμοῦ=μάνδρας, καταλύματος, καντaρίου.
στεγανὸν=ἀδιαπέραστον, στερεόν.
στερρὸς=ἀδιαπέραστος, σταθερός.
στεφοθέτης=ὁ παρέχων, θέτων στεφάνους.
στηρίξατε=ἐνδυναμώσατε.
στιλβώσῃ=θὰ γυαλίσῃ, λάμψῃ.
στοιχεῖν=νὰ προσαρμόζηται.
στοχαστικὸς=ἐπιτήδειος εἰς τὸ σκοπεύειν, συμπεραίνειν.
στυγνάζουσι=ἔχουσιν ὄψιν σκοτεινήν, κατηφῆ.
σύας=ὕας=χοίρους ἀγρίους ἢ ἡμέρους.
συγκυπτούσης, συγκύπτω = σκύφτω, κάμπτομαι, κοπιάζω.
συγγνωμόνει=συγγίγνωσκε, συγχώρει.
σύγγνωθι=συγχώρησον.
συγκαθεῖλε (συγκαθαιρέω) = κατέβαλέ τι μετ' ἄλλου.
συγκεχαλασμένον (συγχαλάω) =χαλαρώνω μετ' ἄλλου.
συλλήπτορα=ἐπίκουρον, συνεργόν.
σύμμορφος=παρόμοιος πρός τινα.
συμφύονται = σύμφυτοι = φυτρώνουν μαζῆ.
συνεκεράσθησαν (συγκεράννυμι)=συναναμίχθησαν, συνετέθησαν.
συνδέσας=δέσας ὁμοῦ μετ' ἄλλων.
συνεῖναι=συνυπάρχει.
συνελὼν (εἰπεῖν)=συντόμως (συναιρέω)
συνέριθος=συνεργάτης, συμβοηθός.
σύσσημα, -μων = σύμβολον, σύνθημα, σφραγίς, παράσημον.
συρτιάρης=δὲν πηγαίνει (ὁ ἵππος ἰδίως) μόνος του ἀλλὰ τὸν σύρουν, μὲ τὸ καπίστρι, σέρτικος.
σύνες=συλλογίσου (συνίημι).
συνεσκίρρωται = ἔχει μεταβληθῆ εἰς σκλήρωμα.
συνήδεται = συνευχαριστεῖται (σὺν—ἥδομαι).
συνῆκα, -κας=ενόησα (συνίημι).
συντεταχότος = ἔχει συντάξει (συντάσσω).
συνήνεγκεν=συνεισέφερεν (συνεισφέρω)
συνήσουσι (συνίημι) =θὰ ἀντιληφθῶσι.
συνιόντες=ἐννοοῦντες (συνίημι).
σύνοιδα=γνωρίζω καλῶς.
συνοῖσον=τὸ συμφέρον (συμφέρει).
συνουσιωμένα=συνηνωμένα κατ' οὐσίαν
συνουσιῶσθαι=συνηνώθησαν οὐσιωδῶς.
συνομοροῦν=συνορεύειν.
συνῳδὰ=σύμφωνα.
συνωδίνει=κοιλοπονᾷ, ἐγκυμονεῖ.
σχολαίτερον=ἀργοκίνητα.
σχοῦσαι=αἵτινες ἔχουσι λάβῃ (ἔχω).

Τ

τάξειν=θὰ κατατάξῃ.
ταυτὶ=ταῦτα ἐδῶ.
τεθεουμένων=ἀποθεωθέντων.

τέθεικε=ἔχει θέσει.
τέθηλε=εἶνε ἐν ἀκμῇ.
τελχίν, -ῖνος = ἄνθρωπος βάσκανος, κακοποιὸς καὶ χαιρέκακος. Πρῶτοι οἱ Κρῆτες καὶ Ρόδιοι ὑπῆρξαν τελχῖνες, ἤτοι μεταλλουργοί.
τέρμα=τὸ τέλος.
τεταριχευμένον=παστωμένον.
τέτευχας=ἐπέτυχες.
τετρακτὺς=τετράδα.
τετραχηλισμένον, τοῦ τραχηλίζω=καταβάλλω πιάνων ἐκ τοῦ τραχήλου, κάμπτομαι, πεφανέρωμαι.
τεύξῃ=θὰ ἐπιτύχῃ.
τζινιστὴς=ποῦ κλωτσᾷ, τσινιάρης.
τήκεται=λυώνει.
τηκεδὼν=σαπίλλα.
τηλαυγῶς=λάμπων μακρόθεν.
τιθηνήσεται=θὰ τὸν περιποιηθῇ, περιθάλψῃ.
τιθηνόν, -ῷ=τρέφοντα, τροφόν.
τίκτει=γεννᾷ.
τιμωρητικὸν =ἐπιτήδειον εἰς τὸ τιμωρεῖν.
τίσῃς=θὰ πληρώσῃς.
τικτομένην=γεννωμένην.
τιτρώσεις=θὰ τραυματίσῃς.
τληπαθὴς=ταλαίπωρος.
τμηθήσεται=θὰ τεμαχισθῇ.
τμητὸν=τεμαχισμένον.
τοίνυν—λοιπόν.
τοιγαροῦν=ὅθεν λοιπόν.
τοιῶσδε = κατὰ τοιοῦτον δὰ τρόπον, ἔτσι δά.
τοκὰς= ἡ πρὸ ὀλίγου γεννήσασα ἢ ἡ ἑτοιμόγεννη.
τουτωνὶ=τούτων δά
τρανοῖ=καθιστᾷ ἱκανάς, εὐδιακρίτους, σαφεῖς.
τρίβον=πεπατημένη ὁδός, ἀτραπός. ἄσκησις.
τριμερεῖς=ἐκ τριῶν μερῶν.
τροπικῶς=μεταφορικῶς.
τρυγίαν = καθίζημα τοῦ οἴνου. Ἴσως =ὀργήν.
τρυτάνη, -ης=ζυγαριά, πλάστιγξ.
τρυφὴ = ἁπαλότης, φιληδονία, ἀσέλγεια, ἔπαρσις.
τρυφῶν=ζῶν ἡδυπαθῶς.
τρύχει=ταλαιπωρεῖ, βασανίζει.

Υ.

ὑακίνθινα= πορφυρίζοντα.
ὑδερικαῖς, -ὸς=ὑδρωπικός.
ὑδριόντων = ἴσως πασχόντων ὑδρωπίασιν
ὑετὸν=βροχήν.
ὑλαῖον=ὁ ἀνήκων εἰς τὴν ὕλην, σωματικός.
ὑλώδης=δασώδης, πηλώδης.
ὑπαμειφθέντος, τοῦ ὑπαμείβω = μεταβάλλω, μετατρέπω, ταξειδεύω.
ὑπείκων — ὑπείκω=ὑποχωρῶ, ξεφεύγω, ὑποτάσσομαι.
ὕπεισι=εἶνε ὑποκάτω.
ὑπενεγκόντων, τοῦ ὑποφέρω = φέρω τινὰ ἔξω κινδύνου, ὑπομένω.
ὑπεραρθεὶς=ὑψωθείς, ὑπερβάς,ἐξέχων.
ὑπέρθεος=πλέον ἢ θεός.
ὑπέροφρυς=ὑπερήφανος.
ὑπερτάξωμεν, ὑπερτάσσω=κατατάσσω ὑπεράνω τινός.
ὑπερτιθέμενον=κατέχοντα τόπον ὑπέρτερον.
ὑπηχούμενα=τοὺς τὰ σφυρίζει εἰς τὸ αὐτί, ὑπολαλεῖ.
ὑποῖσαι (ὑποφέρω)=νὰ ὑποφέρῃ.
ὑποκαίεσθαι=ἀνάπτειν πῦρ κάτωθεν, καταφλέγεσθαι.
ὑποληπτέον=πρέπει τις νὰ ὑποθέσῃ, νὰ νομίσῃ.
ὑπομάζιον=ὑπὸ τὸν μαστόν,ὁ θηλάζων.
ὑπόνομον=ὑπόγειον, ὀχετόν.
ὑποπιένεσθαι=κατά τινα τρόπον παχύνεται.
ὑπόσημος, ἴσως=ὁ ὑπὸ ἀξιώματα.
ὑπότιμος, ἴσως=ὁ ἐν τιμαῖς.
ὑποτίτθιος=ὁ ὑπὸ τὸν μαστόν, ὁ θηλάζων.

ὑφειμένως=χαλαρῶς, ἀμελῶς.
ὕφεσιν=χαλάρωσιν, ὀλιγόστευσιν.
ὑφέστηκας. ὑπὸ—ἵσταμαι=εἶμαι ὑπὸ τὴν ἐξουσίαν τινός, στέκω κάτω.
ὑψαύχην = μὲ τεντωμένον ὀπίσω τὸν τράχηλον, ὑπερόπτης.
ὑψιτένων=ὑψαύχην, ἀπὸ τὴν ὑπερηφάνειαν δὲν βλέπει χάμω.



Φαέθων=ὁ ἥλιος.
φαῖεν, φαίην, -ης=ἤθελεν, ἄς, εἴπῃ.
φαίνων=φανερώνων.
φανὰ=ἐμφανῶς, ὁλοφάνερα.
φατνία=φατνώματα, κοσμήματα τῆς ὀροφῆς.
φείσεται = θὰ λυπηθῇ, δὲν θὰ καταστρέψῃ.
φεῖσαι=λυπήσου.
φενακίζω=ἐξαπατῶ.
φθέγξασθαι=νὰ λαλήσῃ.
φιλαυτία=νὰ ἀγαπᾷ τις μόνον τὸ ἐγώ του.
φημὶ=λέγω.
φήσας=εἰπών.
φιλοσκῶπται=ἀγαποῦν νὰ ἐμπαίζουν.
φιλότης=ὦ φίλε.
φιλογύνης=ὁ ἀγαπῶν τὰς γυναῖκας.
φιλῳδὸς=ἀγαπᾷ νὰ ψάλλῃ.
φλέγμα=φλεγμονή, χολή.
φόλης, ἴσως: φόλλις=νόμισμα, ὀβολός, ἢ καὶ ποσὸν χρημάτων ἀγνώστου ἀξίας.
φούλκας=φούρκας, ἀγχόνης, κρεμάλλας.
φύεσθαι=φυτρώνει.
φυράματι=ζυμάρι, σῶμα.
φύτλης=φύτρας, γενεῖᾶς.
φωστῆρος=εἰς τοὺς φωστῆρας, φωτοδότας.



χαμευνία = κοιμᾶσθαι χαμαί, ὄχι εἰς κλίνην, σκληραγωγία.
χαμευνεῖτε=πλαγιάζετε κατὰ γῆς.
χαρμοσύνης=χαρᾶς, φαιδρότητος.
χαῦνος = χαλαρός, σπογγώδης, μάταιος.
χείρων, -ονες, -ον=χειρότερος.
χιόνι=εἰς τὸ χιόνι.
χοϊκοῦ=ἐκ χώματος.
χόλον, -ος=ὀργή, χόλιασμα.
χοῦς=χῶμα.
χραίνεις=μιαίνεις, μαγαρίζεις.
χραινόμεθα = μιαινόμεθα, μαγαριζόμεθα.
χρῆμα=πρᾶγμα.



ψεκτή, -ὸς=ἀξιοκατάκριτος.
ψελλίζειν=τραυλίζειν.
ψελλόν, -ὸς=τραυλός, ψευδός.
ψηλαφητὸν=πιαστόν.
ψηφίδων=χρωματιστὰ λιθάρια.
ψηφίσας=ἀθροίσας.
ψῆφος=ἄθροισμα.
ψόγον=μομφήν, κατηγορίαν.



ᾠδὰς=τὰ ψαλσίματα.
ὧδὶ=ἔτσι δά.
ὠδίνοντα=ἔχοντα ὠδῖνας, πόνους πρὸς τοκετόν.
ᾠήθησαν=ἐνόμισαν (οἴομαι).
ᾤκτειρε=εὐσπλαγχνίσθη.
ὠκύμορον=ταχυθάνατον.
ὤλετο=ἐχάθη.
ὤλοντο=ἐχάθησαν.
ὤμοσαν, -ας=ὡρκίσθησαν, -θης.
ὦπται=ἔχει φανῇ.
ὤρθρισεν=ἐξύπνησεν εἰς τὸν ὄρθρον, πρωΐ.
ὤσειε=ἤθελε σπρώξῃ (ὠθέω, -ῶ).
ὠσὶ=στὰ αὐτιά (οὖς, ὠτός).
ὤφθης=ἐφάνης, ἐφανερώθης,
ᾤχοντο=ἔφυγαν, πάν, ἐσπευσμένως.

ΠΕΡΙΛΗΨΙΣ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΗΣ ΔΙΟΠΤΡΑΣ

ΠΑΡΟΡΑΜΑΤΑ

Ἐν σελίδι	1	ἀντὶ	τεῦχος Α'	γράφε	τεῦχος Α' καὶ Β'
»	7	»	πιστεύομε	»	πιστεύομεν
»	10	»	σώζοντα	»	σῴζονται
»	13	»	ἔωλον	»	ἕωλον
»	13	»	ἀνόητος	»	ἀνόνητος
»	14	»	μέλει	»	μέλλει
»	15	»	φυλλάττῃς	»	φυλάττῃς
»	15	»	ἀποκρύψης	»	ἀποκρύψῃς
»	16	»	περιβεβλῆσθε	»	περιβεβλῆσθαι
»	17	»	πάντες	»	πάντως
»	22	»	μνημμύσυνα	»	μνημμόσυνα
»	23	»	κώλτμα	»	κώλυμα
»	23	»	ὀργίζουν	»	ὀργίζου
»	23	»	ἡ θέα	»	καὶ θέα
»	24	»	φθοριάρην	»	φθειριάρην
»	25	»	ἡρέμα	»	ἠρέμα
»	27	»	ἤτησας	»	ᾔτησας
»	33	»	σέρρις	»	ὀρθότερον = σέρις
»	35	καὶ ἀλλαχοῦ ἀντὶ	εἰκή	»	εἰκῇ
»	43	ἀντὶ	ρυττὴν	»	ὀρθότερον = ρυτὴν
»	45	»	κραιπαλᾷν	»	κραιπαλᾶν
»	46	»	ἑλκύσαι	»	ἑλκύσῃ
»	46	»	Ἑζεκία	»	Ἐζεκίᾳ
»	47	»	παίδας	»	παῖδας
»	49	»	ἄπαντα	»	ἅπαντα
»	52	»	μισήσει	»	μισήσῃ

'Εν σελίδι	52	άντὶ	κεφάλαιον Δ'	γράφε	κεφάλαιον Θ'
»	62	»	,αχωδ'	»	,αχπδ'
»	63	»	ἅλω	»	ἄλω
»	64	»	ἐχρθα	»	ἔχθρα
»	65	»	ὧδε	»	ὦδε
»	65	»	ἅνευ	»	ἄνευ
»	68	»	παμφίλτας	»	παμφίλτατε
»	72	»	ἀλλ' ἥ δυσώδης	»	ἀλλ' ἢ δυσώδης
»	75	»	πόνος	»	πόνους
»	78	»	ἤ δὲ ψυχὴ	»	ἡ δὲ ψυχὴ
»	80	»	πάνω	»	πάνυ
»	83	καὶ ἀλλαχοῦ ἀντὶ	ἀκαρεῖ	»	ἀκαρῆ
»	101	ἀντὶ	τὸ γάρ τοι πάντες	»	... πάντως
»	102	καὶ 161 ἀντὶ	ὁρατὸν	»	ὁρατὸν
»	103	ἀντὶ	ὤκτειρε	»	ᾤκτειρε
»	106	»	συνοῦσιῶσθαι	»	συνουσιῶσθαι
»	108	»	οὐχὶ πάντες	»	— πάντως
»	112	»	ἐξφδηκότων	»	ἐξωδηκότων
»	115	»	κρυμμοῦ	»	ὀρθότερον κρυμοῦ
»	120	»	ἀνδρυθήσεται	»	ἁδρυνθήσεται
»	125	»	μέμνηται	»	μέμνηται
»	132	»	ἠρετίσατο	»	ᾑρετίσατο
»	132	»	ἐξεκάθηρεν	»	ἐξεκάθηρεν
»	133	»	οἰδ'	»	οἶδ'
»	136	»	ψύχος	»	ψῦχος
»	137	»	Λύσσιν	»	λύσιν
»	143	»	ἄλλοι	»	ἄλλοι
»	162	καὶ ἀλλαχοῦ ἀντὶ	κράσις	»	κρᾶσις
»	165	ἀντὶ	ἵν'	»	ἵν'
»	169	»	κᾶτι	»	κἀκ
»	208	»	ἐξ οὗ	»	ἐξ οὗ
»	212	»	ἄτερ	»	ἄτερ
»	214	»	οὐκ	»	οὐκ
»	222	»	οὐν γνῶσι	»	γνώσει
»	226	»	ἐργάξεται	»	ἐργάζεται
»	226	»	θ' ἔγραψ	»	τ' ἔγραψον
»	232	»	ὧν τὸν	»	ὧν τὸν
»	237	»	ψυχορρήγημα	»	ψυχορράγημα
»	239	»	φιλολοίδωρος	»	φιλολοίδορος

'Εν σελ. 62 καὶ ἑξῆς ἐλλείπει ἐν τῷ χειρογράφῳ ἡ διαίρεσις εἰς κεφάλαια ἐκ τοῦ Β'—ΣΤ', ἀλλὰ ἡ ἔννοια εἶνε συνεχής.

Σημ. Τὰ ἄνευ ὑπογεγραμμένης ἐν ὑποτακτικῇ μετὰ τὸ ***μὴ***. π. χ. μὴ ὀργισθῇ, καὶ τὰ ἄνευ ἀναδιπλασμοῦ τόνου εἰς ἐγκλιτικὴν λέξιν μετὰ περισπωμένην, π. χ. σῶμα μου, οὕτως ἔχουσιν ἐν τῷ γραπτῷ κειμένῳ.